A. 8.

# ΠΛΟΥΤΑΡΧΟΣ

---

# PLVTARCHI CHAERONENSIS
## QVAE SVPERSVNT OMNIA
### CVM ADNOTATIONIBVS VARIORVM
### ADJECTAQVE LECTIONIS DIVERSITATE.

OPERA

JOANNIS GEORGII HVTTEN

PHILOS. MAG. ET SCHOL. ANATOL. TVBING. RECTORIS.



*VOLVMEN QVARTVM*

---

TVBINGAE

IMPENSIS JOANNIS GEORGII COTTAE

CIƆIƆCCXCIII

BIBLIOTEKA ELBLĄSKA
3995
92B99
II

## CONTINVATIO

*Catalogi eorum, qui editionem hancce nominum ſuorum ſubſcriptione adjuverunt.*

---

Altonae.

*Hammerich*, Bibliopola.

Berolini.

*Maurer*, Bibliopola.

Denkendorfii Suevorum.

Stud. *Burk.*
—— *Chriſtmann.*
—— *Eſſich*, Canſtadienſis.
—— *Eſſich*, Heimshemenſis.
—— *Eſſich*, Nürtingenſis.
—— *Haas.*
—— *Kohler.*

Stud. *Kraus.*
—— *Mayer.*
—— *Pregizer.*
—— *Roosſchitz.*
—— *Rümmelin.*
—— *Werner.*
—— *Ziegler.*

Goettingae.

*Vandenhöck*, Bibliopola. 2 Exempl.

Grimmae.

*Müke*, Rector ſcholae Grimmenſis.

Hamburgi.

*D. M. J. Moldenhauer.*

Hannoverae.

*Hellwing*, Bibliopola. 2.

Libaviae.

*Friedrich*, Bibliopola.

Lipſiae.

*Cruſius*, Bibliopola.
*Hilſcher*, ——
*Hier. Th. Kind*, j. u. C.
*Weidmanni Haeredes.*
*Hempel*, D. Theol. 5.

Miſniae.

*Bibliotheca Scholae Elector. Miſnienſis.*
*Kenzelmann*, Archi-Diac. Miſnienſis.

* Neo-

Neoſtadii ad Stolpam.

M. *Richter*, Cand. Miniſterii.

Salisburgi.

*Bibliopolium Mayerianum.*

Schasburgi in Tranſylvania.

*Simonis*, Prof. Gymnaſii.

Tubingae.

M. *Ade*, Stip.
*J. J. Beck*, Stud. Argentoratenſis.
*E. F. Bengel*, Stud.
*Emmert*, Profeſſor.
M. *Rothacker*, Stip.

Ulmae.

*Bibliopolium Stettinianum.*

Vratislaviae.

*Gutſch*, Bibliopola. 5. Exempl.

# PLVTARCHI

# VITARVM PARALLELARVM

## *PARS QVARTA,*

CONTINENS

SERTORIVM, EVMENEM, AGESILAVM, POMPEIVM, ALEXANDRVM MAGNVM, CAESAREM.

# ΠΛΟΥΤΑΡΧΟΥ ΠΑΡΑΛΛΗΛΑ.

## Η ΒΙΟΙ ΠΑΡΑΛΛΗΛΟΙ.

## ΣΕΡΤΩΡΙΟΣ.

Θαυμαστὸν μὲν ἴσως οὐκ ἔστιν, ἐν ἀπείρῳ τῷ χρόνῳ τῆς τύχης ἄλλοτε ἄλλως [1] ῥεούσης, ἐπὶ ταὐτὰ συμπτώματα πολλάκις καταφέρεσθαι τὸ αὐτόματον. εἴτε γὰρ οὐκ ἔστι τῶν ὑποκειμένων ὡρισμένον τὸ πλῆθος, ἄφθονον ἔχει τῆς τῶν ἀποτελουμένων ὁμοιότητος [2] χορηγὸν ἡ τύχη τὴν τῆς ὕλης εὐπορίαν· εἴτ' ἔκ τινων ὡρισμένων ἀριθμῶν [3] ἐμπλέκεται τὰ πράγματα, πολλάκις ἀνάγκη ταὐτὰ γίνεσθαι διὰ τῶν αὐτῶν περαινόμενα. ἐπεὶ δ' ἀγαπῶντες ἔνιοι τὰ τοιαῦτα, συνάγουσιν ἱστορίᾳ καὶ ἀκοῇ τῶν κατὰ τύχην γεγονότων, ὅσα λογισμοῦ καὶ προνοίας ἔργοις ἔοικεν, οἷον, ὅτι, δυεῖν Ἄττεων γενομένων ἐμφανῶν, τοῦ μὲν Σύρου, τοῦ δ' Ἀρκάδος, ἑκάτερος

1 B. 4. ἄλλῳ.

2 R. mavult ἀνομοιότ. „ nam si rerum substantiae numero essent infinitae, haberet fortuna in materiae abundantia largum quasi munerarium discrepantiae, hoc est, nunquam esset futurum, ut res inter se similes evenirent. Jam vero, cum finitae sint numero substantiae, necesse est, ut res eaedem saepius eveniant." An hic sensus, quem R. statuit, contextui accommodari possit, multus dubito. Sermo certe est Plutarcho de similitudine casuum, vel possibili, vel necessaria.

3 Anon. & Mur. ἀριθμῷ, quod probat Mos. Dus.

τερος ὑπὸ συὸς ἀπώλετο· δυεῖν δ' Ἀκταιώνων, ὁ μὲν ὑπὸ τῶν κυνῶν, ὁ δ' ὑπὸ τῶν ἐραςῶν διεσπάσθη· δυεῖν δὲ Σικιώνων ὑφ' ἧ μὲν ἐνικήθησαν Καρχηδόνιοι πρότερον, ὑφ' ἧ δ' ὕςερον ἄρδην ἀνῃρέθησαν· ἑάλω δὲ τὸ Ἴλιον ὑφ' Ἡρακλέες διὰ τὰς [1] Λαομέδοντος ἵππες, καὶ ὑπὸ Ἀγαμέμνονος δια τῦ Δερείε προσαγορευθέντος ἵππε [2]. τρίτον δ' ὑπὸ Χαριδήμε, ταῖς πύλαις ἵππε τινὸς ἐμπεσόντος, ἀποκλεῖσαι [3] ταχὺ τῶν Ἰλιέων μὴ δυνηθέντων. δυεῖν δὲ ὁμωνύμων τοῖς εὐωδεςάτοις φυτοῖς πόλεων [4], Ἴε καὶ Σμύρνης, τὸν ποιητὴν Ὅμηρον ἐν ᾗ μὲν γενέσθαι λέγεσιν, ἐν ᾗ δ' ἀποθανεῖν. Φέρε, καὶ τῦτο προσθῶμεν αὐτοῖς, ὅτι καὶ τῶν ςρατηγῶν οἱ πολεμικώτατοι, καὶ πλεῖςα δόλῳ κατεργασάμενοι μετὰ δεινότητος, ἑτερόφθαλμοι γεγόνασι, Φίλιππος, Ἀντίγονος, Ἀννίβας, περὶ ἧ [5] τόδε τὸ σύγγραμμα, Σερτώριος· ὃν Φιλίππε μὲν ἄν τις ἀποφαίνοιτο σωφρονέςερον περὶ τὰς γυναῖκας, Ἀντιγόνε δὲ πιςότερον περὶ [6] φίλες, Αννίβε δὲ ἡμερώτερον πρὸς πολεμίες, λειπόμενον δὲ συνέσει μὲν ἐδενὸς τέτων, τύχῃ δὲ πάντων [7]. ᾗ πολὺ τῶν ἐμφανῶν πολεμίων χαλεπωτέρᾳ

1 B. 4. τὰς.

2 Verba καὶ ὑπὸ usque ad ἵππε abfunt a B. 4.

3 R. ad h. v. ita: „fcil. aut τὰς πύλας, aut αὐτὸν, Charidemum. puta, qui videtur is effe Charidemus, cujus creberrima fit mentio in or. Demofth. in Ariftocratem." V. Ἰλίων pro feq. Ἰλιέων.

4 Mofe Duf. notante, alii Ion non faciunt urbem, fed infulam.

5 Cum R. malim dari καὶ περὶ ἧ. Otiofa mihi haec copula videtur paulo ante in vocibus ὅτι καὶ τῶν ςρατ. — hoc loco autem neceffaria.

6 R. mavult πρὸς. Pro Ἀννίβε B. 4. Ἀννίβα; pro πρὸς V. κατὰ.

7 Cf. Flor. l. III. c. 22. Verfio, quam in feq. dat Schirach, — das Glük *machte ihm alles weit fchwerer*, als feine offenbaren Feinde — minime refpondet phrafi graecae τῇ τύχῃ χρῆσθαι χαλεπωτέρᾳ.

τέρᾳ περὶ πάντα χρησάμενος, ἐπανίσωσεν ἑαυτὸν ἐμπειρίᾳ μὲν τῷ Μετέλλῳ, τόλμῃ δὲ τῷ Πομπηΐῳ, τύχῃ δὲ τῷ Σύλλᾳ, δυνάμει δὲ τῷ Ῥωμαίων, Φυγὰς καὶ βαρβάρων ἔπηλυς ἄρχων ἀντιταξάμενος. τούτῳ δὴ [1] μάλιστα τῶν Ἑλλήνων τὸν Καρδιανὸν ὁμοιοῦμεν Εὐμενῆ. ἀμφότεροι γὰρ ἀρχικοὶ, καὶ σὺν δόλῳ πολεμικοὶ, καὶ τῆς μὲν αὑτῶν ἀποξενωθέντες, ἡγησάμενοι δ' ἀλλοδαπῶν, τύχῃ δὲ χρησάμενοι βιαίῳ καὶ ἀδίκῳ [2] περὶ τὴν τελευτήν. ἐπιβουλευθέντες γὰρ ἀμφότεροι, μεθ' ὧν τοὺς πολεμίους ἐνίκων, ὑπὸ τούτων ἀνῃρέθησαν.

II. Κοΐντῳ Σερτωρίῳ γένος ἦν οὐκ ἀσημότατον ἐν πόλει Νούσσοις [3] τῆς Σαβίνων· τραφεὶς δὲ κοσμίως ὑπὸ μητρὶ χήρᾳ, πατρὸς ὀρφανὸς, ὑπερφυῶς δοκεῖ φιλομήτωρ γενέσθαι. ὄνομα τῆς μητρὸς Ῥέαν λέγουσιν. ἤσκητο μὲν οὖν καὶ περὶ δίκας ἱκανῶς, καί τινα καὶ δύναμιν ἐν τῇ πόλει μειράκιον ὢν [4] ἀπὸ τοῦ λέγειν ἔσχεν. αἱ δὲ περὶ τὰ στρατιωτικὰ λαμπρότητες αὐτοῦ καὶ κατορθώσεις ἐνταῦθα τὴν φιλοτιμίαν μετέστησαν.

III. Πρῶτον μὲν οὖν, Κίμβρων καὶ Τευτόνων ἐμβεβληκότων εἰς Γαλατίαν, στρατευόμενος ὑπὸ Καιπίωνι [5], κακῶς ἀγωνισαμένων τῶν Ῥωμαίων, καὶ τροπῆς γενο-

A 2

1 Particulam δὴ ex Junt. Ald. Crat. Steph. Frft. restituendam censui, pro δὲ, quod in Bryanea vitiose, me judice, extat, & R. ex ea recepit.

2 Voces has καὶ ἀδίκῳ, quibus Steph. aliaeque eam secutae edd. carent, cum Junt. Ald. Crat. Anon. B. 4. & Mur. addi voluit Br. & dedit R. — V. βιαίᾳ, omissis καὶ ἀδ.

3 Br. cum Anon. & Mur. Νουρσίᾳ legi voluit. Sic quoque vertunt Xyl. Schirach aliique. Aretin. dat Mirsia. Ad τῆς subaudi χώρας. R. quoque τοῖς dari posse censet, & ad Νούσσοις referri.

4 B. 4. ὂν.

5 Sic cum Anon. & Mur. scribendum censuit Br. & dedit R. pro vulg. Σκιπίωνι. Sic & Xyl. vertit. Cf. Luculli vita T. III. p. 330. not. 1. ubi R. in textu male retinuerat Σκηπίωνος.

γενομένης, ἀποβεβληκὼς τὸν ἵππον, καὶ κατατετρωμένος τὸ σῶμα τον Ῥοδανὸν διεπέρασεν, αὐτῷ τε τῷ θώρακι καὶ θυρεῷ, πρὸς ἐναντίον [1] ῥεῦμα πολὺ νηχόμενος. ἕτω τὸ σῶμα ῥωμαλέον ἦν αὐτῷ καὶ διάπονον τῇ ἀσκήσει. δεύτερον δὲ τῶν αὐτῶν ἐπερχομένων μυριάσι πολλαῖς καὶ δειναῖς ἀπειλαῖς, ὥϛε καὶ τὸ μένειν ἄνδρα Ῥωμαῖον ἐν τάξει τότε, καὶ τὸ πείθεσθαι τῷ ϛρατηγῷ, μέγα ἔργον εἶναι, Μάριος μὲν ἡγεῖτο, Σερτώριος δὲ κατασκοπὴν ὑπέϛη τῶν πολεμίων. ἐσθῆτι δὲ Κελτικῇ σκευασάμενος, καὶ τὰ κοινότατα τῆς διαλέκτȣ πρὸς ἔντευξιν ἐπὶ καιρȣ̃ παραλαβὼν, ἀναμίγνυται τοῖς βαρβάροις· καὶ τὰ μὲν ἰδὼν, τὰ δ' ἀκοῇ πυθόμενος τῶν ἐπειγόντων, ἐπανῆλθε πρὸς Μάριον. τότε μὲν ȣ̃ν αριϛείων ἔτυχεν· ἐν δὲ τῇ λοιπῇ ϛρατείᾳ πολλὰ καὶ συνέσεως ἔργα καὶ τόλμης ἀποδειξάμενος, εἰς ὄνομα καὶ πίϛιν ὑπὸ τȣ̃ ϛρατηγȣ̃ προήχθη. μετὰ δὲ τὸν [2] Κίμβρων καὶ Τευτόνων πόλεμον, ἐκπεμφθεὶς ὑπὸ Δειδίῳ ϛρατηγῷ χιλίαρχος ἐπ' Ἰβηρίας, ἐν τῇ πόλει Κάϛλωνι παρεχείμαζε τῆς Κελτιβήρων. ἐπεὶ δὲ τῶν ϛρατιωτῶν ἐν ἀφθόνοις ὑβριζόντων καὶ τὰ πολλὰ μεθυόντων καταφρονήσαντες οἱ βάρβαροι, μετεπέμψαντο νυκτὸς [3] ἐπικȣρίαν παρὰ τῶν ἀϛυγειτόνων Γυρισοινῶν [4], καὶ κατ' οἰκίας [5] ἐπιόντες ἔκτεινον αὐτȣ̀ς, ὑπεκδὺς ὁ Σερτώριος μετ' ὀλίγων, καὶ τȣ̀ς ἐκπίπτοντας συναγαγὼν κύκλῳ τὴν πόλιν περιῆλθε· καὶ καθ' ἃς οἱ βάρβαροι πύλας ἔλαθον παρεισπεσόντες, ἀνεῳγμένας εὑρὼν, ȣ̓ ταὐτὸν ἐκείνοις ἔπαθεν, ἀλλὰ φρȣρὰς ἐπιϛήσας, καὶ καταλαβὼν

1 Junt. Ald. Crat. ἐναντίων; Steph. correxit.

2 B 4. μετὰ δὲ τῶν.

3 Post h. v. B. 4. indit αὐτȣ̀ς, omittit autem hoc pronomen paulo infra post ἔκτεινον, errore librarii, ut Br. videtur.

4 B. 4. Γȣρισινῶν. Utrumque, notante Mose Dusoul, ignotum. Suspicatur Ὠρισίων, ab urbe Oria, sita in hac regione secundum Cellarium.

5 B. 4. κατὰ σκηνὰς.

βῶν πανταχόθεν τὴν πόλιν, ἔκτεινε τὲς ἐν ἡλικίᾳ πάντας. ὡς δ' ἀνηρέθησαν, ἐκέλευσε τὲς στρατιώτας πάντας [1] τὰ μὲν αὐτῶν ὅπλα καὶ τὴν ἐσθῆτα καταθέσθαι, τοῖς δὲ τῶν βαρβάρων ἐνεσκευασμένες [2] ἕπεσθαι πρὸς τὴν πόλιν ἐκείνην, ἐξ ἧς ἀπεστάλησαν οἱ νύκτωρ ἐπιπεσόντες αὐτοῖς. ψευσάμενος δὲ τῇ τῶν ὅπλων ὄψει τὲς βαρβάρες, τάς τε πύλας ἀνεῳγμένας εὗρε, καὶ πλῆθος ἀνθρώπων ἔλαβεν [3], οἰομένων ἀπαντᾷν εὖ πεπραχόσι φίλοις καὶ πολίταις. διὸ πλεῖστοι μὲν ὑπὸ τῶν Ῥωμαίων ἐσφάττοντο περὶ τὰς πύλας, οἱ δὲ λοιποὶ παραδόντες ἑαυτὲς ἐπράθησαν.

IV. Ἐκ τέτε Σερτώριος ἐν τῇ Ἰβηρίᾳ διεβοήθη· καὶ ὅτε πρῶτον ἐπανῆκεν εἰς Ῥώμην, ταμίας ἀποδείκνυται τῆς περὶ Πάδον Γαλατίας, ἐν δέοντι. τε γὰρ Μαρσικε πολέμε συνισαμένε, στρατιώτας τε προσταχθὲν [4] αὐτῷ καταλέγειν, καὶ ὅπλα ποιεῖσθαι, σπεδὴν καὶ τάχος προσθεὶς τῷ ἔργῳ, παρὰ τὴν τῶν ἄλλων νέων βραδυτῆτα καὶ μαλακίαν, ἀνδρὸς ἐμπράκτως βιωσομένε δόξαν ἔσχεν. ε μὴν ὑφήκατο τῆς στρατιωτικῆς τόλμης, εἰς ἀξίωμα προεληλυθὼς [5] ἡγεμόνος, ἀλλὰ καὶ χειρὸς ἐπιδεικνύμενος ἔργα θαυμαστὰ, καὶ τὸ σῶμα τοῖς ἀγῶσιν ἀφειδῶς ἐπιδιδὲς, τῶν ὄψεων ἀπέβαλε τὴν ἑτέραν ἐκκοπεῖσαν. ἐπὶ τέτῳ δὲ καὶ [6] καλλωπιζόμενος ἀεὶ διετέλει· τὲς μὲν γὰρ ἄλλες ἐκ ἀεὶ τὰ μαρτύρια τῶν ἀριστείων περιφέρειν, ἀλλὰ καὶ ἀποτίθεσθαι, στρεπτὰ καὶ δόρατα καὶ στεφάνες· αὐτῷ δὲ τῆς ἀνδραγαθίας παρα-



1 V. ἅπαντας. In seq. B. 4. ὁπλίζεσθαι μὲν τὰ ἐκείνων ὅπλα.

2 Sic R. de suo dedit pro vulg. ἐνσκευασμένες. V. ἐνσκευασμένοις.

3 R. monente, subaudi ἀφύλακτον, vel ἐκχυθὲν, quod ipsi potius addendum videtur.

4 Junt. sola προσαχθέντας.

5 B. 4. προελθών. Id. paulo post ἔτι ἐνδεικνύμενος pro ἐπιδεικν.

6 B. 4. omittit καὶ.

μένειν τὰ γνωρίσματα, τὰς αὐτὰς ἔχοντι τῆς ἀρετῆς ἅμα καὶ τῆς συμφορᾶς θεατάς. ἀπέδωκε δὲ καὶ ὁ δῆμος αὐτῷ τιμὴν πρέπουσαν. εἰσελθόντα γὰρ εἰς θέατρον ἐξεδέξατό [1] τε κρότῳ καὶ κατευφήμησεν· ὧν οὐδὲ τοῖς πάνυ προήκουσιν ἡλικίᾳ τε καὶ δόξῃ [2] τυχεῖν ἦν ῥᾴδιον. δημαρχίαν μέντοι μετιὼν, Σύλλα καταστασιάσαντος αὐτὸν, ἐξέπεσε· διὸ καὶ δοκεῖ γενέσθαι μισοσύλλας. ἐπεὶ δὲ Μάριος μὲν ὑπὸ Σύλλα κρατηθεὶς ἔφευγε, Σύλλας δὲ Μιθριδάτῃ πολεμήσων ἀπῆρε, τῶν δὲ ὑπάτων Ὀκτάβιος μὲν ἐπὶ τῆς Σύλλα προαιρέσεως ἔμενε, Κίννας δὲ νεωτερίζων ὑποφερομένην ἀνεκαλεῖτο τὴν Μαρίου στάσιν· τούτῳ προσένειμεν αὐτὸν ὁ Σερτώριος, ἄλλως τε καὶ τὸν Ὀκτάβιον ὁρῶν αὐτὸν μὲν [3] ἀμβλύτερον ὄντα, τοῖς δὲ Μαρίου φίλοις ἀπιστοῦντα. γενομένης δὲ τοῖς ὑπάτοις ἐν ἀγορᾷ μάχης μεγάλης, Ὀκτάβιος μὲν ἐκράτησε, Κίννας δὲ καὶ Σερτώριος οὐ πολλῷ ἐλάττους τῶν μυρίων ἀποβαλόντες ἔφυγον· καὶ τῶν [4] περὶ τὴν Ἰταλίαν ἔτι διεσπαρμένων στρατοπέδων προσαγόμενοι τὰ πλεῖστα πειθοῖ, ταχὺ κατέστησαν ἀξιόμαχοι τοῖς περὶ τὸν Ὀκτάβιον.

V. Μαρίου δὲ καταπλεύσαντος ἐκ Λιβύης, καὶ τῷ Κίννᾳ προστιθέντος ἑαυτὸν, ὡς [5] ἰδιώτην ὑπάτῳ, τοῖς μὲν ἄλλοις ἐδόκει δέχεσθαι, Σερτώριος δ' ἀπηγόρευεν·

εἴτε

1 Sic in sing. cum Junt. Ald. Crat. dedit R. pro ἐξεδέξαντο, quod Steph. dedit, cum eaedem paulo post legant κατευφήμησαν. R. quoque recepto singulari accommodavit hoc posterius verbum, cum Mur. Utrumque, eodem judice, rectum, modo sit in numeris constantia. Mos. Duf. voluit κατευφήμισαν.

2 B. 4. ἡλικίαν τε καὶ δόξαν.

3 Sic transpositis vocibus R. cum V. dedit, pro vulg. μὲν αὐτόν. Locum autem Schirach ita vertit: weil er die Trägheit des Octavius kannte, und den Freunden des Marius nicht traute, quasi esset ἀπιστῶν, ad ὁρῶν referendum.

4 Br. susp. καίτοι τῶν.

5 B. 4. προσθέντος ὡς, omisso ἑαυτόν.

εἴτε τὸν Κίνναν ἧττον οἰόμενος ἑαυτῷ προσέξειν, ἀνδρὸς ἡγεμονικωτέρου παρόντος, εἴτε τὴν βαρύτητα τοῦ Μαρίου δεδοικὼς, μὴ πάντα τὰ πράγματα συγχέῃ, θυμῷ μέτρον οὐκ ἔχοντι πέρα δίκης [1] ἐν τῷ κρατεῖν προερχόμενος [2]. ἔλεγεν οὖν μικρὸν εἶναι τὸ ἀπολειπόμενον ἔργον αὐτοῖς ἤδη κρατοῦσι· δεξαμένων δὲ [3] τὸν Μάριον, τὸ σύμπαν οἴσεσθαι τῆς δόξης ἐκεῖνον καὶ τῆς δυνάμεως, χαλεπὸν ὄντα πρὸς κοινωνίαν ἀρχῆς καὶ ἄπιστον. εἰπόντος δὲ τοῦ Κίννα, ταῦτα μὲν ὀρθῶς ὑπολογίζεσθαι τὸν Σερτώριον, αἰδεῖσθαι δὲ καὶ διαπορεῖν, ὅπως ἀπώσεται τὸν Μάριον, αὐτὸς ἐπὶ κοινωνίᾳ πραγμάτων κεκληκὼς, ὑπολαβὼν ὁ Σερτώριος εἶπεν· Ἀλλ' ἐγὼ μὲν αὐτὸν ἀφ' ἑαυτοῦ Μάριον ἥκειν νομίζων εἰς Ἰταλίαν, τὸ συμφέρον ἐσκόπουν· σοὶ δὲ τὴν ἀρχὴν οὐδὲ βουλεύεσθαι [4] καλῶς εἶχεν, ἥκοντος, ὃν αὐτὸς ἐλθεῖν ἠξίωσας, ἀλλὰ χρῆσθαι καὶ δέχεσθαι, τῆς πίστεως μηδενὶ λογισμῷ χώραν διδούσης. Οὕτως μεταπέμπεται τὸν Μάριον Κίννας· καὶ τριχῇ τῆς δυνάμεως διανεμηθείσης, ἦρχον [5] οἱ τρεῖς. διαπολεμηθέντος δὲ τοῦ πολέμου, καὶ τῶν περὶ τὸν Κίνναν καὶ Μάριον ἐμφορουμένων ὕβρεώς τε καὶ πικρίας ἁπάσης, ὥστε χρυσὸν ἀποδεῖξαι Ῥωμαίοις τὰ τοῦ πολέμου κακὰ, Σερτώριος λέγεται μόνος οὔτ' ἀποκτεῖναι τινὰ πρὸς ὀργὴν [6], οὔτ' ἐνυβρίσαι κρατῶν, ἀλλὰ καὶ τῷ Μαρίῳ δυσχεραίνειν, καὶ τὸν Κίνναν ἐντυγχάνων [7] ἰδίᾳ καὶ δεόμενος μετριώτερον ποιεῖν. τέλος δὲ τῶν δούλων, οὓς Μάριος συμμάχους μὲν ἐν τῷ πολέμῳ, δορυφόρους δὲ τῆς τυραννίδος ἔχων ἰσχυροὺς καὶ πολλοὺς ἐποίησε, τὰ μὲν ἐκείνου



1 B. 4. παρὰ δίκην.

2 Junt. Ald. Crat. προσερχόμενος; V. προσχρώμενος; B. 4. προσεχόμενος.

3 B. 4. δεξάμενοι καί.

4 B. 4. βούλεσθαι.

5 B. 4. ἧς ἦρχον.

6 V. κατ' ὀργήν.

7 B. 4. ἐντυγχάνειν.

ἐκείνου διδόντος καὶ κελεύοντος, τὰ δὲ καὶ βίᾳ παρανομένων εἰς τοὺς δεσπότας, σφαττόντων μὲν αὐτοὺς, ταῖς δὲ δεσποίναις πλησιαζόντων, καὶ βιαζομένων τοὺς παῖδας, οὐκ ἀνασχετὰ ποιούμενος ὁ Σερτώριος, ἅπαντας ἐν ταὐτῷ στρατοπεδεύοντας [1] κατηκόντισεν, οὐκ ἐλάττους τετρακισχιλίων ὄντας.

VI. Ἐπεὶ δὲ Μάριος μὲν ἐτελεύτησε, καὶ Κίννας ἀνῃρέθη μικρὸν ὕστερον, ὁ δὲ νεανίας Μάριος, ἄκοντος αὐτοῦ, παρὰ τοὺς νόμους ὑπατείαν ἔλαβε, Κάρβωνες δὲ καὶ Νωρβανοὶ καὶ Σκιπίωνες ἐπιόντι [2] Σύλλᾳ κακῶς ἐπολέμουν· καὶ τὰ μὲν ἀνανδρίᾳ καὶ μαλακίᾳ τῶν στρατηγῶν ἐφθείρετο, τὰ δ' οἱ προδιδόντες ἀπώλλυσαν· ἔργον δ' οὐδὲν ἦν αὐτοῦ παρόντος τοῖς πράγμασι μοχθηρῶς ὑποφερομένοις, διὰ τὸ χεῖρον φρονεῖν [3] τοὺς μᾶλλον δυναμένους· τέλος δὲ Σύλλας, Σκιπίωνι παραστρατοπεδεύσας, καὶ φιλοφρονούμενος, ὡς εἰρήνης ἐσομένης, διέφθειρε τὸ στράτευμα, καὶ ταῦτα προλέγων Σκιπίωνι καὶ διδάσκων Σερτώριος οὐκ ἔπειθε, παντάπασιν ἀπογνοὺς τὴν πόλιν, ὥρμησεν εἰς Ἰβηρίαν, ὡς, εἰ φθάσει [4] τὴν ἐκεῖ κρατυνάμενος ἀρχὴν, καταφυγὴ τοῖς πταίουσιν ἐνταῦθα τῶν φίλων ἐσόμενος. χειμῶσι δὲ χαλεποῖς χρησάμενος ἐν χωρίοις ὀρεινοῖς, ὑπὸ βαρβάρων ἐπράττετο τέλη καὶ μισθοὺς τοῦ παρελθεῖν τὴν ὁδόν. ἀγανακτούντων δὲ τῶν σὺν αὐτῷ, καὶ δεινολογουμένων, εἰ Ῥωμαίων ἀνθύπατος τέλη καταβαλεῖ [5] βαρβάροις ὀλέθροις, μικρὰ φροντίσας τοῦ δοκοῦντος αἰσχροῦ, καὶ καιρὸν ὠνεῖσθαι φήσας, οὗ σπανιώτερον οὐδὲν ἀνδρὶ μεγάλων ἐφιεμένῳ, τοὺς μὲν βαρβάρους ἐθε-

1 Aretin. vertit: *in campo*. Hinc Xylandro legisse videtur ἐν πεδίῳ, aut tale aliquid.

2 B. 4. ἔτι ὄντι.

3 Pro his duabus vocibus B. 4. χειροτονεῖν.

4 R. monente aut φθάσειε, in opt. est legendum, aut φθάσῃ.

5 Sic R. dedit de suo pro vulg. καταβάλῃ. Junt. Ald. Crat. καταβάλοι.

ἐθεράπευσε χρήμασι, τὴν δ' Ἰβηρίαν ἐπειχθεὶς κατέσχε. παραλαβὼν δ' ἔθνη πλήθει μὲν καὶ ἡλικίᾳ ἀκμάζοντα, πλεονεξίᾳ δὲ καὶ ὕβρει τῶν πεμπομένων ἑκάστοτε στρατηγῶν πρὸς ὅλην κακῶς διακείμενα τὴν ἡγεμονίαν, ἀνελάμβανεν [1] ὁμιλίᾳ τε τοὺς δυνατοὺς, καὶ φόρων ἀνέσει τοὺς πολλούς· μάλιστα δὲ τῶν ἐπισταθμιῶν ἀπαλλάξας ἠγαπήθη. τοὺς γὰρ στρατιώτας ἠνάγκαζεν ἐν τοῖς προαστείοις χειμάδια πήγνυσθαι, πρῶτος αὐτὸς οὕτω κατασκηνῶν. οὐ μὴν ἐπὶ τῇ τῶν βαρβάρων εὐνοίᾳ τὸ πᾶν ἐποιήσατο, Ῥωμαίων δὲ τῶν αὐτόθι μετοικούντων τοὺς ἐν ἡλικίᾳ καθοπλίσας, μηχανάς τε παντοδαπὰς καὶ ναυπηγίας τριηρῶν ὑποβαλλόμενος [2], διὰ χειρῶν εἶχε τὰς πόλεις· ἥμερος μὲν ὢν ἐν ταῖς εἰρηνικαῖς χρείαις, φοβερὸς δὲ τῇ παρασκευῇ κατὰ τῶν πολεμίων [3] φαινόμενος.

VII. Ὡς δὲ Σύλλαν μὲν ἐπυνθάνετο τῆς Ῥώμης κρατεῖν, ἐῤῥεῖν δὲ τὴν Μαρίου καὶ Κάρβωνος στάσιν, αὐτίκα προσδοκῶν στρατιὰν [4] διαπολεμήσουσαν αὐτῷ μεθ' ἡγεμόνος ἀφίξεσθαι, φράγνυται τὰ Πυρηναῖα ὄρη διὰ Ἰουλίου Σαλινάτωρος ἑξακισχιλίους ὁπλίτας ἔχοντος. καὶ μετ' οὐ πολὺ Γάϊος Ἄννιος ἐκπεμφθεὶς ὑπὸ Σύλλα, καὶ τὸν Ἰούλιον ἀπρόσμαχον ὁρῶν, ἐν ἀπόρῳ καθῆστο [5] παρὰ ταῖς ὑπωρείαις. Καλπουρνίου δέ τινος, ἐπίκλησιν Λαναρίου, δολοφονήσαντος τὸν Ἰούλιον, καὶ τῶν στρατιωτῶν τὰ ἄκρα τῆς Πυρήνης ἐκλιπόντων, ὑπερβαλὼν Ἄννιος ἐπῄει χειρὶ μεγάλῃ τοὺς ἐμποδὼν ἀνιστάς. Σερτώριος δ' οὐκ ὢν ἀξιόμαχος, μετὰ τρισχιλίων εἰς Καρχηδόνα τὴν

A 5 νέαν

1 B. 3. ἀνελάμβανεν δὲ.

2 V. ἀποβαλλόμενος διὰ χειρός. Junt. Ald. Crat. ὑποβαλλόμενος, quod praefert R. monens vero, tum quoque dandum esse paulo ante καθοπλίζων.

3 Junt. Ald. Crat. πολεμικῶν; quod si placet, R. monente, delendum est κατὰ.

4 Sic R. cum Junt. Ald. Crat. dedit pro vulg. στρατείαν.

5 V. καθίστατο.

νέαν καταφυγὼν, κἀκεῖθεν ἐπιβὰς τῶν νεῶν, καὶ διαπεράσας τὸ πέλαγος, Λιβύῃ κατὰ τὴν Μαυρουσίαν προσέσχεν. ἀφυλάκτοις δὲ τοῖς στρατιώταις ὑδρευομένοις τῶν βαρβάρων ἐπιπεσόντων, συχνοὺς ἀποβαλὼν, αὖθις εἰς Ἰβηρίαν ἀπέπλει, καὶ ταύτης μὲν ἀποκρούεται, Κιλισσῶν [1] δὲ λῃστρίδων αὐτῷ προσγενομένων [2], Πιτυούσσῃ νήσῳ προσέβαλε, καὶ ἀπέβη τὴν παρ' Ἀννίου φρουρὰν βιασάμενος. Ἄννιος δὲ μετ' οὐ πολὺ παρῆν ναυσί τε πολλαῖς καὶ πεντακισχιλίοις ὁπλίταις. πρὸς ὃν ἐπεχείρησε μὲν διαναυμαχεῖν, καίπερ ἐλαφροῖς, καὶ πρὸς τάχος, οὐ πρὸς ἀλκὴν, πεποιημένοις σκάφεσι χρώμενος· ζεφύρῳ δὲ λαμπρῷ τοῦ πελάγους ἀνισταμένου, καὶ τὰ πολλὰ τῶν τοῦ Σερτωρίου πλοίων ὑπὸ κουφότητος πλάγια [3] ταῖς ῥαχίαις περιβάλλοντος, αὐτὸς ὀλίγαις ναυσὶ τῆς μὲν θαλάσσης ὑπὸ τοῦ χειμῶνος εἰργόμενος, τῆς δὲ γῆς ὑπὸ τῶν πολεμίων, ἡμέρας δέκα σαλεύων πρὸς ἐναντίον κῦμα καὶ κλύδωνα τραχὺν, ἐπιπόνως διεκράτησεν [4].

VIII. Ἐνδόντος δὲ τοῦ πνεύματος φερόμενος [5] νήσοις τισὶν ἐναυλίζεται σποράσιν, ἀνύδροις· κἀκεῖθεν ἄρας καὶ διεκβαλὼν τὸν Γαδειραῖον πορθμὸν, ἐν δεξιᾷ τοῖς ἐκτὸς ἐπιβάλλει τῆς Ἰβηρίας, μικρὸν ὑπὲρ τῶν τοῦ Βαίτιος ἐκβολῶν, ὃς εἰς τὴν Ἀτλαντικὴν ἐκφερόμενος θάλατταν, ὄνομα τῇ περὶ αὐτὸν Ἰβηρίᾳ παρέσχεν. ἐνταῦθα ναῦται τινὲς ἐντυγχάνουσιν αὐτῷ, νέον ἐκ τῶν Ἀτλαντικῶν νήσων ἀναπεπλευκότες [6], αἳ δύο μὲν εἰσὶ, λεπτῷ παντάπασι πορθμῷ διαιρούμεναι, μυρίους δ' ἀπέχουσαι

1 Hoc accentu instructam omnes edd. excepta Bryanea, quam R. sequitur, dederunt hanc vocem, & sic restituere non dubitavi pro Κιλίσσων.

2 V. καταγενομένων.

3 B. 4. πελάγια.

4 Teste H. Steph. etiam legitur διεκαρτέρησεν. Sic & B. 4.

5 abest φερόμ. a B. 4.

6 V. ἐκπεπλευκότες.

χουσαι Λιβύης σαδίους, καὶ ὀνομάζονται μακάρων. ὄμβροις δὲ χρώμεναι μετρίοις σπανίως, τὰ δὲ [1] πλεῖςα πνεύμασι μαλακοῖς καὶ δροσοβόλοις, οὐ μόνον ἀροῦν καὶ φυτεύειν παρέχουσιν ἀγαθὴν καὶ πίονα χώραν, ἀλλὰ καὶ καρπὸν αὐτοφυῆ φέρουσιν, ἀποχρῶντα πλήθει καὶ γλυκύτητι βόσκειν ἄνευ πόνων καὶ πραγματείας σχολάζοντα δῆμον. ἀὴρ δ' ἄλυπος ὡρῶν τε κράσει καὶ μεταβολῆς μετριότητι, κατέχει τὰς νήσους. οἱ μὲν γὰρ ἐνθένδε τῆς γῆς ἀποπνέοντες ἔξω βορέαι καὶ ἀπηλιῶται, διὰ μῆκος ἐκπεσόντες εἰς τόπον ἀχανῆ διασπείρονται καὶ προαπολείπουσι [2]. πελάγιοι δὲ περιῤῥέοντες ἀργέσαι καὶ ζέφυροι, βληχροὺς μὲν ὑετοὺς καὶ σποράδας ἐκ θαλάττης ἐπάγοντες, τὰ δὲ πολλὰ νοτεραῖς [3] αἰθρίαις ἐπιψύχοντες ἡσυχῇ τρέφουσιν· ὥςε μέχρι τῶν βαρβάρων διῖχθαι πίςιν ἰσχυρὰν, αὐτόθι τὸ Ἠλύσιον εἶναι πεδίον, καὶ τὴν τῶν εὐδαιμόνων οἴκησιν, ἣν Ὅμηρος ὕμνησε.

IX. Ταῦθ' ὁ Σερτώριος ἀκούσας, ἔρωτα θαυμαςὸν ἔσχεν οἰκῆσαι τὰς νήσους, καὶ ζῆν ἐν ἡσυχίᾳ, τυραννίδος ἀπαλλαγεὶς καὶ πολέμων ἀπάντων. αἰσθόμενοι δ' οἱ Κίλικες, οὐθὲν εἰρήνης δεόμενοι καὶ σχολῆς, ἀλλὰ πλούτου καὶ λαφύρων, εἰς Λιβύην ἀπέπλευσαν, Ἀσκάλιον [4] τὸν Ἴφθα κατάξοντες ἐπὶ τὴν Μαυρουσίων βασιλείαν. οὐ μὴν ἀπέκαμεν ὁ Σερτώριος, ἀλλὰ τοῖς πρὸς [5] τὸν Ἀσκάλιον διαπολεμοῦσιν ἔγνω βοηθεῖν, ὡς οἱ σὺν αὐτῷ καινήν τινα λαβόντες ἐλπίδων ἀρχὴν καὶ πράξεων ἑτέρων ὑπόθεσιν, μὴ διαλυθεῖεν [6] ὑπὸ τῆς ἀπορίας. ἀσμένοις δὲ τοῖς Μαυρουσίοις ἀφικόμενος εἴχετο ἔργου, καὶ καταμαχε-

1 B. 4. ὄλβιοι χρώμεναι μετρίοις σπανίσαντα δέ.
2 V. προσαπολείπουσι.
3 abest haec vox a B. 4.
4 Br. cum B. 4. scribi vult Ἄσκαλιν.
5 V. κατά.
6 B. 4. διαμαρτεῖεν.

μαχεσάμενος [1] τὸν Ἄσκαλιν ἐπολιόρκει. Σύλλα δὲ Πακκιακὸν ἐκπέμψαντος βοηθῆσαι τοῖς περὶ τὸν Ἄσκαλιν μετὰ δυνάμεως, συμβαλὼν ὁ Σερτώριος, τὸν μὲν Πακκιακὸν ἀπέκτεινεν, τὴν δὲ στρατιὰν κρατήσας προσηγάγετο· καὶ τὴν Τιγέννην [2], εἰς ἣν ὁ Ἄσκαλις συνέφυγε μετὰ τῶν ἀδελφῶν, ἐξεπολιόρκησεν. ἐνταῦθα τὸν Ἀνταῖον οἱ Λίβυες ἱστοροῦσι κεῖσθαι, καὶ τὸν τάφον αὐτοῦ Σερτώριος διέσκαψε, τοῖς βαρβάροις ἀπιστῶν διὰ μέγεθος [3]. ἐντυχὼν δὲ τῷ [4] σώματι πηχῶν ἑξήκοντα μῆκος, ὥς φασι, κατεπλάγη, καὶ σφάγιον ἐντεμὼν, συνέχωσε τὸ μνῆμα, καὶ τὴν περὶ αὐτοῦ τιμήν τε καὶ φήμην συνηύξησε. Τιγεννῆται [5] δὲ μυθολογοῦσιν, Ἀνταίου τελευτήσαντος, τὴν γυναῖκα, Τίγγην, Ἡρακλεῖ συνελθεῖν· Σόφακα δ᾽ ἐξ αὐτῶν γενόμενον, βασιλεῦσαι τῆς χώρας καὶ πόλιν ἐπώνυμον τῆς μητρὸς ἀποδεῖξαι· Σόφακος δὲ παῖδα γενέσθαι Διόδωρον, ᾧ πολλὰ τῶν Λιβυκῶν ἐθνῶν ὑπήκουσεν, Ἑλληνικὸν ἔχοντι στράτευμα τῶν αὐτόθι κατῳκισμένων ὑφ᾽ Ἡρακλέους Ὀλβιανῶν καὶ [6] Μυκηναίων. ἀλλὰ ταῦτα μὲν ἀνακείσθω τῇ Ἰόβα χάριτι, τοῦ πάντων ἱστορικωτάτου βασιλέων. ἐκείνου γὰρ ἱστοροῦσι τοὺς προγόνους Διοδώρου καὶ Σόφακος ἀπογόνους εἶναι. Σερτώριος δὲ πάντων ἐγκρατὴς γενόμενος, τοὺς δεηθέντας αὐτοῦ καὶ πιστεύσαντας οὐκ ἠδίκησεν,

1 B. 4. κατακυκλωσάμενος. Id. in seq. Πακκιανὸν pro Πακκιακόν.

2 Xyl. dubitat, an pro Tigenna Tingis sit legendum. Mur. Τίγγιν. B. 4. Ἀστιγέννην. Cf. Strab. L. XVII.

3 R. susp. διὰ τὸ λεγόμενον τῶν λειψάνων μέγεθος.

4 R. mavult τῷ abesse. Monente Dacerio, hanc fabulam ex Gabinio, scriptore Romano, hausisse videtur Plutarchus. Cf. Strabo l. c. Cur Schirach vertit: der sechs Ehlen lang war? — an voluit fabulam reddere tolerabiliorem?

5 Hanc vocem sic scriptam dedit Frst. quam Br. & R. sequuntur. Omnes priores Τιγεννῖται B. 4. Ἀστιγεννῆται.

6 Post h. v. inserit B. 4. δῆτα.

σεν, ἀλλὰ καὶ χρήματα καὶ πόλεις καὶ τὴν ἀρχὴν ἀπέδωκεν αὐτοῖς, ὅσα καλῶς εἶχε δεξάμενος διδόντων.

X. Ἐντεῦθεν, ὅποι χρὴ τραπέσθαι, βουλευόμενον ἐκάλουν Λυσιτανοὶ, πρέσβεις πέμψαντες ἐφ᾽ ἡγεμονίᾳ· πάντως μὲν ἄρχοντος ἀξίωμα μέγα καὶ ἐμπειρίαν ἔχοντος δεόμενοι πρὸς τὸν ἀπὸ Ῥωμαίων [1] φόβον, ἐκείνῳ δὲ πιστεύοντες αὐτοὺς μόνῳ, καὶ πυνθανόμενοι παρὰ τῶν συγγεγονότων [2] τὸ ἦθος αὐτοῦ. λέγεται δὲ [3] ὁ Σερτώριος οὔτε ὑφ᾽ ἡδονῆς, οὔτε ὑπὸ δέους, εὐάλωτος γενέσθαι, φύσει δ᾽ ἀνέκπληκτος ὢν παρὰ τὰ δεινὰ, καὶ μέτριος εὐτυχίαν ἐνεγκεῖν [4]. καὶ πρὸς μὲν εὐθυμαχίαν οὐδενὸς ἀτολμότερος τῶν καθ᾽ ἑαυτὸν ἡγεμόνων· ὅσα δὲ κλωπείας ἐν πολέμοις ἔργα καὶ πλεονεξίας, περὶ τόπους ὀχυροὺς [5] καὶ διαβάσεις τάχους δεομένας, ἀπάτης τε καὶ ψευδῶν ἐν δέοντι σοφιστὴς δεινότατος. ἐν δὲ ταῖς τιμαῖς τῶν ἀνδραγαθημάτων δαψιλὴς φαινόμενος, περὶ τὰς τιμωρίας ἐμετρίαζε τῶν ἁμαρτημάτων. καίτοι δοκεῖ περὶ τὸν ἔσχατον αὐτοῦ βίον ὠμότητος καὶ βαρυθυμίας [6] τὸ περὶ τοὺς ὁμήρους πραχθὲν ἔργον ἐπιδεῖξαι τὴν φύσιν οὐκ οὖσαν ἥμερον, ἀλλ᾽ ἐπαμπεχομένην λογισμῷ διὰ τὴν ἀνάγκην. ἐμοὶ δ᾽ ἀρετὴν μὲν εἰλικρινῆ καὶ κατὰ λόγον συνεστῶσαν οὐκ ἄν ποτε δοκεῖ [7] τύχη τις ἐκστῆσαι πρὸς τοὐναντίον· ἄλλως δὲ προαιρέσεις καὶ φύσεις χρηστὰς, ὑπὸ συμφορῶν μεγάλων παρ ἀξίαν κακωθείσας, οὐκ ἀδύνατον τῷ δαίμονι συμμεταβαλεῖν τὸ ἦθος. ὃ καὶ Σερτώριον οἶμαι παθεῖν, ἤδη τῆς

1 Mos. Dus. scribi vult cum V. ἀπὸ τῶν Ῥωμ.

2 B. 4. dat συγγενομένων, & dedit Σερτωρίῳ καὶ ἐγκωμιαζόντων.

3 B. 4. γὰρ ὁ Σ. quod placet Bryano.

4 B. 4. ἐνασκεῖν. Pro seq. εὐθυμαχ. V. εὐθυμίαν.

5 Junt. Ald. Crat. ἰσχυρούς.

6 R. post h. v. deesse videtur μεστὸν vel γέμον.

7 Sic dari voluit Mos. Dus. deditque R. pro vulg. δοκῇ. V. post h. v. addit καί. Id. κατ᾽ ἐναντίον pro seq. πρὸς τοὐναντίον.

τῆς τύχης αὐτὸν ἐπιλειπούσης, ἐκτραχυνόμενον ὑπὸ τῶν πραγμάτων, γινόμενον [1] πονηρὸν πρὸς τοὺς ἀδικοῦντας.

XI. Οὐ μὴν ἀλλὰ τότε γε Λυσιτανῶν [2] καλούντων, ἀπῆρεν ἐκ Λιβύης. καὶ τούτους συνέταττεν εὐθὺς αὐτοκράτωρ στρατηγὸς, καὶ τὴν ἐγγὺς Ἰβηρίαν ὑπήκοον ἐποιεῖτο, τῶν πλείστων ἑκουσίως προστιθεμένων [3], μάλιστα μὲν διὰ τὸ πρᾶον αὐτοῦ καὶ δραστήριον. ἔστι δὲ ἃ καὶ σοφιστικῶς αὐτὸς εἰς ἀπάτην καὶ κήλησιν ἐμηχανᾶτο· καὶ πρῶτόν γε πάντων, τὸ περὶ τὴν ἔλαφον. ἦν δὲ τοιόνδε [4]. Σπάνος, ἀνὴρ δημότης, τῶν ἐπὶ χώρας βιούντων, ἐλάφῳ νεοτόκῳ φευγούσῃ κυνηγέτας ἐπιτυχὼν, αὐτῆς μὲν ἀπελείφθη, τὴν δὲ νεβρὸν, ἐκπλαγεὶς τῇ καινότητι τῆς χρόας (λευκὴ γὰρ ἦν πᾶσα) λαμβάνει διώξας. κατὰ τύχην δὲ Σερτωρίου τοῖς τόποις ἐναυλισαμένου, καὶ πᾶν, ὅ τις ἐξ ἄγρας, ἢ γεωργίας, ἥκοι κομίζων, δῶρον ἀσμένως δεχομένου, καὶ φιλοφρόνως ἀμειβομένου τοὺς θεραπεύοντας, ἐγχειρίζει φέρων αὐτῷ τὴν νεβρόν. ὁ δὲ δεξάμενος, αὐτίκα μὲν ἥσθη μετρίως· χρόνῳ δὲ ποιησάμενος τιθασὸν οὕτω καὶ φιλάνθρωπον, ὥστε καὶ καλοῦντος ἀκούειν, καὶ βαδίζοντί ποι παρακολουθεῖν, ὄχλου τε καὶ θορύβου παντὸς ἀνέχεσθαι στρατιωτικοῦ, κατὰ μικρὸν ἐξεθείαζε, φάσκων, Ἀρτέμιδος δῶρον τὴν ἔλαφον εἶναι· καὶ πολλὰ τῶν ἀδήλων ἐπεφήμιζεν αὐτῷ δηλοῦν, γινώσκων, εὐάλωτον [5] εἰς δεισιδαιμονίαν εἶναι φύσει τὸ βαρβαρικόν. ὁ δὲ καὶ προσετεχνᾶτο τοιάδε· γνοὺς γὰρ ἂν κρύφα τοὺς πολεμίους ἐμβεβληκότας ποι τῆς ὑπ' αὐτὸν χώρας, ἢ πόλιν ἀφιστάν-

1 Mos. Duf. deesse videtur καὶ, aut legendum γενέσθαι.
2 B. 4. τὸ ἐνετῶν.
3 V. κατατιθεμένων. Junt. Ald. Crat. προτιθεμένων.
4 V. τοιοῦτο.
5 B. 4. ἔστι δὲ εὐάλωτον, & omittit sequens εἶναι.

ςάντας [1], προσεποιεῖτο τὴν ἔλαφον αὐτῷ κατὰ τὰς ὕπνυς διειλέχθαι, κελεύυσαν ἐν ἑτοίμῳ τὰς δυνάμεις ἔχειν. αὖθις δὲ νίκην τινὰ τῶν ἑαυτῦ ςρατηγῶν ἀκύσας, τὸν μὲν ἄγγελον ἔκρυπτε, τὴν δ' ἔλαφον ἐςεφανωμένην ἐπ' εὐαγγελίοις προῆγεν, εὐθυμεῖσθαι παρακαλῶν, καὶ τοῖς θεοῖς θύειν, ὡς ἀγαθόν τι πευσομένυς.

XII. Οὕτω δὲ χειροήθεις ποιησάμενος αὐτὺς, ἐχρῆτο πρὸς ἅπαντα μετριωτέροις, ὐχ ὑπ' ἀνδρὸς ἀλλοδαπῦ λογισμῶν, ἀλλ' ὑπὸ θεῦ ςρατηγεῖσθαι πειθομένοις [2]· ἅμα καὶ τῶν πραγμάτων ἐπιμαρτυρύντων τῷ παρὰ λόγον τὴν δύναμιν αὐξάνεσθαι. δισχιλίοις γὰρ ἑξακοσίοις, ὓς ὠνόμαζε [3] Ῥωμαίυς, συμμίκτοις δὲ ἑπτακοσίοις Λιβύων εἰς Λυσιτανίαν αὐτῷ συνδιαβᾶσι, πελταςὰς τετρακισχιλίυς Λυσιτανῶν καὶ ἱππεῖς ἑπτακοσίυς προσλαβὼν, ἐπολέμει τέτταρσι [4] Ῥωμαίων ςρατηγοῖς· ὑφ' οἷς ἦσαν πεζῶν μὲν δώδεκα μυριάδες, ἱππεῖς δὲ ἑξακισχίλιοι, τοξόται δὲ καὶ σφενδονῆται δισχίλιοι, πόλεις δ' ἀναρίθμητοι τὸ πλῆθος, αὐτὸς εἴκοσι τὰς πάσας ἐν ἀρχῇ κεκτημένος, ἀλλ' ὅμως ἀσθενὴς ὕτω καὶ μικρὸς ἀρξάμενος, ὐ μόνον ἐθνῶν ἐκράτησε μεγάλων, καὶ πόλεις εἷλε πολλὰς, ἀλλὰ καὶ τῶν ἀντιςρατήγων, Κότταν μὲν ἐν τῷ περὶ τὴν Μελλαρίαν πορθμῷ κατεναυμάχησέ πυ· Φίδιον [5] δὲ, τὸν ἄρχοντα τῆς Βαιτικῆς [6], περὶ τὸν Βαῖτιν ἐτρέψατο, δισχιλίυς ἀποκτείνας Ῥωμαίων. Δομέ-

1 R. susp. ἀμφιςάντας, *obsidione cingentes.*

2 Sic cum Mur. & Anon. dari voluit Br. deditque R. pro vulg. πειθομένυς.

3 Br. susp. ἐξώπλιζε, cum Romani revera ab eo armati essent.

4 V. τετράσι. B. 4. τοῖς.

5 Xyl. vertit *Didium.* Anon. & Mur. Δείδιον. Cruser. *Aufidium;* Mos. Dus. susp. ob antecedens πυ prorsus otiosum Φαρφίδιον, vel Περφίδιον; Kind vertit *Fufidium*, utpote cujus mentio fiat in fragm. Sallustii. Freinshem. in Liv. 90, 28. dat *Furstidium.*

6 B. 4. τῶν Βαιτῶν.

Δομέτιον δὲ καὶ ᾿Λέσιον [1], ἀνθύπατον ὄντα τῆς ἑτέρας Ἰβηρίας, διὰ τῦ ταμίυ καταγωνισάμενος, καὶ Θωράνιον [2], ἄλλον ἡγεμόνα τῶν ὑπὸ Μετέλλυ πεμφθέντων μετὰ δυνάμεως, ἀνεῖλεν. αὐτόν τε τὸν Μέτελλον, ἄνδρα Ῥωμαίων [3] ἐν τοῖς τότε μέγισον καὶ δοκιμώτατον, ἐκ ὀλίγοις σφάλμασι περιβαλὼν, εἰς τοσαύτην ἀπορίαν κατέςησεν, ὥςε Λεύκιον μὲν Λόλλιον ἐκ τῆς περὶ Ναρβῶνα Γαλατίας ἐλθεῖν αὐτῷ βοηθὸν, Πομπήϊον δὲ Μάγνον ἐκ Ῥώμης κατὰ τάχος ἀποςαλῆναι μετὰ δυνάμεως. ὐ γὰρ εἶχεν ὁ Μέτελλος, ὅ τι χρήσαιτο προσπολεμῶν [4] ἀνδρὶ τολμητῇ, πάσης ἐξαναδυομένῳ φανερᾶς μάχης [5], πᾶσαν δὲ μεταβαλλομένῳ μεταβολὴν εὐςαλίᾳ καὶ κυφότητι τῆς Ἰβηρικῆς ςρατιᾶς, αὐτὸς ὁπλιτικῶν [6] καὶ νομίμων ἀσκητὴς γεγονὼς ἀγώνων, καὶ ςρατηγὸς ἐμβριθῦς καὶ μονίμυ φάλαγγος, ὤσαθαι μὲν εἰς χεῖρας ἐλθόντας πολεμίυς καὶ καταβαλεῖν ἄριςα γεγυμνασμένης, ὀρειβατεῖν δὲ καὶ συνηρτῆσθαι [7] διώξεσι καὶ φυγαῖς ἀπαύςοις ἀνθρώπων ὑπηνεμίων, καὶ λιμὸν ἀνέχεσθαι καὶ δίαιταν ἄπυρον [8] καὶ ἄσκηνον, ὥσπερ ἐκεῖνοι, μὴ δυναμένης.

XIII.

1 In quibusdam Stephani exemplaribus erat Κλέσιον. Xyl. vel *L. Domitium* tantum, vel *Domitium & Lucium*, i. e. L. Manlium fcriptum fuiffe arbitratur. Mof. Duf. *L. Lollium* hic intrufum fufpicatur; R. autem Δομέτιον Καλκίσιον, *Domitium Calvifium*, ab aliis *Calvinum* appellatum.

2 Anon. & Mur. Τωράνιον; fupplem. Liviana & Florus *Thorium*; in quibusdam Steph. Θράνιον.

3 Junt. Ῥωμαῖον. Ald. & Crat. Ῥωμαίον, ambigue.

4 B. 4. πολεμῶν; V. καταπολεμῶν.

5 Tefte H. Steph. in nonnullis codd. fcriptum eft τύχης. Ita & V.

6 V. B. 4. Junt. ὁ πολιτικῶν; Pro νομίμων Anon. & Mur. μονίμων; a B. 4. abeft ἀγώνων.

7 R. fufp. συνειθίσθαι, affuefcere, affuefieri.

8 Tefte H. Steph. etiam legitur ἄσπορον. Ita V.

XIII. Ἔτι δ' αὐτὸς μὲν ἤδη πρεσβύτερος ἦν, καί τι καὶ πρὸς ἀνειμένην ἤδη καὶ τρυφερὰν δίαιταν ἐκ πολλῶν ἀγώνων καὶ μεγάλων ἐνδεδωκώς [1]. τῷ δὲ Σερτωρίῳ συνειστήκει, πνεύματος ἀκμαίου γέμοντι, καὶ κατεσκευασμένον ἔχοντι θαυμασίως τὸ σῶμα ῥώμῃ καὶ τάχει καὶ λιτότητι. μέθης μὲν γὰρ οὐδὲ ῥαθυμῶν ἥπτετο· πόνους δὲ μεγάλους καὶ μακρὰς ὁδοιπορίας καὶ συνεχεῖς ἀγρυπνίας ὀλίγοις [2] εἴθιστο καὶ φαύλοις ἀρκούμενος σιτίοις διαφέρειν. πλάνοις δὲ χρώμενος ἀεὶ καὶ κυνηγεσίοις, ὁπότε σχολάζοι, πάσης διεκδύσεως φεύγοντι, καὶ διώκοντι [3] κυκλώσεως, ἀβάτων τε καὶ βασίμων τόπων ἐμπειρίαν προσειλήφει. διὸ τῷ μὲν εἰργομένῳ μάχης, ὅσα νικώμενοι πάσχουσιν ἄνθρωποι, βλάπτεσθαι συνέβαινεν· ὁ δὲ τῷ φεύγειν εἶχε τὰ τῶν διωκόντων. καὶ γὰρ ὑδρείας [4] ἀπέκοπτε, καὶ σιτολογίας εἶργε, καὶ προϊόντι μὲν ἐμποδὼν [5] ἦν, ἐκίνει δὲ ἱδρυνθέντα· πολιορκοῦντι δ' ἄλλους ἐπιφαινόμενος, ἀντεπολιόρκει ταῖς τῶν ἀναγκαίων ἀπορίαις. ὥστε τοὺς στρατιώτας ἀπαγορεύειν, καὶ τοῦ Σερτωρίου μονομαχῆσαι προκαλουμένου τὸν Μέτελλον, βοᾷν καὶ κελεύειν μάχεσθαι στρατηγὸν στρατηγῷ, καὶ Ῥωμαῖον Ῥωμαίῳ, ἀναδυόμενον δὲ χλευάζειν. ὁ δὲ τούτων [6] μέν, εὖ ποιῶν, κατεγέλα· στρατηγοῦ γάρ, ὡς ἔφη Θεόφραστος, δεῖ θάνατον ἀποθνήσκειν τὸν στρατηγόν, οὐ πελταστοῦ τοῦ τυχόντος. ὁρῶν δὲ τοὺς Λαγγοβρίτας

1 B. 4. δεδωκώς.

2 abest ὀλίγοις a B. 4.

3 Monente R. ad hos dativos φεύγ. & διώκ. subandi δυνατῆς vel χρησίμης; ad genitivos autem διεκδύσεως & κυκλώσεως subaudi e proximo ἐμπειρίαν.

4 Ex consensu omnium edd. restitui hanc vocem, quae in R. datur ὑδρείαις.

5 V. ἐκποδών.

6 B. 4. ἀναδυόμενος δὲ καὶ χλευάζων τὴν ἐκείνου πλεονεξίαν, τούτων μὲν —

βρίτας οὐ μικρὰ τῷ Σερτωρίῳ συλλαμβανομένους, δίψῃ [1] δ' ὄντας εὐαλώτους, (ἓν γὰρ ἦν αὐτοῖς [2] φρέαρ ἐν τῇ πόλει, τῶν δ' ἐν τοῖς προαστείοις καὶ παρὰ τὰ τείχη ναμάτων ὁ πολιορκῶν ἐπικρατεῖν ἔμελλεν) ἧκεν ἐπὶ τὴν πόλιν, ὡς ἡμέραις [3] δυσὶ συναιρήσων τὴν πολιορκίαν, ὕδατος οὐκ ὄντος. διὸ καὶ πέντε ἡμερῶν ἐπιφέρεσθαι σιτία μόνον προείρητο τοῖς στρατιώταις. ὁ Σερτώριος δ' ὀξέως βοηθήσας, ἐκέλευσε [4] δισχιλίους ἀσκοὺς ὕδατος ἐμπλῆσαι, καθ' ἕκαστον ἀσκὸν ἀργύριον συχνὸν τάξας. καὶ πολλῶν μὲν Ἰβήρων, πολλῶν δὲ Μαυρουσίων ὑφισταμένων τὸ ἔργον, ἐπιλεξάμενος ἄνδρας εὐρώστους ἅμα καὶ ποδώκεις, ἔπεμψε διὰ τῆς ὀρεινῆς, κελεύσας, ὅταν παραδῶσι [5] τοὺς ἀσκοὺς τοῖς ἐν τῇ πόλει, τὸν ἄχρηστον ὑπεξαγαγεῖν ὄχλον, ὅπως ἐξαρκῇ τοῖς ἀμυνομένοις τὸ ποτόν. ἐκπύστου δὲ τούτου γενομένου πρὸς τὸν Μέτελλον, ἤχθετο μὲν, ἤδη τὰ ἐπιτήδεια τῶν στρατιωτῶν ὑπανηλωκότων· ἐξέπεμψε δ' ἐπὶ σιτολογίαν Ἀκύϊνον [6] ἑξακισχιλίων ἡγούμενον. αἰσθόμενος δ' ὁ Σερτώριος, καὶ προλοχίσας τὴν ὁδὸν, ἐπανερχομένῳ τῷ Ἀκυΐνῳ [7] τρισχιλίους ἄνδρας ἔκ τινος συσκίου χαράδρας ἐπανίστησιν [8]. αὐτὸς δὲ κατὰ στόμα προσβαλὼν τρέπεται, καὶ τοὺς μὲν διαφθείρει, τοὺς δὲ λαμβάνει ζῶντας. Ἀκύϊνον δὲ μετὰ τῶν ὅπλων καὶ τὸν ἵππον ἀποβεβληκότα δεξάμενος Μέτελλος, αἰσχρῶς ἀπήει, πολλὰ χλευαζόμενος ὑπὸ τῶν Ἰβήρων.

XIV.

1 Mur. δίψει, quod mavult Mos. Dus.

2 abest αὐτοῖς a B. 4.

3 B. 4. ἡμέραις δέοντος.

4 R. mavult ἐβοήθησε κελεύσας.

5 B. 4. παραδώσουσι.

6 Mur. annott. semper Ἀκυΐλλιον vocant. Etiam mox Anon. Ἀκυϊλλίῳ & Ἀκυΐλλιον. Unde Xyl. *Aquilium* Byano recte vertisse videtur. Sic & Aretin. vertit.

7 B. 4. τῶν ἐντός.

8 B. 4. ἀντανίστησεν.

XIV. Ἔκ τε δὴ τούτων θαυμαζόμενος ἠγαπᾶτο παρὰ τοῖς βαρβάροις ὁ Σερτώριος, καὶ ὅτι Ῥωμαϊκοῖς ὁπλισμοῖς καὶ τάξεσι καὶ συνθήμασιν [1] ἀφαιρῶν τὸ μανικὸν καὶ θηριῶδες αὐτῶν τῆς ἀλκῆς, ἀντὶ λῃστηρίου μεγάλου στρατὸν ἐποιεῖτο τὴν δύναμιν. ἔτι δ' ἀργύρῳ χρώμενος ἀφειδῶς καὶ χρυσῷ κράνη τε κατεκόσμει, καὶ θυρεοὺς αὐτῶν διεποίκιλλε, καὶ χλαμύσιν ἀνθιναῖς καὶ χιτῶσι χρῆσθαι διδάσκων, καὶ χορηγῶν εἰς ταῦτα καὶ συμφιλοκαλῶν ἐδημαγώγει. μάλιστα δὲ εἷλεν αὐτοὺς [2] τὰ τῶν παίδων. τοὺς γὰρ εὐγενεστάτους ἀπὸ τῶν ἐθνῶν συναγαγὼν εἰς Ὄσκαν, πόλιν μεγάλην, διδασκάλους ἐπιστήσας Ἑλληνικῶν τε καὶ Ῥωμαϊκῶν μαθημάτων, ἔργῳ μὲν ἐξωμηρεύσατο, λόγῳ δ' ἐπαίδευεν, ὡς ἀνδράσι γενομένοις πολιτείας τε μεταδώσων καὶ ἀρχῆς. οἱ δὲ πατέρες ἥδοντο θαυμαστῶς, τοὺς παῖδας ἐν περιπορφύροις ὁρῶντες μάλα [3] κοσμίως φοιτῶντας εἰς τὰ διδασκαλεῖα, καὶ τὸν Σερτώριον ὑπὲρ αὐτῶν μισθοὺς τελοῦντα, καὶ πολλάκις ἐπιδείξεις [4] λαμβάνοντα, καὶ γέρα τοῖς ἀξίοις νέμοντα, καὶ τὰ χρυσᾶ περιδέραια δωρούμενον, ἃ Ῥωμαῖοι βούλλας καλοῦσιν. ἔθους δ' ὄντος Ἰβηρικοῦ, τοὺς περὶ τὸν ἄρχοντα τεταγμένους συναποθνήσκειν αὐτῷ πεσόντι, καὶ τοῦτο τῶν ἐκεῖ [5] βαρβάρων κατάσπεισιν ὀνομαζόντων, τοῖς μὲν ἄλλοις ἡγεμόσιν ὀλίγοι τῶν ὑπασπιστῶν καὶ τῶν ἑταί-



1 B. 4. συνθήματα.

2 *Cepit eos*, R. monente, est Latinismus.

3 abest μάλα a B. 4.

4 Sic R. de suo dedit pro vulg. ἀποδείξεις — *examina*; Mur. *συνδείξεις, pro qua voce tamen R. in Mureti exemplo ἐπιδείξεις fuisse non dubitat.

5 abest ἐκεῖ a B. 4. De more hoc Iberico cf. Dio L. 53. Apud Gallos teste Caesare l. 3. B. G. *soldurii* dicebantur, qui eo sacramento se devovebant. Vox κατάσπεισις proprie significat *Libationem*. Usum ejus, hoc loco obvium, transfert Dacerius ad explicanda verba Pauli 2 Tim. 4, 6. ἐγὼ γὰρ ἤδη σπένδομαι.

ἑταίρων, Σερτωρίῳ δὲ πολλαὶ μυριάδες ἀνθρώπων κατεσπεικότων ἑαυτοὺς ἠκολούθουν. λέγεται δὲ, πρός τινι πόλει τροπῆς γενομένης, καὶ τῶν πολεμίων ἐπικειμένων, τοὺς Ἴβηρας ἀμελήσαντας αὑτῶν, τὸν Σερτώριον σώζειν [1], καὶ τοῖς ὤτοις ἐπαραμένους, ἄλλους πρὸ ἄλλων [2], ἀνακουφίσαι πρὸς τὰ τείχη· γενομένου δ' ἐν ἀσφαλεῖ τοῦ ἄρχοντος, οὕτω τρέπεθαι [3] πρὸς φυγὴν ἕκαστον αὐτῶν.

XV. Οὐ μόνον δὲ τοῖς Ἴβηρσιν ἦν ποθεινὸς, ἀλλὰ καὶ τοῖς ἐξ Ἰταλίας στρατευομένοις. Περπέννα γοῦν Οὐέντωνος, ἀπὸ τῆς αὐτῆς Σερτωρίῳ στάσεως, εἰς Ἰβηρίαν παραγενομένου μετὰ χρημάτων πολλῶν καὶ μεγάλης δυνάμεως, ἰδίᾳ δὲ καθ' ἑαυτὸν ἐγνωκότος πολεμεῖν πρὸς τὸν Μέτελλον, ἐδυσχέραινον οἱ στρατιῶται, καὶ πολὺς ἦν τοῦ Σερτωρίου λόγος ἐν τῷ στρατοπέδῳ, τὸν Περπένναν ἀνιῶν, εὐγενείᾳ καὶ πλούτῳ τετυφωμένον. οὐ μὴν ἀλλ' ἐπεὶ Πομπήϊος ἠγγέλλετο τὴν Πυρήνην ὑπερβάλλων, ἀναλαβόντες οἱ στρατιῶται τὰ ὅπλα, καὶ τὰ σημεῖα τῶν τάξεων ἀναρπάσαντες, κατεβόησαν τοῦ Περπέννα, κελεύοντες ὡς τὸν Σερτώριον ἄγειν αὐτούς· εἰ δὲ μὴ, καταλιπόντες ἐκεῖνον ἠπείλουν αὐτοὶ βαδιεῖσθαι πρὸς ἄνδρα σώζεθαι καὶ [4] σώζειν δυνάμενον. συγχωρήσας δ' ὁ Περπέννας ἤγαγεν αὐτοὺς, καὶ συνέμιξε τῷ Σερτωρίῳ, πεντήκοντα καὶ τρεῖς ἔχων σπείρας.

XVI. Σερτώριος δὲ, τῶν ἐντὸς Ἴβηρος αὐτῷ ποταμοῦ πάντων ὁμοῦ τι [5] προστιθεμένων, πλήθει μὲν ἦν μέγας· ἐπέῤῥεον γὰρ ἀεὶ καὶ συνεφέροντο πανταχόθεν πρὸς

1 R. mavult σῶσαι ob insequens ἀνακουφίσαι, nisi si quid circa σώζειν desit, e. c. ζητῆσαι.

2 R. quaerit, num ἄλλους πρὸ ἄλλων στάντας, an ἄλλους παρ' ἄλλων λαβόντας. B. 4. πρὸς pro πρὸ.

3 R. mavult τραπέσθαι.

4 B. 4. τῷ καὶ. Pro seq. part. δ' R. mavult οὖν.

5 abest τι a B. 4. Pro προστιθ. V. κατατιθεμένων.

πρὸς αὐτόν· ἀταξίᾳ δὲ βαρβαρικῇ καὶ θρασύτητι ταραττόμενος, ἐπιχειρεῖν τοῖς πολεμίοις βοώντων [1], καὶ τὴν τριβὴν δυσανασχετούντων, ἐπειρᾶτο παραμυθεῖσθαι διὰ λόγων. ὡς δ' ἑώρα χαλεπαίνοντας καὶ βιαζομένους ἀκαίρως, προήκατο [2] καὶ περιεῖδε συμπλεκομένους τοῖς πολεμίοις· ἐν οἷς [3] οὐ παντελῶς συντριβέντας, ἀλλὰ πληγὰς λαβόντας, ἤλπιζε πρὸς τὰ λοιπὰ κατηκόους μᾶλλον ἕξειν [4]. ὧν δ' εἴκαζε γενομένων, ἐπιβοηθήσας, ἀνέλαβέ τε φεύγοντας αὐτούς, καὶ κατέστησεν ἀσφαλῶς εἰς τὸ στρατόπεδον. βουλόμενος δὲ καὶ τὴν ἀθυμίαν ἀφελεῖν, μεθ' ἡμέρας ὀλίγας πάνδημον ἐκκλησίαν ἀθροίσας, ἵππους εἰσήγαγε δύο, τὸν μὲν ἀσθενῆ τελέως, καὶ πρεσβύτερον ἤδη, τὸν δ' ἕτερον [5] εὐμεγέθη μὲν αὐτὸν καὶ ἰσχυρόν, θαυμαστὴν δὲ πυκνότητι καὶ κάλλει τριχῶν οὐρὰν ἔχοντα. παρειστήκει δὲ τῷ μὲν ἀσθενεῖ μέγας ἀνὴρ καὶ ῥωμαλέος, τῷ δ' ἰσχυρῷ μικρὸς ἕτερος, καὶ τὴν ὄψιν εὐκαταφρόνητος. σημείου δὲ δοθέντος αὐτοῖς, ὁ μὲν ἰσχυρὸς ἀμφοτέραις ταῖς χερσὶ τοῦ ἵππου τὴν κέρκον, ὡς ἀποῤῥήξων [6], εἷλκε βίᾳ πρὸς αὐτόν· ὁ δ' ἀσθενὴς τοῦ ἰσχυροῦ κατὰ μίαν τῶν τριχῶν ἐξέτιλλεν. ἐπεὶ δ' ὁ μέν, οὐκ ὀλίγα πράγματα μάτην ἑαυτῷ καὶ πολὺν γέλωτα τοῖς θεωμένοις [7] παρασχών, ἀπεῖπεν, ὁ δ' ἀσθενὴς ἐν ἀκαρεῖ [8] καὶ σὺν οὐδενὶ πόνῳ ψιλὴν τριχῶν ἀπέδειξε τὴν οὐράν, ἀναστὰς ὁ Σερτώριος· Ὁρᾶτε, εἶπεν, ἄνδρες σύμμαχοι, τὴν ἐπιμονὴν ἀνυσιμωτέραν τῆς βίας οὖσαν,



1 abest βοώντων a B. 4.
2 B. 4. προσέκατο. Junt. in seq. καὶ περιϊδεῖν.
3 Mosc. Dus. susp. ἐφ' οἷς.
4 B. 4. κατηκόους γενέσθαι.
5 B. 4. τὸν δὲ δεύτερον.
6 Voces hae ὡς ἀποῤῥ. absunt a B. 4.
7 Post hanc vocem B. 4. inserit ἑαυτόν.
8 Sic cum praepositione R. dedit cum B. 4. & Mur. Vulgo deest. H. Steph. suspicatus est ἀκαρῆ. Pro seq. πόνῳ Junt. sola χρόνῳ.

καὶ πολλὰ τῶν ἀθρόως ἀλήπτων ἐνδιδόντα τῷ κατὰ μικρόν. ἄμαχον γὰρ τὸ ἐνδελεχὲς, ᾧ πᾶσαν [1] ἐπιὼν ὁ χρόνος αἱρεῖ καὶ κατεργάζεται δύναμιν, εὐμενὴς ὢν σύμμαχος [2] τοῖς δεχομένοις λογισμῷ τὸν καιρὸν αὐτοῦ, τοῖς δ' ἀκαίρως ἐπειγομένοις πολεμιώτατος. Τοιαῦτα μὲν ὁ Σερτώριος ἑκάστοτε [3] πλέκων παραμύθια τοῖς βαρβάροις, διεπαιδαγώγει τὸν καιρόν [4].

XVII. Οὐδενὸς δὲ ἧττον αὐτοῦ τῶν πολεμικῶν ἔργων ἐθαυμάσθη τὸ περὶ τοὺς λεγομένους Χαρακιτανούς. εἰσὶ δὲ δῆμος ὑπὲρ τὸν Ταγώνιον ποταμὸν [5], οὐκ ἄστεσιν, οὐδὲ κώμαις ἐνοικοῦντες, ἀλλὰ λόφος ἐστὶν εὐμεγέθης καὶ ὑψηλὸς, ἄντρα καὶ κοιλώματα πετρῶν βλέποντα πρὸς βορέαν περιέχων. ἡ δ' ὑποκειμένη πᾶσα χώρα πηλὸν ἀργιλώδη καὶ γῆν ὑπὸ χαυνότητος εὔθρυπτον ἀναδίδωσιν, οὔτε τοὺς ἐπιβαίνοντας ἀνέχεσθαι καρτερὰν, καὶ μικρὸν ἁψαμένων, ὥσπερ ἄσβεστον, ἢ τέφραν ἐπὶ πολὺ διαχεομένην [6]. τῶν οὖν βαρβάρων, ὁσάκις Φόβῳ πολέμου καταδύντες εἰς τὰ σπήλαια, καὶ τὴν λείαν εἴσω συναγαγόντες ἀτρεμοῖεν, ὄντων ἀλήπτων ὑπὸ βίας· τὸν δὲ Σερτώριον, τότε διακεκριμένον [7] ἀπὸ τοῦ Μετέλλου, καὶ καταστρατοπεδεύσαντα παρὰ [8] τὸν λόφον, ὑπερφρο-

1 B. 4. ὧν πάντων.

2 B. 4. εὖ μὲν οὖν ποιῶν καὶ σύμμαχος.

3 B. 4. ἑκάθητό τε.

4 R. fufp. διεπαιδαγώγει, fcil. αὐτοὺς, πρὸς τὸν καιρὸν; dubitabat jocularibus fuis nugis barbaros pro re nata, prout tempore quoque effet opportunum.

5 Anon. & Mur. Τάγον. (Sic in ind. Frft. — Ταγὸν in ind. Br.) R. fufp. τὸν Τάγον, τὸν ποταμὸν, vel τ. Τ. τὸν μέγαν ποταμόν. Mof. Duf. vix quicquam de fluvio ftatui poffe cenfet, cum ignoti fint Characitani illi. Kind eos in Caftilia Nova collocavit, in regione urbis, hodie dictae Carraca.

6 B. 4. χεομένην.

7 R. quaerit, num διακεκλεμμένον, a κλέπτειν, qui tum a Metello fe clam fubduxerat, furtim removerat.

8 abeft παρὰ a B. 4.

φρονούντων, ὡς κεκρατημένον, εἴτε ὑπ' ὀργῆς ἐκεῖνος, εἴτε καὶ μὴ [1] δοκεῖν φεύγειν βουλόμενος, ἅμ' ἡμέρᾳ προσελάσας, κατεσκέπτετο τὸν τόπον. οὐδαμόθεν δὲ προσβολὴν ἔχοντος, ἄλλως [δ' [2]] ἀλύων, καὶ κεναῖς χρώμενος ἀπειλαῖς, ὁρᾷ τῆς γῆς ἐκείνης κονιορτὸν ἄνω πολὺν ὑπὸ πνεύματος [3] ἐπ' αὐτοὺς φερόμενον. τέτραπται μὲν γὰρ, ὡς ἔφην, τὰ σπήλαια πρὸς βορέαν. ὁ δ' ἀπὸ τῆς ἄρκτου ῥέων ἄνεμος, ὃν Καικίαν ἔνιοι καλοῦσιν, ἐπέχει μάλιστα, καὶ πλεῖστός ἐστι τῶν ἐκεῖ πνευμάτων, ἐξ ὑγρῶν πεδίων καὶ νιφοβόλων συμφυσώμενος ὀρῶν. τότε δὲ καὶ, θέρους ἀκμάζοντος, ἰσχύων καὶ τρεφόμενος τῇ τῶν ὑπαρκτίων [4] ἀνέσει πάγων, ἥδιστος ἐπέπνει, καὶ κατεῖχεν αὐτούς τε καὶ βοτὰ δι' ἡμέρας ἀναψύχων. ταῦτα δὴ συλλογιζόμενος ὁ Σερτώριος, καὶ παρὰ τῶν ἐγχωρίων ἀκούων, ἐκέλευσε τοὺς στρατιώτας, τῆς ἀραιᾶς καὶ τεφρώδους γῆς ἐκείνης ἀποσπῶντας [5] καὶ παραφέροντας κατ' ἀντικρὺ τοῦ λόφου θῖνα ποιεῖν· ἣν οἱ βάρβαροι χώματος ἐπ' αὐτοὺς εἶναι [6] κατασκευὴν ὑπονοοῦντες, ἐχλεύαζον. τότε μὲν οὖν ἐργασαμένους τοὺς στρατιώτας ἄχρι νυκτὸς ἀπήγαγεν, ἅμα δ' ἡμέρᾳ πρῶτον μὲν αὔρα μαλακὴ προεπέπνει [7], διακινοῦσα τῆς συμπεφορημένης γῆς τὸ λειότατον, ὥσπερ ἄχνην, σκιδνάμενον. ἔπειτα σοβαροῦ τοῦ Καικίου πρὸς τὸν ἥλιον ἐκχεομένου, καὶ τῶν λόφων κονιω-



1 Sic R. de suo dedit. Vulgo pro καὶ datur τὸ.

2 R. hanc partic. uncis inclusit, quam, eo ipso judice, plane sustulisse praestabat.

3 Vulgo datur secundum Steph. cum artic. ὑπὸ τοῦ πν. Eum omisit R. cum B. 4. Junt. Ald. Crat.

4 V. ἀπαρκτίων.

5 R. susp. ἀποσμῶντας, mit der Schuppe, oder Schaufel, vom Haufen weggraben.

6 abest εἶναι a B. 4.

7 Sic R. dedit, paulum mutata lectione Junt. Ald. Crat. προαπέπνει — *prius adspirabat, antequam Caecias surgeret.* Vulgo προσανέπνει. B. 5. προσεπέπνει.

κονιωμένων, ἐπιστάντες οἱ στρατιῶται τόν τε χοῦν ἀνέτρεπον διὰ βάθους [1], καὶ τὸν πηλὸν ἔκοπτον. ἔνιοι δὲ καὶ τοὺς ἵππους ἄνω καὶ κάτω διεξήλασαν [2], ἀνιστάντες τὸ χαύνωμα, καὶ τῇ πνοῇ μετέωρον παραδιδόντες. ἡ δὲ ὑπολαμβάνουσα πᾶν τὸ θρυπτόμενον [3] καὶ κινούμενον ἄνω, προσέβαλλε τοῖς οἰκήμασι τῶν βαρβάρων, κατὰ θύρας δεχομένοις τὸν Καικίαν. οἱ δ', ἅτε δὴ [4] τῶν σπηλαίων μίαν ἐκείνην ἀναπνοὴν ἐχόντων, ᾗ τὸ πνεῦμα προσέπιπτε, ταχὺ μὲν ἀπεσκοτοῦντο τὰς ὄψεις, ταχὺ δ' ἀνεπίμπλαντο πνιγώδους ἄσθματος, τραχὺν ἀέρα καὶ πολλῇ κόνει συμπεφυρμένον [5] ἕλκοντες. ὅθεν ἡμέρας δύο μόλις ἀνασχόμενοι, τῇ τρίτῃ παρέδωκαν ἑαυτοὺς, οὐ τοσοῦτον Σερτωρίῳ δυνάμεως, ὅσον δόξης, προσθέντες, ὡς τὰ δι' ὅπλων ἀνάλωτα σοφίᾳ κατεργασαμένῳ.

XVIII. Μέχρι μὲν οὖν τοῖς περὶ Μέτελλον ἐπολέμει, τὰ πλεῖστα κατευτυχεῖν ἐδόκει, γήρᾳ καὶ φυσικῇ βραδυτῆτι τοῦ Μετέλλου πρὸς ἄνδρα τολμητὴν, καὶ λῃστρικῆς μᾶλλον, ἢ στρατιωτικῆς, ἡγούμενον δυνάμεως, οὐκ ἀναφέροντος· ἐπεὶ δὲ καὶ Πομπηΐῳ τὴν Πυρήνην ὑπερβαλόντι [6] παραστρατοπεδεύσας, καὶ πᾶσαν ἅμα μὲν διδοὺς, ἅμα δὲ λαμβάνων στρατηγικῶν παλαισμάτων πεῖραν, ἀντιτεχνώμενός τε καὶ φυλαττόμενος πλεῖον εἶχε, κομιδῇ διεβοήθη μέχρι Ῥώμης, ὡς δεινότατος ὢν πολέμου

1 Hanc lectionem e Junt. & Ald. se restituisse monet R. pro vulg. βάθος. Haec tamen non nisi in Br. vitiose datur. Omnes reliquae edd. exhibent βάθους. Paulo post V. σπίλον pro πηλὸν, in ind. Frft.

2 abest haec vox a B. 4.

3 Verba παραδιδόντες usque ad θρυπτόμ. absunt a B. 4.

4 B. 4. ἅτε διά. Paulo post id. ἀνεσκοτοῦντο pro ἀπεσκ.

5 B. 4. V. συμπεφορημένον (in ind. Frft. V. συμπεφορημένων.)

6 Sic Br. dandum censuit, deditque R. pro vulg. ὑπερβάλλοντι.

μον μεταχειρίσασθαι τῶν τότε στρατηγῶν. οὐ γάρ τι[1] μικρὸν ἦν τὸ Πομπηΐου κλέος, ἀλλ' ἤνθει τότε μάλιστα πρὸς δόξαν ἐκ τῶν περὶ Σύλλαν ἀνδραγαθημάτων, ἐφ' οἷς καὶ Μάγνος ὑπ' αὐτοῦ, τουτέστι μέγας, ἐπωνομάσθη· τιμῶν τε θριαμβικῶν οὔπω γενειῶν ἔτυχεν. ὅθεν καὶ πολλαὶ τῶν ὑπὸ Σερτωρίῳ πόλεων ἀποβλέψασαι πρὸς αὐτὸν, ὁρμὴν μεταβολῆς ἔσχον, εἶτ' ἐπαύσαντο, τοῦ περὶ Λαύρωνα πάθους παρὰ πᾶσαν ἐλπίδα συμβάντος. Σερτωρίου γὰρ πολιορκοῦντος αὐτοὺς, ἧκε Πομπήϊος πανστρατιᾷ βοηθήσων, εἶτα ὁ μὲν λόφον εὖ δοκοῦντα πεφυκέναι κατὰ τῆς πόλεως προληψόμενος, ὁ δὲ τοῦτο κωλύσων ἠπείγετο. τοῦ δὲ Σερτωρίου φθάσαντος, ἐπιστήσας τὸν στρατὸν ὁ Πομπήϊος, ἔχαιρε τῇ συντυχίᾳ, νομίζων ἐν μέσῳ τῆς πόλεως καὶ τῆς αὐτοῦ στρατιᾶς ἀπειλῆφθαι τὸν Σερτώριον· καὶ πρὸς τοὺς Λαυρωνίτας εἰσέπεμψε, θαῤῥεῖν κελεύων, καὶ καθῆσθαι περὶ τὰ τείχη θεωμένους πολιορκούμενον Σερτώριον[2]. ἐκεῖνος δ' ἀκούσας ἐγέλασε, καὶ τὸν Σύλλα μαθητὴν (οὕτω γὰρ τὸν Πομπήϊον ἐπισκώπτων προσηγόρευεν) αὐτὸς ἔφη διδάξειν, ὅτι δεῖ τὸν στρατηγὸν κατόπιν μᾶλλον, ἢ κατὰ πρόσωπον, βλέπειν. ταῦτα δὲ λέγων, ἅμα τοῖς πολιορκουμένοις ἐπεδείκνυεν ἑξακισχιλίους ὁπλίτας ὑπ' αὐτοῦ καταλελειμμένους ἐπὶ τοῦ προτέρου χάρακος, ὅθεν ὁρμηθεὶς κατειλήφει τὸν λόφον· ὅπως ἐπὶ σφᾶς τρεπομένῳ τῷ Πομπηΐῳ κατὰ νώτου προσπέσοιεν[3]. ὁ δὴ καὶ Πομπήϊος ὀψὲ μάλα συμφρονήσας, ἐπιχειρεῖν μὲν οὐκ ἐθάῤῥει, κύκλωσιν δεδοικὼς, ἀπολιπεῖν δ' ᾐσχύνετο κινδυνεύοντας ἀνθρώπους· παρὼν δὲ καὶ καθήμενος ἠναγκάζετο[4] ὁρᾷν ἀπολλυμένους. ἀπέγνωσαν γὰρ αὐτοὺς οἱ βάρβαροι, καὶ τῷ Σερτωρίῳ παρέδωκαν. ὁ δὲ τῶν μὲν σωμάτων ἐφείσατο, καὶ πάν-

 τας

1 τι abest a B. 4.
2 Verba καὶ πρὸς τοὺς Λαυ. usque ad Σερτώρ. desunt B. 4.
3 V. περιπέσοιεν; Id. paulo post μάλιστα pro μάλα.
4 abest ἠνάγκ. a B. 4. — item paulo post sequens αὐτοὺς·

τας ἀφῆκε, τὴν δὲ πόλιν κατέπρησεν, ἐχ ὑπ' ὀργῆς, ἐδ' ὠμότητος, (ἐλάχιστα γὰρ δοκεῖ θυμῷ χαρίσασθαι τῶν στρατηγῶν ἕτος ἀνὴρ) ἀλλ' ἐπ' αἰσχύνῃ καὶ κατηφείᾳ τῶν τεθαυμακότων Πομπήϊον· ἵνα ᾖ λόγος ἐν τοῖς βαρβάροις, ὅτι παρὼν ἐγγὺς καὶ μονονὲ θερμαινόμενος τῷ πυρὶ τῶν συμμάχων ἐ προσήμυνεν.

XIX. Ἧτται μὲν ἐν τῷ Σερτωρίῳ πλείονες συνέβαινον, αὐτὸν μὲν ἀήττητον ἀεὶ [1] φυλάττοντι, καὶ τὲς καθ' αὐτὸν, θραυομένῳ δὲ περὶ τὲς ἄλλες ἡγεμόνας. ἐκ δὲ ὧν ἐπηνωρθἕτο τὰς ἧττας, μᾶλλον ἐθαυμάζετο νικώντων τῶν ἀντιστρατήγων, οἷον ἐν τῇ περὶ Σέκρωνα [2] μάχῃ πρὸς Πομπήϊον, καὶ πάλιν ἐν τῇ περὶ Τετ]ίαν [3], πρὸς τε τἕτον ὁμἕ καὶ Μέτελλον. ἡ μὲν ἐν περὶ Σέκρωνι [4] μάχη λέγεται γενέσθαι τἕ Πομπηΐε κατεπείξαντος, ὡς μὴ μετάσχοι τῆς νίκης Μέτελλος. ὁ δὲ Σερτώριος ἐβέλετο μὲν τῷ Πομπηΐῳ, πρὶν ἐπελθεῖν τὸν Μέτελλον, διαγωνίσασθαι. παραγαγὼν [5] δ' ἑσπέρας ἤδη συνέβαλεν, οἰόμενος, ξένοις ἐσι καὶ ἀπείροις τῶν χωρίων τοῖς πολεμίοις τὸ σκότος ἔσεσθαι καὶ φεύγεσιν ἐμπόδιον [6] καὶ διώκεσι. γενομένης δὲ τῆς μάχης ἐν χερσὶν,

1 B. 4. pro ἀεὶ dat ἄν.

2 Sic cum Anon. & Mur. dari placuit Br. deditque R. Vulgo Σέκρωνι. Idem R. aut περὶ Σέκρωνα, aut παρὰ Σέκρωνι corrigendum cenſuit.

3 Anon. Δεσίαν. Xyl. vertit ad *Duriam*, & ſignificari cenſet proelium Durienſe, cujus mentio fiat apud Cic. in Or. pro L. Corn. Balbo, & in fragm. epiſtolae Pompeji ad Senatum. (Cf. Fragm. L. III. Hiſtor. Sall.) At hoc ipſo in loco Graevius *Turium* vult intelligi T. III. P. I. p. 523. Hinc Moſ. Duſ. legendum cenſet περὶ Τερίαν. Aretin. *Turiam*, notante Xylandro, vertit. In mea, quam ad manus habeo, verſionum collectione extat *Tuctiam*.

4 Cur hoc loco caſus hic intactus remanſit, vix mutatus in accuſativum?

5 B. 4. ἐπαγαγών.

6 V. ἐμποδών.

σὶν, ἔτυχε μὲν ἐ πρὸς Πομπήϊον αὐτὸς, ἀλλὰ πρὸς Ἀφράνιον ἐν ἀρχῇ συνεστηκὼς, ἔχοντα τὸ ἀριστερὸν, αὐτὸς ἐπὶ τῷ δεξιῷ τεταγμένος. ἀκέσας δὲ, τῷ Πομπηΐῳ τὲς συνεστῶτας [1] ὑποχωρεῖν ἐγκειμένῳ καὶ κρατεῖσθαι, τὸ μὲν δεξιὸν ἐπ' ἄλλοις ἐποιήσατο στρατηγοῖς, πρὸς [2] δ' ἐκεῖνο τὸ νικώμενον αὐτὸς ἐβοηδρόμει. καὶ τὲς μὲν ἤδη τρεπομένες, τὲς δ' ἔτι μένοντας ἐν τάξει, συναγαγὼν καὶ ἀναθαῤῥύνας, ἐξ ὑπαρχῆς ἐνέβαλε τῷ Πομπηΐῳ διώκοντι· καὶ φυγὴν ἐποιήσατο πολλὴν, ὅτε [3] καὶ Πομπήϊος ἐγγὺς ἐλθὼν ἀποθανεῖν, καὶ τραυματισθεὶς, παραλόγως διέφυγεν. οἱ γὰρ μετὰ Σερτωρίε Λίβυες, ὡς ἔλαβον αὐτῷ τὸν ἵππον χρυσῷ κεκοσμημένον, καὶ φαλάρων ἀνάπλεων πολυτελῶν, ἐν τῷ διανέμεσθαι καὶ διαφέρεσθαι πρὸς ἀλλήλες, προήκαντο τὴν δίωξιν. Ἀφράνιος δὲ τὲς ἀνθεστῶτας πρὸς αὐτὸν, ἅμα τῷ Σερτώριον ἀπελθεῖν ἐπὶ θάτερα βοηθῦντα, τρεψάμενος εἰς τὸ στρατόπεδον κατήῤῥαξε· καὶ συνεισπεσὼν, ἐπόρθει σκότες ἤδη ὄντος, μήτε τὴν Πομπηΐε φυγὴν εἰδὼς, μήτε τὲς στρατιώτας τῆς ἁρπαγῆς ἐπισχεῖν δυνάμενος. ἐν τέτῳ δὲ Σερτώριος ἀνέστρεφε, τὸ καθ' αὐτὸν νενικηκώς· καὶ τοῖς Ἀφρανίε δι' ἀταξίαν ταρασσομένοις ἐπιπεσὼν, πολλὲς [4] διέφθειρε. πρωῒ δ' αὖθις ἐξοπλισθεὶς ἐπὶ μάχην κατέβαινεν· εἶτα Μέτελλον αἰσθόμενος ἐγγὺς εἶναι, λύσας τὴν τάξιν, ἀνέζευξεν, εἰπών· Ἀλλ' ἔγωγε τὸν παῖδα τῦτον, εἰ μὴ παρῆν ἡ γραῦς ἐκείνη, πληγαῖς ἂν νεθετήσας εἰς Ῥώμην ἀπεστάλκειν.

XX. Ἠθύμει δὲ δεινῶς διὰ τὸ μηδαμῦ φανερὰν τὴν ἔλαφον ἐκείνην εἶναι. μηχανῆς γὰρ ἐπὶ τὲς βαρβάρες ἐστέρητο θαυμαστῆς, τότε δὴ μάλιστα παραμυθίας δεο-

1 R. fusp. τὰς ἑαυτῷ συνεστῶτας, *milites secum stantes*, partium suarum.

2 V. κατά.

3 B. 4. ὥστε.

4 B. 4. πολλά.

δεομένυς. εἶτα μέντοι νυκ]ὸς ἄλλως πλανωμενοί τινες ἐπιτυγχάνυσιν αὐτῇ, καὶ γνωρίσαν]ες ἀπὸ τῆς χρόας λαμβάνυσιν. ἀκύσας δ' ὁ Σερτώριος, ἐκείνοις μὲν ὡμολόγησεν, ἂν μηδενὶ Φράσωσι, χρήματα πολλὰ δώσειν· ἀποκρύψας δὲ τὴν ἔλαφον, καὶ διαλιπὼν ὀλίγας ἡμέρας, προῄει μάλα Φαιδρὸς ἀπ' ὄψεως [1] ἐπὶ τὸ βῆμα, διηγύμενος τοῖς ἡγεμόσι τῶν βαρβάρων [2], ὡς ἀγαθόν τι μέγα τῦ θεῦ προμηνύον]ος αὐτῷ κατὰ τὺς ὕπνυς· εἶτ' ἀναβὰς ἐπὶ τὸ βῆμα, τοῖς ἐντυγχάνυσιν, ἐχρημάτιζεν. ἡ δ' ἔλαφος ὑπὸ τῶν Φυλατ]όντων αὐτὴν ἐγγὺς ἀφεθεῖσα, καὶ κατιδῦσα τὸν Σερτώριον, ἐχώρει δρόμῳ περιχαρὴς πρὸς τὸ βῆμα, καὶ παραςᾶσα τὴν κεφαλὴν ἐπέθηκε τοῖς γόνασιν αὐτῦ, καὶ τῷ ςόματι τῆς δεξιᾶς ἔψαυεν, εἰθισμένη καὶ πρότερον τῦτο ποιεῖν. ἀντιφιλοφρονυμένυ δὲ τῦ Σερτωρίυ πιθανῶς, καί τι καὶ δακρύσαν]ος [3], ἔκπληξις εἶχε τὺς παρόντας τὸ πρῶτον· εἶτα κρότῳ καὶ βοῇ τὸν Σερτώριον, ὡς δαιμόνιον ἄνδρα καὶ θεοῖς Φίλον, οἴκαδε προπέμψαν]ες, ἐν εὐθυμίαις καὶ χρηςαῖς ἐλπίσιν ἦσαν.

XXI. Ἐν δὲ τοῖς τῶν Σεγυντίνων [4] πεδίοις εἰς τὰς ἐσχάτας ἀπορίας κατακεκλεικὼς τὺς [5] πολεμίυς, ἠναγκάσθη συμβαλεῖν αὐτοῖς καταβαίνυσιν ἐφ' ἁρπαγὴν καὶ σιτολογίαν. ἠγωνίσθη δὲ λαμπρῶς παρ' ἀμφοτέρων. καὶ Μέμμιος μὲν, ὁ τῶν ὑπὸ Πομπηΐῳ ςρατηγῶν ἡγεμονικώτα-

1 Monente Mos. Dus. ὄψις h. l. *somnium* denotat. Ita quoque vertit Kind. Schirach autem priores sequitur interpp. qui dant: vultu ad laetitiam composito.

2 Teste H. Steph. in quibusdam est Ἰβηρίων. Sic quoque B. 4. idemque, Br. notante, voluit V. in quo legitur τῶν βήρων.

3 R. susp. ἐπιδακρύσαντος.

4 Br. cum B. 4. Mur. & Xyl. scribi vult Σαγυντίνων. Xyl. annotat, apud Appianum rectius legi περὶ Σαγυντίαν.

5 Artic. hunc e Junt. restituit R. Vulgo deest secundum Aldinam.

κώτατος, ἐν τῷ καρτερωτάτῳ τῆς μάχης ἔπεσεν· ἐκράτει δὲ Σερτώριος, καὶ φόνῳ πολλῷ τῶν ἔτι συνεςώτων ἐωθεῖτο πρὸς αὐτὸν τὸν [1] Μέτελλον. ὁ δὲ [2] παρ' ἡλικίαν ὑποςὰς καὶ περιφανῶς ἀγωνιζόμενος, παίεται δόρατι. τὸτο τὸς μὲν ἰδόντας τῶν Ῥωμαίων, τὸς δ' [3] ἀκέσαντας αἰδὼς ἔσχεν ἐγκαταλιπεῖν τὸν ἡγεμόνα, καὶ θυμὸς ἅμα πρὸς τὸς πολεμίους παρέστη. προθέμενοι δὲ [4] τὸς θυρεὸς, καὶ συνεξενεγκόντες εὐρώςως, ἐξωθὸσι τὸς Ἴβηρας· καὶ γενομένης ὅτω παλιντρόπε τῆς νίκης, ὁ Σερτώριος ἐκείνοις τε φυγὰς ἀδεεῖς μηχανώμενος, καὶ τεχνάζων ἑτέραν αὐτῷ δύναμιν συνελθεῖν ἐφ' ἡσυχίας, εἰς πόλιν ὀρεινὴν καὶ καρτερὰν ἀναφυγὼν, ἐφράγνυτο τὰ τείχη, καὶ τὰς πύλας ὠχυρὸτο, πάντα μᾶλλον, ἢ πολιορκίαν, ὑπομένειν διανοόμενος, ἀλλ' ἐξηπάτα τὸς πολεμίους. ἐκείνῳ γὰρ προσκαθεζόμενοι, καὶ τὸ χωρίον ὁ χαλεπῶς λήψεσθαι προσδοκῶντες, τός τε φεύγοντας τῶν βαρβάρων προΐεντο, καὶ τῆς ἀθροιζομένης αὖθις τῷ Σερτωρίῳ δυνάμεως ἠμέλησαν. ἠθροίζετο δὲ, πέμψαντος ἡγεμόνας ἐπὶ τὰς πόλεις αὐτὸ [5], καὶ κελεύοντος, ὅταν ἤδη πολλὸς ἔχωσιν, ἄγγελον ἀποςεῖλαι πρὸς αὐτόν. ἐπεὶ δ' ἀπέςειλαν, σὺν ὀδενὶ πόνῳ διεκπαισάμενος τὸς πολεμίους, συνέμιξε τοῖς ἑαυτὸ· καὶ πάλιν ἐπῄει πολὺς γεγονὼς, καὶ περιέκοπτεν αὐτῶν τὴν μὲν ἀπὸ τῆς γῆς εὐπορίαν, ἐνέδραις καὶ κυκλώσεσι, καὶ τῷ πανταχόσε φοιτᾷν, ὀξὺς ἐπιών· τὰ δ' ἐκ θαλάττης, λῃςρικοῖς σκάφεσι κατέχων τὴν παραλίαν. ὥς' ἠναγκάσθησαν οἱ ςρατηγοὶ διαλυθέντες, ὁ μὲν εἰς Γαλατίαν ἀπελθεῖν, Πομπήϊος δὲ περὶ Βακκαίους διαχειμάσαι μοχθηρῶς

1 Junt. Ald. Crat. omittunt τὸν, Steph. dedit.

2 V. ὁ δὲ καί.

3 Ante haec verba aliquid excidiſſe videtur Moſ. Duſ.

4 δὲ non legitur in Junt. Ald. Crat. Hinc R. ejus loco mavult ὧν, aut ſic legi: ὥςε προθέμ. τ. θυρ.

5 abeſt αὐτὸ a B. 4.

ῥῶς ὑπ' ἀχρηματίας, γράφων πρὸς τὴν σύγκλητον, ὡς ἀπάξει [1] τὸν στρατὸν, εἰ μὴ πέμποιεν ἀργύριον αὐτῷ· καταναλωκέναι γὰρ ἤδη τὰ αὐτοῦ, προπολεμῶν τῆς Ἰταλίας. καὶ πολὺς ἦν οὗτος ἐν Ῥώμῃ λόγος, ὡς Πομπηΐου πρότερος εἰς Ἰταλίαν ἀφίξοιτο Σερτώριος. εἰς τοσοῦτον τοὺς πρώτους καὶ δυνατωτάτους τῶν τότε στρατηγῶν ἡ Σερτωρίου δεινότης κατέστησεν.

XXII. Ἐδήλωσε δὲ καὶ Μέτελλος, ἐκπεπληγμένος τὸν ἄνδρα καὶ μέγαν ἡγούμενος. ἐπεκήρυξε γὰρ, εἴ τις αὐτὸν ἀνέλοι Ῥωμαῖος, ἑκατὸν ἀργυρίου τάλαντα δώσειν, καὶ πλέθρα δυσμύρια γῆς· εἰ δὲ φυγὰς, κάθοδον εἰς Ῥώμην· ὡς ἀπογνώσει φανερᾶς ἀμύνης, ὠνούμενος τὸν ἄνδρα διὰ προδοσίας. ἔτι δὲ νικήσας ποτὲ μάχῃ τὸν Σερτώριον, οὕτως ἐπήρθη, καὶ τὴν εὐτυχίαν ἠγάπησεν, ὥστ' αὐτοκράτωρ ἀναγορευθῆναι· θυσίαις δ' αὐτὸν αἱ πόλεις ἐπιφοιτῶντα καὶ βωμοῖς ἐδέχοντο. λέγεται δὲ καὶ στεφάνων ἀναδέσεις προσίεσθαι, καὶ δείπνων σοβαρωτέρων ὑποδοχὰς, ἐν οἷς ἐσθῆτα θριαμβικὴν ἔχων ἔπινε, καὶ νῖκαι πεποιημέναι δι' ὀργάνων ἐπιδρόμων χρύσεα τρόπαια καὶ στεφάνους διαφέρουσαι κατήγοντο, καὶ χοροὶ παίδων καὶ γυναικῶν ἐπινικίους ὕμνους ᾖδον εἰς αὐτόν. ἐφ' οἷς εἰκότως ἦν καταγέλαστος, εἰ δραπέτην Σύλλα, καὶ λείψανον τῆς Κάρβωνος φυγῆς ἀποκαλῶν τὸν Σερτώριον, οὕτω κεχαύνωται καὶ περιχαρὴς γέγονεν, ὑποχωρήσαντος αὐτοῦ περιγενόμενος. μεγαλοφροσύνης [2] δὲ τοῦ Σερτωρίου πρῶτον μὲν, τὸ τοὺς φεύγοντας ἀπὸ Ῥώμης βουλευτὰς καὶ παρ' αὐτῷ [3] διατρίβοντας σύγκλητον ανα-

1 B. 4. ἀπαλλάξει.

2 Sic in quibusdam vetustis libris fuisse, testatur H. Steph. & sic cum Mur. dari voluit Mos. Dus. deditque R. pro vulg. μεγαλοφροσύνη.

3 Sic se restituisse e Junt. & Ald. R. monet pro vulg. αὐτοῦ. Haec tamen lectio non nisi in Br. extat; omnes rel. edd. αὐτῷ.

ἀναγορεῦσαι, ταμίας τε καὶ στρατηγοὺς ἐξ ἐκείνων ἀποδεικνύναι, καὶ πάντα τοῖς πατρίοις νόμοις τὰ τοιαῦτα κοσμεῖν· ἔπειτα, τὸ χρώμενον ὅπλοις [1], καὶ χρήμασι, καὶ πόλεσι ταῖς Ἰβήρων, μηδ' ἄχρι λόγου τῆς ἄκρας ἐξουσίας ὑφίεσθαι πρὸς αὐτοὺς, Ῥωμαίους δὲ καθιστάναι στρατηγοὺς καὶ ἄρχοντας αὐτῶν, ὡς Ῥωμαίοις ἀνακτώμενον τὴν ἐλευθερίαν, οὐκ ἐκείνους αὔξοντα κατὰ Ῥωμαίων. καὶ γὰρ ἦν ἀνὴρ φιλόπατρις, καὶ πολὺν ἔχων ἵμερον τοῦ κατελθεῖν· ἀλλὰ δυσπραγῶν μὲν ἠνδραγάθει, καὶ ταπεινὸν [μὲν] οὐδὲν [2] ἔπραττε πρὸς τοὺς πολεμίους· ἐν δὲ ταῖς νίκαις διεπέμπετο πρὸς Μέτελλον καὶ πρὸς Πομπήϊον, ἕτοιμος ὢν τὰ ὅπλα καταθέσθαι, καὶ βιοῦν ἰδιώτης καθόδου τυχών· μᾶλλον γὰρ ἐθέλειν ἀσημότατος ἐν Ῥώμῃ πολίτης, ἢ φεύγων τὴν ἑαυτοῦ, πάντων ὁμοῦ τῶν ἄλλων αὐτοκράτωρ ἀναγορεύεσθαι. λέγεται δ' οὐχ ἥκιστα τῆς πατρίδος ἐπιθυμεῖν διὰ τὴν μητέρα, τραφεὶς ὀρφανὸς ὑπ' αὐτῇ, καὶ τὸ σύμπαν ἀνακείμενος ἐκείνῃ. καλούντων δὲ τῶν περὶ τὴν Ἰβηρίαν φίλων αὐτὸν ἐφ' ἡγεμονίᾳ [3], πυθόμενος τὴν τελευτὴν τῆς μητρὸς, ὀλίγον ἐδέησεν ὑπὸ λύπης προέσθαι τὸν βίον. ἑπτὰ γὰρ ἡμέρας οὔτε σύνθημα δοὺς, οὔτ' ὀφθείς τινι τῶν φίλων ἔκειτο· καὶ μόλις οἱ συστράτηγοι καὶ ὁμότιμοι [4] τὴν σκηνὴν περιστάντες ἠνάγκασαν αὐτὸν προελθόντα, τοῖς στρατιώ-

1 B. 4. φίλοις.

2 Delendum μὲν Br. censuit, nec dubitavi illud, ut prorsus otiosum, uncis includere. Paulo post V. pro πρὸς dat κατὰ Πομπ.

3 Steph. maluit ἡγεμονίαν, suspicatus, pro hoc casu irrepsisse ἡγεμονία, in Junt. & Ald. absque jota subscripto datum. Ad haec R. ita: „Jota illud subscriptum *nusquam locorum* cernitur in isto pari editionum." Quid R cogitarit, haec asseverans, nescio. Multum & saepe quidem abest a vocibus, jota subscripto signandis, sed tamen haud paucae voces, hac ipsa in pagina, uti & in aliis, eo distincte significatae observantur.

4 V. & B. 4. ἰσότιμοι. (In ind. Frft. ἰσότομοι.)

τιώταις ἐντυχεῖν, καὶ τῶν πραγμάτων εὖ φερομένων [1] ἀντιλαμβάνεσθαι. διὸ καὶ πολλοῖς ἔδοξεν, ἥμερος ἀνὴρ φύσει γεγονὼς, καὶ πρὸς ἡσυχίαν ἔχων ἐπιεικῶς, δι' αἰτίας παρὰ γνώμην [2] ταῖς στρατηγικαῖς ἀρχαῖς χρῆσθαι [3], καὶ μὴ τυγχάνων ἀδείας, ἀλλὰ συνελαυνόμενος ὑπὸ τῶν ἐχθρῶν εἰς τὰ ὅπλα, φρουρὰν ἀναγκαίαν τοῦ σώματος περιβάλλεσθαι τὸν πόλεμον.

XXIII. Ἦν δὲ καὶ τὰ πρὸς Μιθριδάτην αὐτοῦ πολιτεύματα μεγαλοφροσύνης. ἐπεὶ γὰρ ἐκ τοῦ κατὰ Σύλλαν σφάλματος ὁ Μιθριδάτης, ὥσπερ εἰς πάλαισμα δεύτερον ἀνιστάμενος, αὖθις ἐπεχείρησε τῇ Ἀσίᾳ· μέγα δ' ἤδη τὸ Σερτωρίου κλέος ἐφοίτα πανταχόσε, καὶ τῶν περὶ αὐτοῦ λόγων, ὥσπερ φορτίων ξενικῶν, οἱ πλέοντες ἀπὸ τῆς ἑσπέρας ἀναπεπλήκεσαν τὸν Πόντον· ὥρμητο διαπρεσβεύεσθαι [4] πρὸς αὐτὸν, ἐπηρμένος μάλιστα ταῖς τῶν κολάκων ἀλαζονείαις, οἳ τὸν μὲν Σερτώριον Ἀννίβᾳ, τὸν δὲ Μιθριδάτην Πύῤῥῳ παρεικάζοντες, οὐκ ἂν ἔφασαν Ῥωμαίους πρὸς τηλικαύτας ὁμοῦ φύσεις τε καὶ δυνάμεις, ἐπιχειρουμένους διχόθεν, ἀντισχεῖν, τοῦ δεινοτάτου στρατηγοῦ τῷ μεγίστῳ τῶν βασιλέων προσγενομένου. πέμπει δὴ πρέσβεις ὁ Μιθριδάτης εἰς Ἰβηρίαν, γράμματα Σερτωρίῳ καὶ λόγους κομίζοντας, δι' ὧν αὐτὸς μὲν ἐπηγγέλλετο χρήματα καὶ ναῦς παρέξειν εἰς τὸν πόλεμον, ὑπ' ἐκείνου δ' ἠξίου τὴν Ἀσίαν αὐτῷ βεβαιοῦσθαι πᾶσαν, ἧς ὑπεχώρησε Ῥωμαίοις κατὰ τὰς πρὸς Σύλλαν γενομένας συνθήκας. ἀθροίσαντος δὲ Σερτωρίου βουλὴν, ἣν σύγκλητον ὠνόμαζε, καὶ τῶν ἄλλων δέχεσθαι τὰς προκλήσεις καὶ ἀγαπᾶν κελευόντων, (ὄνομα γὰρ καὶ γράμμα κενὸν αἰτουμένους περὶ τῶν οὐκ ὄντων ἐπ' αὐτοῖς, ἀντὶ

1 Br. susp. ἐκ εὖ φερομένων.

2 Voces παρὰ γνώμην absunt a B. 4.

3 R. mavult ἀρεταῖς κεχρῆσθαι; & paulo post περιβαλέσθαι pro περιβάλλεσθαι.

4 B. 4. διαπρεσβεύσασθαι.

ἀντὶ τούτων λαμβάνειν [1], ὧν μάλιστα δεόμενοι τυγχάνουσιν) οὐκ ἠνέσχετο ὁ Σερτώριος, ἀλλὰ Βιθυνίαν μὲν ἔφη καὶ Καππαδοκίαν λαμβάνοντι Μιθριδάτῃ μὴ φθονεῖν, ἔθνη βασιλευόμενα καὶ μηδὲν προσήκοντα Ῥωμαίοις· ἣν δὲ τῷ δικαιοτάτῳ τρόπῳ Ῥωμαίων κεκτημένων ἐπαρχίαν, ἀφελόμενος καὶ κατασχὼν, πολεμῶν μὲν ἐξέπεσεν ὑπὸ Φιμβρίου, σπενδόμενος δὲ πρὸς Σύλλαν ἀφῆκε, ταύτην οὐκ ἔφη περιόψεσθαι πάλιν ὑπ' ἐκείνῳ γενομένην· δεῖν γὰρ αὔξεσθαι τὴν πόλιν ὑπ' αὐτοῦ κρατοῦντος, οὐκ ἐλαττώσει τῶν ἐκείνης κρατεῖν αὐτόν. γενναίῳ γὰρ ἀνδρὶ μετὰ τοῦ καλοῦ νικᾶν αἱρετόν· αἰσχρῶς δ' οὐδὲ σώζεσθαι.

XXIV. Ταῦτ' ἀπαγγελθέντα Μιθριδάτης διὰ θάμβους ἐποιεῖτο· καὶ λέγεται μὲν εἰπεῖν πρὸς τοὺς φίλους· Τί δῆτα προστάξει Σερτώριος [2] ἐν Παλατίῳ καθεζόμενος, εἰ νῦν εἰς τὴν Ἀτλαντικὴν ἐξεωσμένος θάλασσαν, ὅρους ἡμῶν τῇ βασιλείᾳ τίθησι, καὶ πειρωμένοις Ἀσίας ἀπειλεῖ πόλεμον; οὐ μὴν ἀλλὰ γίνονταί γε συνθῆκαι καὶ ὅρκοι, Καππαδοκίαν καὶ Βιθυνίαν ἔχειν Μιθριδάτην, Σερτωρίου στρατηγὸν αὐτῷ καὶ στρατιώτας πέμποντος· Σερτώριον δὲ παρὰ Μιθριδάτου λαβεῖν τρισχίλια τάλαντα καὶ τεσσαράκοντα ναῦς. πέμπεται δὲ καὶ στρατηγὸς εἰς Ἀσίαν ὑπὸ Σερτωρίου τῶν ἀπὸ βουλῆς πεφευγότων πρὸς αὐτὸν, Μάρκος Μάριος· ᾧ συνεξελὼν τινὰς πόλεις τῶν Ἀσιάδων ὁ Μιθριδάτης, εἰσελαύνοντι μετὰ ῥάβδων καὶ πελέκεων αὐτὸς εἵπετο, δευτέραν τάξιν καὶ σχῆμα θεραπεύ-

1 B. 4. λαμβάνει.

2 abest hoc nomen cum paulo post insequente καθεζόμενος a B. 4. Ad vocem Παλατίῳ bene monet R. scribere hoc loco Plutarchum ex more seculi sui, quo Caesares Augusti in Palatio habitabant — non ex ejus seculi more, quod Mithridatem tulit, quo neque curia Senatus in monte Palatino erat, neque domicilium Principis.

ραπεύοντος ἑκουσίως ἀνειληφώς. ὁ δὲ τὰς μὲν ἠλευθέρου, ταῖς δ' ἀτέλειαν γράφων χάριτι Σερτωρίου κατήγγελλεν· ὥστε τὴν Ἀσίαν αὖθις, ἐνοχλουμένην μὲν ὑπὸ τῶν τελωνῶν, βαρυνομένην δὲ ταῖς πλεονεξίαις καὶ ὑπερηφανίαις τῶν ἐπισκήνων [1], ἀναπτερωθῆναι [2] πρὸς τὴν ἐλπίδα, καὶ ποθεῖν τὴν προσδοκωμένην μεταβολὴν τῆς ἡγεμονίας.

XXV. Ἐν δ' Ἰβηρίᾳ τῶν περὶ Σερτώριον συγκλητικῶν καὶ ἰσοτίμων, ὡς πρῶτον εἰς ἀντίπαλον ἐλπίδα κατέστησαν, ἐπανέντος τοῦ φόβου, φθόνος ἥπτετο καὶ ζῆλος ἀνόητος τῆς ἐκείνου δυνάμεως. ἐνῆγε [3] δὲ Περπέννας, δι' εὐγένειαν ἐπαιρόμενος φρονήματι κενῷ πρὸς τὴν ἡγεμονίαν [4], καὶ λόγους μοχθηροὺς διεδίδου κρύφα τοῖς ἐπιτηδείοις· Τίς ἄρα πονηρὸς ἡμᾶς [5] ὑπολαβὼν ἐκ κακῶν εἰς χείρονα φέρει δαίμων, οἳ Σύλλᾳ μὲν, ὁμοῦ τι συμπάσης ἄρχοντι γῆς καὶ θαλάττης, ποιεῖν τὸ προσταττόμενον [6] οὐκ ἠξιοῦμεν, οἴκοι μένοντες, δεῦρο δὲ φθαρέντες, ὡς ἐλεύθεροι βιωσόμενοι, δουλεύομεν ἑκουσίως, τὴν Σερτωρίου δορυφοροῦντες φυγὴν, ὄνομα χλευαζόμενον ὑπὸ τῶν ἀκουόντων, σύγκλητος ὄντες, ὕβρεις δὲ καὶ προστάγμα-

1 Hos esse, quos Plut. in Sylla ἐπισταθμεύοντας appellavit, monet Mos. Duf. Eidem tamen vox ἐπισκήνων est suspecta, cum significet *in tentoriis degentes*. An ἐπιστάθμων, aut aliam quampiam vocem reponat, ambigit. B. 4. ἐπικειμένων. Aretinus non nisi publicanorum facit mentionem, quorum avaritia & superbia Asia vexata fuerit.

2 Sic H. Steph. vetustorum codd. auctoritate dedit pro ἀναπτοηθῆναι, quod Junt. Ald. Crat. exhibent. In textu ipso ed. Steph. datum fuerat vitiose ἀνεπτερωθῆναι, quod Frft. male retinuit. V. qui veram sistit lectionem in ejus indice, addit καί. Junt. quoque Ald. & Crat. paulo post dant προσδοκουμένην.

3 B. 4. ἡνίκα.

4 R. monente, idem ac si dixisset πρὸς ἀντιποίησιν καὶ ἐλπίδα τῆς ἡγεμονίας.

5 Junt. sola ὑμᾶς.

6 V. κατατάττόμενον.

τάγματα καὶ πόνους οὐκ ἐλάττονας Ἰβήρων καὶ Λυσιτανῶν ὑπομένοντες; Τοιούτων ἀναπιμπλάμενοι λόγων οἱ πολλοὶ, φανερῶς μὲν οὐκ ἀφίσταντο, δεδοικότες αὐτοῦ τὴν δύναμιν. κρύφα δὲ τάς τε πράξεις ἐλυμαίνοντο, καὶ τοὺς βαρβάρους ἐκάκουν, κολάζοντες πικρῶς καὶ δασμολογοῦντες, ὡς Σερτωρίου κελεύοντος. ἐξ ὧν ἀποστάσεις ἐγίνοντο καὶ ταραχαὶ περὶ τὰς πόλεις. οἱ [1] δὲ πεμπόμενοι ταῦτα θεραπεύειν καὶ ἀποπραΰνειν ἐπανήρχοντο πλείονας ἐξειργασμένοι πολέμους, καὶ τὰς ὑπαρχούσας ηὐξηκότες ἀπειθείας· ὥστε τὸν Σερτώριον ἐκ τῆς προτέρας ἐπιεικείας καὶ πρᾳότητος μεταβαλόντα, περὶ τοὺς ἐν Ὄσκῃ τρεφομένους παρανομῆσαι παῖδας τῶν Ἰβήρων, τοὺς μὲν ἀνελόντα, τοὺς δ' ἀποδόμενον.

XXVI. Ὁ δ' οὖν [2] Περπέννας πλείονας ἐνωμότους ἔχων πρὸς τὴν ἐπίθεσιν, προσάγεται καὶ Μάλλιον [3], ἕνα τῶν ἐφ' ἡγεμονίας. οὗτος ἐρῶν τινος τῶν ἐν ὥρᾳ μειρακίου, καὶ φιλοφρονούμενος πρὸς αὐτὸ [4] φράζει τὴν ἐπιβουλὴν, κελεύων, ἀμελήσαντα τῶν ἄλλων ἐραστῶν, αὐτῷ μόνῳ προσέχειν, ὡς ἐντὸς ἡμερῶν ὀλίγων μεγάλῳ γενησομένῳ. τὸ δὲ μειράκιον ἑτέρῳ τινὶ τῶν ἐραστῶν, Αὐφιδίῳ, μᾶλλον προσπεπονθὸς, ἐκφέρει τὸν λόγον. ἀκούσας δ' ὁ Αὐφίδιος ἐξεπλάγη· καὶ γὰρ αὐτὸς μετεῖχε τῆς ἐπὶ Σερτώριον συνωμοσίας, οὐ μέντοι τὸν Μάλλιον ἐγίνωσκε μετέχοντα. Περπένναν δὲ καὶ Γρακῖνον καί τινας ἄλλους, ὧν αὐτὸς ᾔδει συνωμοτῶν, ὀνομάζοντος τοῦ μειρακίου, διαταραχθεὶς, πρὸς ἐκεῖνον μὲν ἐξεφλαύριζε τὸν λόγον, καὶ παρεκάλει τοῦ Μαλλίου καταφρονεῖν, ὡς κενοῦ καὶ ἀλαζόνος· αὐτὸς δὲ πρὸς τὸν Περπένναν πορευ-



1 Pro hac voce B. 4. ὡς.
2 V. ὅ γ' οὖν. B. 4. οὖν omittit.
3 Dacer. & hic & in seqq. Μάνιον scribere jubet, aitque, *Manium Antonium* fuisse, de quo haec narrentur, eum scilicet, a quo primo percussus est Sertorius.
4 B. 4. αὐτόν.

πορευθεὶς, καὶ φράσας τὴν ὀξύτητα τοῦ καιροῦ καὶ τὸν κίνδυνον, ἐκέλευσεν ἐπιχειρεῖν. οἱ δ' ἐπείθοντο, καὶ παρασκευάσαντες ἄνθρωπον γράμματα κομίζοντα τῷ Σερτωρίῳ προσήγαγον. ἐδήλου δὲ τὰ γράμματα νίκην τινὸς τῶν ὑπ' αὐτῷ στρατηγῶν, καὶ φόνον πολὺν τῶν πολεμίων. ἐφ' οἷς τοῦ Σερτωρίου περιχαροῦς ὄντος, καὶ θύοντος εὐαγγέλια, Περπέννας ἑστίασιν αὐτῷ καὶ τοῖς παροῦσι φίλοις (οὗτοι δ' ἦσαν ἐκ τῆς συνωμοσίας) ἐπηγγέλλετο, καὶ πολλὰ λιπαρήσας, ἔπεισεν [1] ἐλθεῖν. ἀεὶ μὲν οὖν τὰ μετὰ Σερτωρίου δεῖπνα πολλὴν εἶχεν αἰδῶ καὶ κόσμον, οὔτε ὁρᾷν τι τῶν αἰσχρῶν, οὔτ' ἀκούειν, ὑπομένοντος, ἀλλὰ καὶ τοὺς συνόντας [2] εὐτάκτοις καὶ ἀνυβρίστοις παιδιαῖς χρῆσθαι καὶ φιλοφροσύναις ἐθίζοντος. τότε δὲ τοῦ πότου μεσοῦντος, ἀρχὴν ἀψιμαχίας ζητοῦντες, ἀναφανδὸν ἀκολάστοις ἐχρῶντο ῥήμασι· καὶ πολλὰ προσποιούμενοι μεθύειν ἠσέλγαινον, ὡς παροξυνοῦντες ἐκεῖνον. ὁ δ', εἴτε δυσχεραίνων τὴν ἀκοσμίαν, εἴτε τὴν διάνοιαν αὐτῶν τῇ βραδυτῆτι τῆς λαλιᾶς [3] καὶ τῇ παρὰ τὸ εἰωθὸς ὀλιγωρίᾳ συμφρονήσας, μετέβαλε τὸ σχῆμα τῆς κλισίας [4], ὕπτιον ἀνεὶς ἑαυτὸν, ὡς οὐδὲ προσέχων, οὔτε κατακούων. ἐπεὶ

1 B. 4. uti est in ind. Var. Br. ἔπεισεν αὐτόν. Incertum, an αὐτὸν additum sit, an pro ἐλθεῖν positum.

2 Teste H. Steph. legitur quoque συμπίνοντας.

3 Mos. Dus. notante, Plutarchus acute hac dictione innuit, ex obscoenis ebrietatem simulantium verbis composite prolatis Sertorium insidias sibi strui conjecisse. R. susp. τῇ τραχύτητι *ex asperitate* τῆς λαλιᾶς. Idem ad seq. ὀλιγωρίᾳ subaudiendum monet πρὸς αὐτὸν, neglecta observantiae, pudoris & reverentiae erga se, Sertorium, ratione.

4 Mos. Dus. scribi vult κλίσεως. R. susp. μετέβαλε τὸ σχῆμα, i. e. τὸ ἑαυτοῦ εἰωθὸς σχῆμα, τὸ σεμνὸν, τὸ αὐστηρὸν, *mutabat vultum moremque solitum*, ἐπὶ τῆς κλισίας, *eo quod supinus recumberet super lecto*, vel, *eo quod supinum atque remissum sese porrigeret super lecto suo.* κλισία, eo docente, est lectus triclinaris, vel pulvinar, culcita, super qua quis recumbit.

ἐπεὶ δ' ὁ Περπέννας Φιάλην τινὰ λαβὼν ἀκράτȣ, καὶ μεταξὺ πίνων ἀφῆκεν ἐκ τῶν χειρῶν, καὶ ψόφον ἐποίησεν, ὅπερ ἦν αὐτοῖς σύμβολον, Ἀντώνιος ὑπερκατακείμενος παίει τῷ ξίφει τὸν Σερτώριον. ἀναςρέψαντος δὲ πρὸς τὴν πληγὴν ἐκείνȣ καὶ συνεξανιςαμένȣ, περιπεσὼν εἰς τὸ ςῆθος, κατέλαβε τὰς χεῖρας ἀμφοτέρας, ὥςε μηδ' ἀμυνόμενον, πολλῶν παιόντων, ἀποθανεῖν.

XXVII. Οἱ μὲν ȣ̃ν πλεῖςοι τῶν Ἰβήρων εὐθὺς ᾤχοντο, καὶ παρέδωκαν ἑαυτȣ̀ς ἐπιπρεσβευσάμενοι τοῖς περὶ Πομπήϊον καὶ Μέτελλον· τȣ̀ς δὲ συμμείναντας ὁ Περπέννας ἀναλαβὼν ἐπεχείρει τι πράττειν. χρησάμενος δὲ ταῖς Σερτωρίȣ παρασκευαῖς, ὅσον ἐνασχημονῆσαι καὶ φανερὸς γενέσθαι μήτ' ἄρχειν, μήτ' ἄρχεσθαι πεφυκὼς, Πομπηΐῳ προσέβαλε [1]· καὶ ταχὺ συντριβεὶς ὑπ' αὐτȣ̃, καὶ [2] γενόμενος αἰχμάλωτος, ȣ̓δὲ τὴν ἐσχάτην ὑπέμεινε συμφορὰν ἡγεμονικῶς, ἀλλὰ τῶν Σερτωρίȣ γραμμάτων [3] κύριος γεγονὼς, ὑπισχνεῖτο Πομπηΐῳ δείξειν ὑπατικῶν ἀνδρῶν καὶ μέγιςον ἐν Ῥώμῃ δυναμένων αὐτογράφȣς ἐπιςολὰς, καλȣ́ντων Σερτώριον εἰς Ἰταλίαν, ὡς πολλῶν ποθȣ́ντων τὰ παρόντα κινῆσαι, καὶ μεταβαλεῖν τὴν πολιτείαν. ἔργον ȣ̃ν ὁ Πομπήϊος ȣ̓ νέας φρενὸς, ἀλλ' εὖ μάλα βεβηκυίας καὶ κατηρτυμένης [4], ἐργασάμενος, μεγάλων ἀπήλλαξε τὴν Ῥώμην φόβων καὶ νεωτερισμῶν. τὰς μὲν γὰρ ἐπιςολὰς ἐκείνας, καὶ τὰ γράμματα τȣ̃ Σερτωρίȣ συναγαγὼν ἅπαντα κατέκαυσεν, ȣ̓τ' ἀναγνȣ̀ς, ȣ̓τ' ἐάσας ἕτερον· αὐτὸν δὲ τὸν Περπένναν κατὰ τάχος ἀνεῖλε, φοβηθεὶς, μὴ, τῶν ὀνομάτων ἐξενεχθέντων πρός τινας [5], ἀποςάσεις καὶ ταρα-



1 V. συνέβαλεν.
2 B. 4. ὡς.
3 B 4. πραγμάτων.
4 Br. ſuſp. κατηρτισμένης.
5 V. καὶ πρός τινας.

χαὶ γένωνται. τῶν δὲ τῷ Περπέννᾳ συνομοσαμένων οἱ μὲν ἐπὶ Πομπήϊον ἀναχθέντες διεφθάρησαν, οἱ δὲ φεύγοντες εἰς Λιβύην ὑπὸ Μαυρουσίων κατηκοντίσθησαν. διέφυγε δ' οὐδείς, πλὴν Αὐφίδιος, ὁ τοῦ Μαλλίου ἀντεραστής. οὗτος δ' ἢ λαθὼν, ἢ παραμεληθεὶς, ἔν τινι βαρβάρῳ κώμῃ πενόμενος καὶ μισούμενος κατεγήρασεν.

## ΕΥΜΕΝΗΣ.

Εὐμενῆ δὲ τὸν Καρδιανὸν 1 ἱστορεῖ Δοῦρις πατρὸς μὲν ἁμαξεύοντος ἐν Χεῤῥονήσῳ διὰ πενίαν γενέσθαι, τραφῆναι δ' ἐλευθερίως ἐν γράμμασι καὶ περὶ παλαίστραν· ἔτι δὲ παιδὸς ὄντος αὐτοῦ, Φίλιππον παρεπιδημοῦντα, καὶ σχολὴν ἄγοντα, τὰ τῶν Καρδιανῶν θεάσασθαι παγκράτια μειρακίων, καὶ παλαίσματα παίδων· ἐν οἷς εὐημερήσαντα τὸν Εὐμενῆ, καὶ φανέντα συνετὸν καὶ ἀνδρεῖον, ἀρέσαι τῷ Φιλίππῳ καὶ ἀναληφθῆναι. δοκοῦσι δ' εἰκότα λέγειν μᾶλλον οἱ διὰ ξενίαν καὶ φιλίαν πατρῴαν τὸν Εὐμενῆ λέγοντες ὑπὸ τοῦ Φιλίππου προαχθῆναι 2. μετὰ δὲ τὴν ἐκείνου τελευτὴν, οὔτε συνέσει τινὸς, οὔτε πίστει, λείπεσθαι δοκῶν τῶν περὶ Ἀλέξανδρον, ἐκαλεῖτο μὲν 3 ἀρχιγραμματεὺς, τιμῆς δὲ, ἧσπερ 4 οἱ μάλιστα φίλοι καὶ συνήθεις, ἐτύγχανεν, ὥστε καὶ στρατηγὸς 5 ἀποσταλῆναι κατὰ τὴν Ἰνδικὴν ἐφ' ἑαυτοῦ μετὰ δυνάμεως, καὶ τὴν Περδίκκου παραλαβεῖν ἐπαρχίαν 6, ὅτε

1 Cardia, urbs Cherfonefi Thraciae non obfcura, poft Alexandri mortem a Lyfandro diruta.

2 V. πραχθῆναι.

3 Poft μὲν B. 4. inferit γάρ. Pro ἀρχιγρ. Arrianus appellat Eumenem γραμματέα.

4 Sic R. dedit de fuo pro vulg. ὥσπερ.

5 B. 4. στρατηγόν.

6 Cum de Provincia Eumeni ab Alexandro affignata fileant Hiftorici, Br. & Mof. Duf. probandam cenfent lectionem V. Anou.

'οτε Περδίκκας, ἀποθανόντος Ἡφαιςίωνος, εἰς τὴν ἐκείνȣ προῆλθε τάξιν. διὸ καὶ Νεοπτολέμȣ τȣ͂ ἀρχιυπασπιςȣ͂ [1] μετὰ τὴν Ἀλεξάνδρȣ τελευτὴν λέγοντος, ὡς αὐτὸς μὲν ἀσπίδα καὶ λόγχην, Εὐμενὴς δὲ γραφεῖον ἔχων καὶ πινακίδιον ἠκολȣ́θει, κατεγέλων οἱ Μακεδόνες, μετὰ τῶν ἄλλων καλῶν τὸν Εὐμενῆ καὶ τῆς κατὰ τὸν γάμον οἰκειότητος ὑπὸ τȣ͂ βασιλέως εἰδότες [2] ἀξιωθέντα. Βαρσίνην γὰρ τὴν Ἀρταβάζȣ πρώτην ἐν Ἀσίᾳ γνȣ̀ς ὁ Ἀλέξανδρος, ἐξ ἧς υἱὸν ἔσχεν Ἡρακλέα, τῶν ταύτης ἀδελφῶν, Πτολεμαίῳ μὲν Ἀπάμαν, Εὐμενεῖ δὲ Βαρσίνην ἐξέδωκεν [3], ὅτε καὶ τὰς ἄλλας Περσίδας διένειμε καὶ συνῴκιζε τοῖς ἑταίροις.

II. Οὐ μὴν ἀλλὰ καὶ προσέκρȣσε πολλάκις Ἀλεξάνδρῳ, καὶ παρεκινδύνευσε [4] δι' Ἡφαιςίωνα. πρῶτον μὲν γὰρ Εὐίῳ τῷ αὐλητῇ τȣ͂ Ἡφαιςίωνος οἰκίαν κατανεί-



Anon. & Mur. ἱππαρχίαν, quod omnino eis respondet, quae Nepos refert, in vita Eumenis: *Praefuit etiam alteri equitum alae, quae Hetaerice appellabatur.* Cum tamen Arrianus L. VII. neget, Hephaestione mortuo, suffectum ullum, qui ei alae praeesset, ne nomen Hephaestionis ei agmini inditum intercideret; non dubitant iidem Plutarcho assentiri, asserenti, suffectum Hephaestioni Perdiccam, & in Perdiccae, non provinciam, sed τάξιν, successisse Eumenem. In Cat. Frst. variantem V. & Anon. dante pro Περδίκκȣ extat Περδίκκας.

1 Junt. ἀρχιυπατισμȣ͂ vitiose.

2 B. 4. ἰδόντες.

3 R. planiorem fore orationem censet ita structam: Τὴν μὲν ταύτης ἀδελφὴν Ἀπάμαν Πτολεμαίῳ, Εὐμενεῖ δὲ Βαρσίνην αὐτὴν ἐξέδωκε; aut potius in nomine Barsines iunioris vitium suspicatur. Mos. Dus. duas sorores eodem nomine fuisse statuit, filias Artabazi, alteram Memnonis viduam, quam Alexander primam adamarat, alteram, quae Eumeni nupsit, susceptam ex sorore Mentoris (de quo cap. 2.) & Memnonis. Ind. var. Br. ad Ἀπάμαν adnotat e B. 4. ἀπένειμεν. An vero iste codex det μὲν ἀπένειμεν Ἀπάμαν, an vero pro Ἀπάμαν vitiose ἀπένειμεν, haud liquet. Pro Πτολεμαίῳ Junt. sola Πτολεμαῖον.

4 Post h. v. inserit B. 4. πολλάκις.

νείμαντος, ἣν οἱ παῖδες ἔτυχον τῷ Εὐμενεῖ προκατειληφότες, ἐλθὼν ὑπ' ὀργῆς πρὸς τὸν Ἀλέξανδρον ὁ Εὐμενὴς, ἐβόα μετὰ Μέντορος, ὡς αὐλεῖν εἴη κράτιστον, ἢ τραγῳδεῖν, τὰ ὅπλα ῥίψαντας ἐκ τῶν χειρῶν· ὥστ' Ἀλέξανδρον αὐτῷ συναγανακτεῖν καὶ λοιδορεῖσθαι τῷ Ἡφαιστίωνι. ταχὺ μέντοι μεταπεσὼν, αὖθις εἶχε τὸν Εὐμενῆ δι' ὀργῆς, ὡς ὕβρει μᾶλλον πρὸς ἑαυτὸν, ἢ παῤῥησίᾳ πρὸς Ἡφαίστιωνα, χρησάμενον. ἔπειτα Νέαρχον ἐκπέμπων μετὰ νεῶν ἐπὶ τὴν ἔξω θάλασσαν, ᾔτει χρήματα τοὺς φίλους· οὐ γὰρ ἦν ἐν τῷ βασιλείῳ. τοῦ δ' Εὐμενοῦς αἰτηθέντος μὲν τριακόσια τάλαντα, δόντος δὲ ἑκατὸν μόνα, καὶ ταῦτα γλίσχρως καὶ μόλις αὐτῷ συνειλέχθαι διὰ τῶν ἐπιτρόπων φάσκοντος, οὐδὲν ἐγκαλέσας, οὐδὲ δεξάμενος, ἐκέλευσε τοὺς παῖδας κρύφα τῇ σκηνῇ τοῦ Εὐμενοῦς πῦρ ἐνεῖναι. βουλόμενος, ἐκκομιζομένων τῶν χρημάτων, λαβεῖν ἐπ' αὐτοφώρῳ ψευδόμενον. ἔφθη δὲ ἡ σκηνὴ καταφλεχθεῖσα, καὶ μετενόησε τῶν γραμμάτων διαφθαρέντων [1] ὁ Ἀλέξανδρος. τὸ δὲ συγχυθὲν [2] χρυσίον, ἢ ἀργύριον, ὑπὸ τοῦ πυρὸς ἀνευρέθη πλεῖον, ἢ χιλίων ταλάντων. ἔλαβε δὲ οὐδὲν, ἀλλὰ καὶ γράψας τοῖς πανταχοῦ σατράπαις καὶ στρατηγοῖς ἀντίγραφα τῶν διεφθαρμένων ἀποστέλλειν, πάντα παραλαμβάνειν ἐκέλευσε τὸν Εὐμενῆ. πάλιν δὲ περὶ δωρεᾶς τινος εἰς διαφορὰν καταστὰς πρὸς τὸν Ἡφαιστίωνα, καὶ πολλὰ μὲν ἀκούσας κακῶς, πολλὰ δ' εἰπὼν, τότε μὲν οὐκ ἔλαττον ἔχε· μετ' ὀλίγον δὲ τελευτήσαντος Ἡφαιστίωνος, περιπαθῶν ὁ βασιλεὺς, καὶ πᾶσιν, οὓς ἐδόκει ζῶντι μὲν ἐκείνῳ φθονεῖν, ἐπιχαίρειν δὲ τεθνηκότι, τραχέως ὁμιλῶν καὶ χαλεπὸς ὢν, μάλιστα τὸν Εὐμενῆ δι' ὑποψίας εἶχε [3], καὶ προὔφερε πολλάκις τὰς διαφορὰς καὶ λοιδορίας ἐκείνας. ὁ δὲ, πανοῦρ-

1 R. mavult *συνδιαφθαρέντων.*
2 B. 4. *συλλεχθὲν.* Lin. ſeq. V. *ἀνηρέθη* pro *ἀνευρέθη.*
3 Junt. Ald. Crat. *ἔχειν.* Steph. *εἶχε.*

πανῦργος ὢν καὶ πιθανὸς, ἐπεχείρησεν, οἷς ἀπώλλυτο, σώζειν ἑαυτόν. κατέφυγε γὰρ εἰς τὴν πρὸς Ἡφαιστίωνα φιλοτιμίαν Ἀλεξάνδρου καὶ χάριν, ὑφηγούμενός τε τιμὰς, αἳ μάλιστα κοσμεῖν ἔμελλον τὸν τεθνηκότα, καὶ χρήματα τελῶν εἰς τὴν τοῦ τάφου κατασκευὴν [1] ἀφειδῶς καὶ προθύμως.

III. Ἀποθανόντος δ' Ἀλεξάνδρου, καὶ τῆς φάλαγγος διεστώσης πρὸς τοὺς ἑταίρους [2], τῇ μὲν γνώμῃ τούτοις προσένειμεν ἑαυτὸν ὁ Εὐμενὴς, τῷ δὲ λόγῳ κοινός τις ἦν πρὸς ἀμφοτέρους καὶ ἰδιώτης, ὡς οὐδὲν αὐτῷ προσῆκον, ξένῳ ὄντι, πολυπραγμονεῖν ταῖς Μακεδόνων διαφοραῖς. καὶ τῶν ἄλλων ἑταίρων ἐκ Βαβυλῶνος ἀνασκευασαμένων, αὐτὸς ὑπολειφθεὶς ἐν τῇ πόλει κατεπράϋνε πολλοὺς τῶν πεζῶν, καὶ πρὸς τὰς διαλύσεις ἡδίους ἐποίησεν. ἐπεὶ δ' ἀναμιχθέντες ἀλλήλοις οἱ στρατηγοὶ, καὶ καταστάντες ἐκ τῶν πρώτων ταραχῶν, διενέμοντο σατραπείας καὶ στρατηγίας, Εὐμενὴς λαμβάνει Καππαδοκίαν καὶ Παφλαγονίαν, καὶ τὴν [3] ὑποκειμένην τῇ Ποντικῇ θαλάττῃ, μέχρι Τραπεζοῦντος, οὔπω τότε Μακεδόνων οὖσαν· Ἀριαράθης γὰρ αὐτῆς ἐβασίλευεν. ἀλλ' ἔδει Λεοννάτον καὶ Ἀντίγονον χειρὶ μεγάλῃ τὸν Εὐμενῆ κατάγοντας ἀποδεῖξαι τῆς χώρας σατράπην. Ἀντίγονος μὲν οὖν οὐ προσέχε τοῖς γραφεῖσιν ὑπὸ Περδίκκου [4], μετέωρος ὢν ἤδη καὶ περιφρονῶν ἁπάντων· Λεοννάτος δὲ κατέβη μὲν ἄνωθεν εἰς Φρυγίαν, ἀναδεξάμενος Εὐμενεῖ τὴν στρατείαν [5]. Ἑκαταῖος δὲ,



1 Teste Diod. Sic. l. 18. sumtus hujus pompae funebris aestimabatur 12000 talentis.

2 Sic supra cap. I. vocavit regis amicos, sive, ut Xyl. vertit, socios.

3 Cum B. 4. & Junt. dedit R. καί. Vulgo deest. Tractus ad oram Ponti diversus est a Paphlagonia.

4 B. 4. ὑπὸ τοῦ Περδίκκου. Sic & V. in [ind. Frst.

5 In Cat. Frst. extat ad unam harum linearum varians V. lectio: καὶ τὴν σατραπείαν. Non video, quorsum sit referenda, nisi huc referas.

τῦ Καρδιανῶν τυράννυ, συμμίξαντος αὐτῷ, καὶ δεομένυ βοηθεῖν μᾶλλον Ἀντιπάτρῳ καὶ Μακεδόνων τοῖς ἐν Λαμίᾳ πολιορκυμένοις, ὥρμητο διαβαίνειν, καὶ τὸν Εὐμενῆ παρεκάλει, καὶ διήλλαττε [1] πρὸς Ἑκαταῖον. ἦν γὰρ αὐτοῖς πατρικὴ τις ἐκ πολιτικῶν διαφορῶν ὑποψία πρὸς ἀλλήλυς· καὶ πολλάκις ὁ Εὐμενὴς ἐγεγόνει φανερὸς [2] κατηγορῶν τῦ Ἑκαταίυ τυραννῦντος, καὶ παρακαλῶν Ἀλέξανδρον ἀποδῦναι τοῖς Καρδιανοῖς τὴν ἐλευθερίαν. διὸ καὶ τότε τῦ Εὐμενῦς παραιτυμένυ τὴν ἐπὶ τὺς Ἕλληνας στρατείαν, καὶ δεδιέναι φάσκοντος Ἀντίπατρον, μήπως [3] Ἑκαταίῳ χαριζόμενος, καὶ πάλαι μισῶν, αὐτὸν ἀνέλῃ, πιστεύσας ὁ Λεοννάτος, ὑδὲν, ὧν ἐφρόνει, πρὸς αὐτὸν ἀπεκρύψατο. λόγος μὲν γὰρ ἦν ἡ βοήθεια καὶ πρόφασις, ἐγνώκει δὲ διαβὰς εὐθὺς ἀντιποιεῖσθαι Μακεδονίας. καί τινας ἐπιστολὰς ἔδειξε Κλεοπάτρας, μεταπεμπομένης αὐτὸν [4] εἰς Πέλλαν, ὡς γαμησομένης. ὁ δ᾽ Εὐμενὴς, εἴτε τὸν Ἀντίπατρον δεδοικὼς, εἴτε τὸν Λεοννάτον, ἔμπληκτον ὄντα καὶ φορᾶς μεστὸν ἀβεβαίυ καὶ ὀξείας, ἀπογνὺς, νύκτωρ ἀνέζευξε τὴν ἑαυτῦ λαβὼν ἀποσκευήν. εἶχε δὲ τριακοσίυς μὲν ἱππεῖς, διακοσίυς δὲ τῶν παίδων ὁπλοφόρυς. ἐν δὲ χρυσοῖς [5] εἰς ἀργυρίυ λόγον, τάλαντα πεντακισχίλια. φυγὼν δ᾽ ὕτω πρὸς Περδίκκαν, καὶ τὰ Λεοννάτυ βυλεύματα κατειπὼν, εὐθὺς μὲν ἴσχυε μέγα παρ᾽ αὐτῷ, καὶ τῦ συνεδρίυ μετεῖχεν. ὀλίγον δ᾽ ὕστερον εἰς Καππαδοκίαν κατήχθη μετὰ δυνάμεως, αὐτῦ Περδίκκυ παρόντος καὶ στρατηγῦντος. Ἀριαράθυ δὲ ληφθέντος αἰχμαλώτυ, καὶ τῆς χώρας ὑποχειρίυ [6] γενομένης, ἀποδείκνυ-

1 B. 4. διήλλακται.
2 B. 4. φανερῶς.
3 B. 4. simplex μὴ sine πως. Ad seq. μισῶν, monente R. subintellige Eumenem, ad quem etiam proximum μὲν redit.
4 scil. Leonnatum. R.
5 Subaudi σκεύεσι. Alias χρυσία appellant. R.
6 V. ὑποχειρίας.

δείκνυται σατράπης. καὶ τὰς μὲν πόλεις τοῖς ἑαυτῦ φίλοις παρέδωκε, καὶ φρυράρχυς ἐγκατέστησε, καὶ δικαστὰς ἀπέλιπε, καὶ διοικητὰς, ὓς ἐβύλετο, τῦ Περδίκκυ μηδὲν ἐν τύτοις πολυπραγμονῦντος. αὐτὸς δὲ συνανέζευξεν, ἐκεῖνόν τε θεραπεύων, καὶ τῶν βασιλέων ἀπολείπεσθαι μὴ βυλόμενος.

IV. Οὐ μὴν ἀλλ' ὁ Περδίκκας, ἐφ' ἃ μὲν ὥρμητο [1], πιστεύων δι' αὐτῦ προσάξασθαι [2], τὰ δὲ ὑπολειπόμενα δεῖσθαι δραστηρίυ τε καὶ πιστῦ φύλακος οἰόμενος, ἀπέπεμψεν ἐκ Κιλικίας τὸν Εὐμενῆ, λόγῳ μὲν ἐπὶ τὴν ἑαυτῦ σατραπείαν, ἔργῳ δὲ τὴν ὅμορον [3] Ἀρμενίαν, τεταραγμένην ὑπὸ Νεοπτολέμυ, διὰ χειρὸς ἕξοντα. τῦτον μὲν ὖν ὁ Εὐμενὴς, καίπερ ὄγκῳ τινὶ καὶ φρονήματι κενῷ διεφθαρμένον, ἐπειρᾶτο ταῖς ὁμιλίαις κατέχειν· αὐτὸς δὲ τὴν φάλαγγα τῶν Μακεδόνων ἐπηρμένην καὶ θρασεῖαν εὑρὼν, ὥσπερ ἀντίταγμα [4] κατεσκεύαζεν αὐτῇ δύναμιν ἱππικὴν, τῶν μὲν ἐγχωρίων τοῖς ἱππεύειν δυναμένοις ἀνεισφορίας διδὺς καὶ ἀτελείας, τῶν δὲ περὶ αὐτὸν οἷς μάλιστα ἐπίστευεν, ὠνητὺς [5] διανέμων ἵππυς, φιλοτιμίαις τε καὶ δωρεαῖς τά τε φρονήματα παροξύνων, καὶ τὰ σώματα κινήσεσι καὶ μελέταις διαπονῶν· ὥστε τὺς μὲν ἐκπλαγῆναι, τὺς δὲ θαῤῥῆσαι [6] τῶν Μακεδόνων, ὁρῶντας ὀλίγῳ χρόνῳ περὶ αὐτὸν

1 R. susp. ἃ μὲν ἀφίστασθαι ὥρμητο, populos ad defectionem spectantes opera Eumenis ad fidem reductum iri nullus dubitans, qui autem in fide manserant — a Plutarcho τὰ ὑπολειπόμενα dicti.

2 Br. placet προσάξεσθαι. R. nil novandum censet, cum aoristus saepe pro futuro usurpetur.

3 Verba ἐπὶ τὴν ad ὅμορον absunt a B. 4.

4 R. susp. ἀντίσαγμα, *contrapondium*, clitellas alteras alteris aequilibres. Seq. κατεσκεύ. R. dedit cum B. 4. Junt. Ald. Crat. pro vulg. παρεσκεύαζεν.

5 Suspecta sunt haec Mosi Dusoul. Mavult ὠνητοῖς, ut sit οἷς μάλιστα ἐπίστευεν ὠνητοῖς.

6 B. 4. φθαρῆναι.

αὐτὸν [1] ἠθροισμένους ἱππεῖς ἐκ ἐλάττους ἑξακισχιλίων καὶ τριακοσίων.

V. Ἐπεὶ δὲ Κρατερὸς καὶ Ἀντίπατρος, τῶν Ἑλλήνων περιγενόμενοι, διέβαινον εἰς Ἀσίαν, τὴν Περδίκκου καταλύσοντες ἀρχὴν, καὶ προσηγγέλλοντο μέλλοντες [2] ἐμβαλεῖν εἰς Καππαδοκίαν, ὁ Περδίκκας, αὐτὸς ἐπὶ Πτολεμαῖον στρατεύων, ἀπέδειξε τὸν Εὐμενῆ τῶν ἐν Ἀρμενίᾳ καὶ Καππαδοκίᾳ δυνάμεων αὐτοκράτορα στρατηγόν. καὶ περὶ τούτων ἐπιστολὰς ἔπεμψεν [3], Ἀλκέταν μὲν καὶ Νεοπτόλεμον Εὐμενεῖ προσέχειν κελεύσας, Εὐμενῆ δὲ χρῆσθαι τοῖς πράγμασιν, ὅπως αὐτὸς ἔγνωκεν. Ἀλκέτας μὲν οὖν ἄντικρυς ἀπείπατο τὴν στρατείαν, ὡς τῶν ὑπ' αὐτῷ Μακεδόνων Ἀντιπάτρῳ μὲν αἰδουμένων μάχεσθαι, Κρατερὸν δὲ καὶ δέχεσθαι δι' εὔνοιαν [4] ἑτοίμων ὄντων. Νεοπτόλεμος δὲ βουλεύων μὲν ἐπ' Εὐμενεῖ προδοσίαν [5] οὐκ ἔλαθε, καλούμενος δ' οὐχ ὑπήκουσεν, ἀλλὰ παρέταττε [6] τὴν δύναμιν. ἔνθα πρῶτον ὁ Εὐμενὴς ἀπέλαυσε τῆς ἑαυτοῦ προνοίας καὶ παρασκευῆς. ἡττώμενος γὰρ ἤδη κατὰ τὸ πεζὸν, ἐτρέψατο τοῖς ἱππεῦσι τὸν Νεοπτόλεμον, καὶ τὴν ἀποσκευὴν ἔλαβεν αὐτοῦ, καὶ τῇ φάλαγγι διεσπαρμένῃ περὶ [7] τὴν δίωξιν ἀθρόους ἐπελάσας, ἠνάγκασε τὰ ὅπλα θέσθαι, καὶ λαβόντας [8] ὅρκους αὐτῷ συστρατεύειν. ὁ μὲν οὖν Νεοπτόλε-

1 Schirach vertit: da ſie — *um ſich* herum verſammelt ſahen.

2 B. 4. καὶ προσηγγέλλετο μέλλοντας.

3 V. ἔγραψεν.

4 B. 4. εὐμηνίαν.

5 Haud probat Moſ. Duſ. hanc dictionem, ἐπ' Εὐμ. προδ. ut in graecis ſcriptoribus minus obviam.

6 B. 4. παρετάττετο.

7 V. παρά.

8 Dacer. voluit λαβόντι; Moſ. Duſ. δόντας vel διδόντας; R. ſuſp. καὶ δόντας καὶ λαβόντας ὅρκους, jurejurando mutuo dato acceptoque. Pro συστρατ. Junt. ſola ſimplex στρατεύειν.

πτόλεμος, ὀλίγους τινὰς συναγαγὼν ἐκ τῆς τροπῆς, ἔφυγε πρὸς Κρατερὸν καὶ Ἀντίπατρον. παρ' ἐκείνων δ' ἀπέσαλτο πρεσβεία πρὸς Εὐμενῆ, παρακαλοῦσα μεταθέσθαι πρὸς αὐτοὺς, καρπούμενον μὲν, ἃς [1] εἶχε, σατραπείας, προσλαβόντα δὲ στρατείαν καὶ χώραν παρ' αὐτῶν, Ἀντιπάτρῳ μὲν ἀντ' ἐχθροῦ φίλον γενόμενον, Κρατερῷ δὲ μὴ γενόμενον ἐκ φίλου πολέμιον. ταῦτα ὁ Εὐμενὴς ἀκούσας, Ἀντιπάτρῳ μὲν οὐκ ἂν ἔφη, παλαιὸς ὢν ἐχθρὸς, νῦν γενέσθαι φίλος, ὅτε αὐτὸν ὁρᾷ τοῖς φίλοις ὡς ἐχθροῖς χρώμενον· Κρατερὸν δὲ Περδίκκᾳ διαλλάττειν ἕτοιμος εἶναι, καὶ συνάγειν [2] ἐπὶ τοῖς ἴσοις καὶ δικαίοις· ἄρχοντος δὲ πλεονεξίας, τῷ ἀδικουμένῳ βοηθήσειν, μέχρις ἂν ἐμπνέῃ, καὶ μᾶλλον τὸ σῶμα καὶ τὸν βίον, ἢ τὴν πίστιν, προήσεσθαι.

VI. Οἱ μὲν οὖν περὶ τὸν Ἀντίπατρον, πυθόμενοι ταῦτα, κατὰ σχολὴν ἐβουλεύοντο περὶ τῶν ὅλων· ὁ Νεοπτόλεμος δὲ μετὰ τὴν φυγὴν ἀφικόμενος πρὸς αὐτοὺς, τήν τε μάχην ἀπήγγελλε καὶ παρεκάλει βοηθεῖν, μάλιστα μὲν ἀμφοτέρους, πάντως δὲ Κρατερόν· ποθεῖσθαι γὰρ ὑπερφυῶς ἐκεῖνον ὑπὸ τῶν Μακεδόνων, κἂν μόνον ἴδωσι τὴν καυσίαν [3] αὐτοῦ καὶ τὴν φωνὴν ἀκούσωσι, μετὰ τῶν ὅπλων ἥξειν φερομένους. καὶ γὰρ ἦν ὄντως ὄνομα τοῦ Κρατεροῦ μέγα, καὶ μετὰ τὴν Ἀλεξάνδρου τελευτὴν τοῦτον ἐπόθησαν οἱ πολλοὶ, μνημονεύοντες, ὅτι καὶ πρὸς Ἀλέξανδρον ὑπὲρ αὐτῶν ἀνεδέξατο πολλάκις ἀπεχθείας πολλάς· ὑποφερομένου πρὸς τὸν Περσικὸν ζῆλον ἀντιλαμβανόμενος, καὶ τοῖς πατρίοις ἀμύνων, διὰ τρυφὴν καὶ ὄγκον [4] ἤδη περιυβριζομένοις. τότε δ' οὖν ὁ

1 B. 4. ὅσας. Pro seq. στρατείαν Br. mavult στρατιὰν; R. susp. στρατηγίαν, munus imperatorium, gradumque in ipsorum amicitia.

2 B. 4. συνδιάγειν.

3 B. 4. παρουσίαν.

4 Sic e Junt. & Ald. se restituisse monet R. pro vulg. ὄγκου.

ὁ Κρατερὸς τὸν μὲν Ἀντίπατρον εἰς Κιλικίαν ἀπέστελλεν, αὐτὸς δὲ τῆς δυνάμεως ἀναλαβὼν πολὺ μέρος, ἐπὶ τὸν Εὐμενῆ μετὰ τοῦ Νεοπτολέμου προῆγεν [1]. οἰόμενος οὐ προσδεχομένῳ, καὶ μετὰ πρόσφατον νίκην ἐν ἀταξίᾳ καὶ περὶ πότους ἔχοντι τὴν δύναμιν, ἐπιπεσεῖσθαι. τὸ μὲν οὖν προαισθέσθαι τὴν ἔφοδον αὐτοῦ τὸν Εὐμενῆ, καὶ προπαρασκευάσασθαι, νηφούσης ἄν τις ἡγεμονίας, οὐ μὴν ἄκρας θείη δεινότητος· τὸ δὲ μὴ μόνον τοὺς πολεμίους, ἃ μὴ καλῶς εἶχεν αἰσθέσθαι, διαφυγεῖν, ἀλλὰ καὶ τοὺς μετ' αὐτοῦ στρατευομένους, ἀγνοοῦντας, ᾧ μάχονται, προενσεῖσαι τῷ Κρατερῷ, καὶ ἀποκρύψαι τὸν ἀντιστράτηγον, ἴδιον δοκεῖ τοῦτο [2] τοῦ ἡγεμόνος ἔργον γενέσθαι. διέδωκε μὲν [3] οὖν λόγον, ὡς Νεοπτόλεμος αὖθις ἐπίοι, καὶ Πίγρης [4], ἔχοντες ἱππεῖς [καὶ [5]] Καππαδοκῶν καὶ Παφλαγόνων. νυκτὸς δ' ἀναζεῦξαι βουλόμενος, εἶτα καταδαρθὼν, ὄψιν εἶδεν ἀλλόκοτον. ἐδόκει γὰρ [6] ὁρᾶν Ἀλεξάνδρους δύο παρασκευαζομένους ἀλλήλοις μάχεσθαι, μιᾶς ἑκάτερον ἡγούμενον φάλαγγος· εἶτα, τῷ μὲν τὴν Ἀθηνᾶν, τῷ δὲ τὴν Δήμητρα βοηθοῦσαν ἐλθεῖν. γενομένου δ' ἀγῶνος δ' ἰσχυροῦ, κρατηθῆναι τὸν μετὰ τῆς Ἀθηνᾶς· τῷ δὲ νικῶντι σταχύων δρεπομένην τὴν Δήμητρα συμπλέκειν στέφανον. αὐτόθεν μὲν οὖν τὴν ὄψιν

ὄγκοι. At ita non nisi in Br. vitiose legitur. Omnes reliquae edd. exhibent ὄγκον. Pro περιυβριζ. V. περιυβρισμένοις, in Cat. Frft.

1 Sic R. de suo dedit. Vulgo προσῆγεν.

2 Sic Mos. Duf. dari voluit, deditque R. pro vulg. τοῦτο.

3 Br. μὲν delendum censuit. Monente R. id refertur ad insequens ἀναζεῦξαι δὲ βουλόμενος, dididerat quidem hunc rumorem — attamen nihilominus castra movere de nocte atque discedere decreverat.

4 Sic scriptum nomen hoc dedit R. cum B. 4. Junt. Ald. Crat. Vulgo Πίγρις.

5 Partic. καὶ otiosam jam censuit Br. & R. uncis inclusit, perperam ex initio vocabuli proximi Καππαδ. iteratam.

6 abest γὰρ a B. 4.

ὄψιν εἴκαζεν εἶναι πρὸς αὐτῦ, μαχομένυ περὶ γῆς ἀρίστης [1] καὶ τότε πολὺν καὶ καλὸν ἐχύσης ἐν κάλυκι στάχυν. ἅπασα γὰρ κατέσπαρτο, καὶ παρεῖχεν εἰρήνῃ πρέπυσαν ὄψιν, ἀμφιλαφῶς τῶν πεδίων κομώντων. μᾶλλον δ' ἐπεῤῥώσθη, πυθόμενος, σύνθημα τοῖς πολεμίοις Ἀθηνᾶν καὶ Ἀλέξανδρον εἶναι. Δήμητρα δὲ δὴ καὶ αὐτὸς ἐδίδυ σύνθημα καὶ Ἀλέξανδρον, ἀναδεῖσθαί τε πάντας [2] ἐκέλευε, καὶ κατασέφειν τὰ ὅπλα τῶν σταχύων λαμβάνοντας. ὁρμήσας δὲ πολλάκις ἐξαγορεῦσαι καὶ φράσαι τοῖς περὶ αὐτὸν ἡγεμόσι καὶ στρατηγοῖς, πρὸς ὃν ἔμελλεν ὁ ἀγὼν ἔσεσθαι, καὶ μὴ μόνος ἐν αὐτῷ θέμενος ἀποκρύψαι καὶ καταχεῖν ἀπόῤῥητον ὕτως ἀναγκαῖον, ὅμως ἐνέμεινε τοῖς λογισμοῖς, καὶ διεπίσευσε τῇ γνώμῃ τὸν κίνδυνον.

VII. Ἀντέταξε δὲ Κρατερῷ Μακεδόνων μὲν ὐδένα, δύο δὲ ἱππαρχίας ξενικὰς, ὧν Φαρνάβαζος ὁ Ἀρταβάζυ καὶ Φοίνιξ ὁ Τενέδιος ἡγῦντο, διακελευσάμενος, ὀφθέντων τῶν πολεμίων, ἐλαύνειν κατὰ τάχος καὶ συμπλέκεσθαι, μὴ διδόντας ἀναστροφὴν, μηδὲ φωνὴν, μηδὲ κήρυκα πεμπόμενον προσιεμένυς. ἐδεδίει γὰρ ἰσχυρῶς τὺς Μακεδόνας, μὴ, γνωρίσαντες τὸν Κρατερὸν, οἴχωνται μεταβαλόμενοι πρὸς ἐκεῖνον. αὐτὸς δὲ τὺς ἐῤῥωμενεστάτυς ἱππεῖς τριακοσίυς εἰς ἄγημα [3] συντάξας, καὶ παρελάσας ἐπὶ τὸ δεξιὸν, ἔμελλε τοῖς περὶ Νεοπτόλεμον ἐπιχειρεῖν. ὡς δὲ τὸν ἐν μέσῳ λόφον ὑπερβαλόντες

1 Sic cum Anon. & Mur. dari placuit Br. & dedit R. pro vulg. περὶ γῆς ἀρίστης.

2 Pro hac voce V. αὐτὺς.

3 Appian. in Syriaco: ἄγημα εἰσὶν ἱππεῖς ἐπίλεκτοι, καὶ παρ' αὐτὸ ἄγημα λέγονται, equites ſunt delecti, atque inde eis nomen. Hinc Xyl. *agema* retinet in verſione, & adnotat, a Livio etiam hoc nomen uſurpari, ita, ut pateat, tam de peditum lecto agmine, quam de equitatu accipi. Anon. in ind. Frft. Agema, certa pars phalangis, ut in qua & equites & pedites omnes delecti erant.

τες ὤφθησαν ὀξεῖαν καὶ μεθ' ὁρμῆς σφοδροτέρας ποιούμενοι τὴν ἔφοδον, ἐκπλαγεὶς ὁ Κρατερὸς, καὶ πολλὰ λοιδορήσας τὸν Νεοπ7όλεμον, ὡς ἐξηπατημένος ὑπ' αὐτῦ περὶ τῆς τῶν Μακεδόνων μεταβολῆς, ἐγκελευσάμενος ἀνδραγαθεῖν τοῖς περὶ αὐτὸν ἡγεμόσιν, ἀντεξήλασε. γενομένης δὲ τῆς πρώτης συῤῥάξεως [1] βαρείας, καὶ τῶν δοράτων ταχὺ συντριβέντων, τῦ δ' ἀγῶνος ἐν τοῖς ξίφεσιν ὄν7ος, ὐ καταισχύνας ὁ Κρατερὸς τὸν Ἀλέξανδρον, ἀλλὰ πολλὺς μὲν καταβαλὼν, πολλάκις δὲ τρεψάμενος τὺς ἀντιτεταγμένυς, τέλος δὴ [2] πληγεὶς ὑπὸ Θρᾳκὸς ἐκ πλαγίων προσελάσαν7ος, ἀπεῤῥύη τῦ ἵππυ. πεσόντα δ' αὐτὸν οἱ μὲν ἄλλοι παρήλασαν ἀγνοῦντες· Γοργίας δὲ, τῶν Εὐμενῦς ςρατηγῶν, ἔγνω τε, καὶ καταβὰς περιέςησε φρυρὰν τῷ σώματι, κακῶς ἤδη διακειμένυ καὶ δυσθανατῦντος. ἐν τύτῳ δὲ καὶ Νεοπ7όλεμος Εὐμενεῖ συνήρχετο. μισῦν7ες γὰρ ἀλλήλυς πάλαι [3] καὶ δι' ὀργῆς ἔχοντες, ἐν μὲν δυσὶν ἀναςροφαῖς ὐ κατεῖδον, ἐν δὲ τῇ τρίτῃ γνωρίσαντες εὐθὺς ἤλαυνον, σπασάμενοι τὰ ἐγχειρίδια καὶ βοῶντες. τῶν δ' ἵππων ἐξ ἐναντίας βίᾳ συμπεσόν7ων, ὥσπερ τριηρῶν, τὰς ἡνίας ἀφέντες, ἀλλήλων ἐπελάβον7ο [4] ταῖς χερσὶ, τά τε κράνη περισπῶντες, καὶ περιῤῥηγνύντες ἐκ τῶν ἐπωμίδων τὺς θώρακας. πρὸς δὲ τὸν σπαραγμὸν ὑπεκδραμόντων ἅμα τῶν ἵππων, ἀποῤῥυέντες εἰς γῆν, καὶ περιπεσόντες [5] ἀλλήλοις, ἐν λαβαῖς ἦσαν καὶ διεπάλαιον. εἶτα ὁ μὲν Εὐμενὴς τῦ Νεοπ7ολέμυ προεξανιςαμένυ τὴν ἰγνύαν ὑπέκοψεν, αὐτὸς εἰς ὀρθὸν φθάσας καταςῆναι· ὁ δὲ Νεοπ7όλεμος εἰς θάτερον ἐρεισάμενος γόνυ, θάτερον

1 B. 4. συντάξεως.

2 Sic R. de ſuo dedit pro vulg. δὲ.

3 abeſt πάλαι a B. 4.

4 Sic cum Junt. ſcribendum cenſuit Br. & dedit R. pro vulg. ἀπελάβοντο. B. 4. ἀπεδράξαντο. Diod. Sic. ἀλλήλων ἐδράξαντο.

5 Verba ἀποῤῥ. ad περιπεσ. abſunt a B. 4.

ρον δὲ πεπηρωμένος ἠμύνετο μὲν εὐρώστως κάτωθεν, οὐ θανασίμους δὲ πληγὰς ὑποφέρων· πληγεὶς δὲ παρὰ [1] τὸν τράχηλον, ἔπεσε καὶ παρείθη. τοῦ δ' Εὐμενοῦς δι' ὀργὴν καὶ μῖσος παλαιὸν τά τε ὅπλα περισπῶντος αὐτοῦ καὶ κακῶς λέγοντος, ἔτι τὸ ξίφος ἔχων, ἔλαθεν ὑπὸ τὸν θώρακα τρώσας, ᾗ παρέψαυσε [2] τοῦ βουβῶνος ἀποβάς. ἡ δὲ πληγὴ μᾶλλον ἐφόβησεν, ἢ ἔβλαψε τὸν Εὐμενῆ, δι' ἀσθένειαν ἀμυδρὰ γενομένη. σκυλεύσας δὲ τὸν νεκρὸν, εἶχε μὲν χαλεπῶς ὑπὸ τραυμάτων, μηροὺς καὶ βραχίονας διακεκομμένος· ὅμως δ' ἀναβληθεὶς ἐπὶ τὸν ἵππον, ἐδίωκε πρὸς θάτερον κέρας, ὡς ἔτι συνεστώτων τῶν πολεμίων. πυθόμενος δὲ τὴν Κρατεροῦ τελευτὴν, καὶ προσελάσας, ὡς εἶδεν ἐμπνέοντα καὶ συνιέντα, καταβὰς ἐπεδάκρυσε [3], καὶ τὴν δεξιὰν ἐνέβαλε, καὶ πολλὰ μὲν ἐλοιδόρησε τὸν Νεοπτόλεμον, πολλὰ δ' ἐκεῖνον μὲν ᾠκτίσατο [4] τῆς τύχης, αὐτὸν δὲ τῆς ἀνάγκης, δι' ἣν ἀνδρὶ φίλῳ καὶ συνήθει, ταῦτα πεισόμενος, ἢ δράσων, συνηνέχθη.

VIII. Ταύτην τὴν μάχην Εὐμενὴς ἡμέραις δέκα σχεδόν τι [5] μετὰ τὴν προτέραν ἐνίκησε· καὶ δόξῃ μὲν ἤρθη μέγας ἀπ' αὐτῆς, ὡς τὰ μὲν σοφίᾳ, τὰ δ' ἀνδρείᾳ

1 Sic R. dedit cum Junt. Ald. Crat. B. 4. Vulgo περί.

2 Ad h. v. R. ita: „bene habet — nicht recht hart am Fleische anlag, nicht recht anpassete, sondern ein wenig abprallete. Notanda vis praep. παρὰ in hujusmodi verbis, significans *secus atque oportebat*." De ἀποβὰς Br. suspicatus est, forsan rectius legi ἀποβᾶσα δ' ἡ πλ. cum non raro fiat librariorum vitio, ut sententiarum finis & initium ita confundantur; addit tamen, de thorace hic non absurdum esse ἀποβὰς dici, sequendamque Codd. Mss. auctoritatem.

3 Sic Mos. Dus. cum B. 4. legi voluit, deditque R. pro vulg. ἀπεδάκρυσε.

4 V. οἰκτίσατο. Id. paulo post δράσας pro δράσων.

5 Sic R. dedit ex conjectura Mos. Dus. pro vulg. τῇ.

δρείᾳ κατειργασμένος. Φθόνον δὲ πολὺν ἔχε [1] καὶ μῖσος ὁμαλῶς παρά τε τοῖς συμμάχοις καὶ τοῖς πολεμίοις, ὡς ἔπηλυς ἀνὴρ καὶ ξένος ὅπλοις καὶ χερσὶ τῶν Μακεδόνων τὸν πρῶτον αὐτῶν καὶ δοκιμώτατον ἀνῃρηκώς. ἀλλ' εἰ μὲν ἔφθη Περδίκκας πυθόμενος τὴν Κρατερȣ τελευτὴν, ȣκ ἂν ἄλλος ἐπρώτευσε Μακεδόνων· νυνὶ δ' ἀνῃρημένȣ Περδίκκȣ κατὰ ςάσιν ἐν Αἰγύπτῳ δυσὶν ἡμέραις πρότερον, ἧκεν ȣ῏τος ὁ περὶ τῆς μάχης λόγος εἰς τὸ ςρατόπεδον· καὶ πρὸς ὀργὴν εὐθὺς οἱ Μακεδόνες θάνατον τȣ῀ Εὐμενȣ῀ς κατέγνωσαν. ἀπεδείχθη δὲ τȣ῀ πολέμȣ τȣ῀ πρὸς αὐτὸν Ἀντίγονος μετ' Ἀντιπάτρȣ ςρατηγός. ἐπεὶ δ' Εὐμενὴς τοῖς βασιλικοῖς ἱπποφορβίοις περὶ τὴν Ἴδην νεμομένοις ἐπιτυχὼν, καὶ λαβὼν ἵππȣς, ὅσων ἔχρῃζε τοῖς ἐπιμεληταῖς τὴν γραφὴν ἔπεμψε, λέγεται γελάσαι τὸν Ἀντίπατρον, καὶ εἰπεῖν, ὅτι θαυμάζει τὸν Εὐμενῆ τῆς προνοίας, ἐλπίζοντα λόγον αὐτοῖς ἀποδώσειν τῶν βασιλικῶν, ἢ λήψεσθαι παρ' αὐτῶν [2]. περὶ δὲ τὰς Σάρδεις ἐβȣ́λετο μὲν ἱπποκρατῶν ὁ Εὐμενὴς τοῖς Λυδοῖς ἐναγωνίσασθαι πεδίοις, ἅμα καὶ τῇ Κλεοπάτρᾳ τὴν δύναμιν ἐπιδεῖξαι φιλοτιμȣ́μενος. αὐτῆς δ' ἐκείνης δεηθείσης, (ἐφοβεῖτο γὰρ αἰτίαν τινὰ λαβεῖν ὑπὸ τῶν περὶ τὸν Ἀντίπατρον) ἐξήλασεν εἰς τὴν ἄνω Φρυγίαν, καὶ διεχείμαζεν ἐν Κελαιναῖς· ὅπȣ τῶν μὲν περὶ τὸν Ἀλκέταν καὶ Πολέμωνα καὶ Δόκιμον ὑπὲρ ἡγεμονίας διαφιλοτιμȣμένων [3] πρὸς αὐτόν· Τȣ῀τ' ἦν, ἔφη, τὸ λεγόμενον· ὀλέθρȣ δ' ȣ̓θεὶς λόγος [4]. τοῖς δὲ ςρατιώταις ὑποσχόμενος ἐν τρισὶν ἡμέραις τὸν μισθὸν ἀποδώσειν, ἐπίπρασκεν αὐτοῖς τὰς κατὰ τὴν χώραν

1 V. ἔχων.

2 B. 4. περὶ αὐτῶν.

3 Junt. fola διὰ φιλοτιμίαν.

4 Xyl. notante, locutio proverbialis, qua notentur ii, qui, graviffimo imminente periculo, adeoque exitio, tamen aliis curis vacent, falutis fuae pofthabita ratione.

ραν ἐπαύλεις καὶ τετραπυργίας σωμάτων καὶ βοσκημάτων γεμέσας. ὁ δὲ πριάμενος ἡγεμὼν τάγματος, ἢ ξεναγὸς, ὄργανα καὶ μηχανὰς λαβὼν [1], τȣ̃ Εὐμενȣ̃ς παρέχοντος, ἐξεπολιόρκει, καὶ πρὸς τὸν ὀφειλόμενον μισθὸν οἱ στρατιῶται διενέμοντο τῶν ἁλισκομένων ἕκαστον. ἐκ δὲ [2] τȣ́τȣ πάλιν ὁ Εὐμενὴς ἠγαπᾶτο, καὶ ποτε γραμμάτων ἐν τῷ στρατοπέδῳ φανέντων, ἃ διέρριψαν [3] οἱ τῶν πολεμίων ἡγεμόνες, ἑκατὸν τάλαντα καὶ τιμὰς διδόντες τῷ κτείναντι τὸν Εὐμενῆ, σφόδρα παρωξύνθησαν οἱ Μακεδόνες· καὶ δόγμα ποιȣ̃νται, χιλίȣς τῶν ἡγεμονικῶν περὶ αὐτὸν ἀεὶ δορυφορȣ̃ντας εἶναι, καὶ φυλάττειν ἐν περιόδῳ καὶ παρανυκτερεύειν [4]. οἱ δ᾽ ἐπείθοντο, καὶ τιμὰς ἠγάπων παρ᾽ αὐτȣ̃ λαμβάνοντες [5], ἃς οἱ φίλοι παρὰ τῶν βασιλέων. ἐξῆν γὰρ Εὐμενεῖ καὶ καυσίας ἁλȣργεῖς καὶ χλαμύδας διανέμειν, ἥτις ἦν δωρεὰ βασιλικωτάτη παρὰ Μακεδόσι.

IX. Τὸ μὲν ȣ̃ν εὐτυχεῖν καὶ τȣ̀ς φύσει μικρȣ̀ς συνεπικȣφίζει τοῖς φρονήμασιν, ὥστε φαίνεσθαί τι [6] μέγεθος περὶ αὐτȣ̀ς καὶ ὄγκον, ἐκ πραγμάτων ὑπερεχόντων [7] ἀποβλεπομένȣς. ὁ δὲ ἀληθῶς μεγαλόφρων καὶ βέβαιος, ἐν τοῖς σφάλμασι μᾶλλον καὶ ταῖς δυσημερίαις ἀναφέρων, γίνεται κατάδηλος, ὥσπερ Εὐμενής. πρῶτον μὲν γὰρ ἐν Ὀρκυνίοις [8] τῆς Καππαδοκίας ἡττηθεὶς ὑπ᾽ Ἀντιγόνȣ διὰ προδοσίαν [9], καὶ διωκόμενος, ȣ̓ παρῆκε τὸν προδότην ἐκ τῆς φυγῆς διαπεσεῖν πρὸς τȣ̀ς πολεμίȣς, ἀλλὰ συλλαβὼν ἐκρέμασε. φεύγων δὲ τὴν



1 deest λαβὼν Juntinae & B. 4.
2 Omnes edd. praeter Bryaneam dant ἐκ δή.
3 B. 4. διέγραψαν.
4 V. περινυκτερεύειν.
5 B. 4. λαβόντες.
6 Sic R. cum B 4. & Junt. dedit pro vulg. τε.
7 B. 4. ὑπαρχόντων.
8 B. 4. Ὀρκιλίοις.
9 Mur. προδοσίας, quod mavult Mos Diss.

τὴν ἐναντίαν ὁδὸν τοῖς διώκεσι μετέβαλε. λαθὼν δὲ [1] παραλλάξας, ὡς ἦλθεν ἐπὶ τὸν τόπον, ὃ τὴν μάχην συνέβη γενέϑαι, κατεςρατοπέδευσε, καὶ [2] συναγαγὼν τὲς νεκρὲς, καὶ τῶν ἐν κύκλῳ κωμῶν τὰ θυρώματα καταχίσας, ἔκαυσεν, ἰδίᾳ μὲν ἡγεμόνας, ἰδίᾳ δὲ τὲς πολλὲς, καὶ πολυάνδρια χώσας ἀπῆλθεν· ὥςε καὶ τὸν Ἀντίγονον ὕςερον ἐπελθόντα [3] θαυμάζειν τὸ θάρσος αὐτῦ καὶ τὴν εὐςάθειαν. ἔπειτα ταῖς ἀποσκευαῖς τῦ Ἀντιγόνυ περιπεσὼν, καὶ λαβεῖν ῥᾳδίως δυνάμενος πολλὰ μὲν ἐλεύθερα σώματα, πολλὴν δὲ θεραπείαν, καὶ πλῦτον ἐκ πολέμων τοσύτων καὶ λεηλασιῶν ἠθροισμένον, ἔδεισε, μὴ καταπλησθέντες ὠφελείας καὶ λαφύρων [4] οἱ σὺν αὐτῷ βαρεῖς γένωνται πρὸς τὴν φυγὴν καὶ μαλακώτεροι τὰς πλάνας ὑπομένειν, καὶ τὸν χρόνον, ἐν ᾧ μάλιςα τῦ πολέμυ τὰς ἐλπίδας εἶχεν, ὡς ἀποςρέψων [5] τὸν Ἀντίγονον. ἐπεὶ δ' ἄντικρυς χαλεπὸν ἦν, ἀποτρέπειν Μακεδόνας χρημάτων ἐν ἐφικτῷ παρόντων, ἐκέλευσε θεραπεύσαντας αὐτὲς, καὶ τοῖς ἵπποις χιλὸν ἐμβαλόντας [6], ὕτω βαδίζειν ἐπὶ τὲς πολεμίες. αὐτὸς δὲ πέμπει κρύφα πρὸς τὸν ἐπὶ [7] τῆς ἀποσκευῆς τῶν πολεμίων Μένανδρον, ὡς κηδόμενος αὐτῦ, φίλυ γεγονότος καὶ συνήθυς, φρά-

1 Sic R. diſtinxit, deditque de ſuo pro vulg. μετέβαλε λαθὼν, καὶ παραλλ. Cujus loci obſcuritatem ſenſit Moſes Duſ. Ita interpungendum cenſens: φεύγων δὲ, τὴν ἐναντίαν ὁδὸν τοῖς διώκεσι μετέβαλε λαθών. — Dacerius, eodem notante, peſſime facit *in caſtra redire.*

2 Hanc copulam de ſuo addidit R. Vulgo deeſt.

3 R. mavult ἐπανελθόντα.

4 Moſi Duſ. vox ὠφελείας ſuſpecta fuit, a Plut. ſcriptum arbitranti λείας καὶ λαφύρων. R. mavult ὠφελείας ἐκ λαφύρων, vel ὠφ. ἀπὸ λαφ.

5 ſcil. δι' αὐτῦ, per diuturnitatem temporis tandem aliquando a ſe averſurus, detorſurus. R.

6 H. Steph. notante, idem eſt, ac ſi dixiſſet θεραπεύσαντας αὐτὲς καὶ τὲς ἵππυς.

7 B. 4. ἀπό.

φράζεσθαι [1] παραινῶν, καὶ ἀναχωρῆσαι τὴν ταχίστην ἐκ τῶν ἐπιδρόμων [2] καὶ ταπεινῶν πρὸς τὴν ἐγγὺς ὑπώρειαν, ἄφιππον ἔσαν καὶ κυκλώσεις ἐκ ἔχεσαν. τε δὲ Μενάνδρε ταχὺ συμφρονήσαντος τὸν κίνδυνον καὶ ἀνασκευασαμένε, κατασκόπες ἔπεμπεν ὁ Εὐμενὴς φανερῶς, καὶ παρήγγειλε τοῖς στρατιώταις ὁπλίζεσθαι, καὶ τὲς ἵππες ἐγχαλινεν, ὡς προσάξων τοῖς πολεμίοις. τῶν δὲ κατασκόπων ἀπαγγειλάντων, ὅτι παντάπασιν ὁ Μένανδρος ἄληπτος [3] εἴη, καταπεφευγὼς εἰς τόπες χαλεπὲς, ἄχθεσθαι προσποιέμενος ὁ Εὐμενὴς ἀπῆγε τὴν στρατιάν. λέγεται δὲ, τε Μενάνδρε ταῦτα μαρτυρήσαντος πρὸς τὸν Ἀντίγονον, καὶ τῶν Μακεδόνων ἐπαινέντων τὸν Εὐμενῆ, καὶ φιλανθρωπότερον διατεθέντων, ὅτι καὶ παῖδας αὐτῶν ἀνδραποδίσασθαι καὶ γυναῖκας αἰσχῦναι παρὸν, ἐφείσατο καὶ παρῆκεν· Ἀλλ' ἐκεῖνος [4], φάναι τὸν Ἀντίγονον, ἐχ ἡμῶν, ὦ μακάριοι, κηδόμενος παρῆκεν, ἀλλ' αὑτῷ φεύγοντι δεδιὼς περιθεῖναι πέδας τοσαύτας.

X. Ἐκ τέτε πλανώμενος ὁ Εὐμενὴς καὶ ὑποφεύγων, ἔπεισε τὲς πολλὲς τῶν στρατιωτῶν ἀπελθεῖν, εἴτε κηδόμενος [5] αὐτῶν, εἴτ' ἐφέλκεσθαι μὴ βελόμενος ἐλάττονας μὲν τε μάχεσθαι, πλείονας δὲ τε λανθάνειν ὄντας. καταφυγὼν δ' εἰς Νῶρα, χωρίον ἐν μεθορίῳ [6] Λυ-



1 Sic R. de suo dedit — *sibi cavere*, pro vulg. φράξασθαι. Mos. Dus. susp. φθάσασθαι. Br. φυλάξασθαι.

2 Sic jam reponi voluit H. Steph. & dedit R. pro vulg. ἐπιδρομῶν. Malnit tamen idem εὐεπιδρόμων, ab εὐεπίδρομος. Pro seq. ταπεινῶν B. 4. πεδεινῶν.

3 B. 4. ἀκατάληπτος.

4 Sic R. cum Junt. Ald. Crat. & Mur. dedit pro vulg. ἐκεῖνο. B. 4. ἐκείνως γε, quem cod. Mos. Dus. ἐκεῖνος γε voluisse suspicatur, & nihil mutandum censet. Ad παρῆκεν, quod sequitur, R. subaudiendum monet ἡμᾶς, aut ὑμᾶς, aut τὲς παῖδας καὶ τὰς γυναῖκας ἡμῶν.

5 Legi quoque φειδόμενος, testatur H. Steph. Sic & V.

6 B. 4. ἐν μέρεσι.

Λυκαονίας καὶ Καππαδοκίας, μετὰ πεντακοσίων ἱππέων καὶ διακοσίων ὁπλιτῶν· κἀντεῦθεν αὖθις, ὅσοι τῶν Φίλων ἐδεήθησαν ἀφεθῆναι, τὴ χωρίε τὴν χαλεπότητα καὶ τῆς διαίτης τὴν ἀνάγκην ἐ φέροντες, πάντας ἀσπασάμενος καὶ φιλοφρονηθεὶς ἀπέπεμψεν. ὡς δ' ἐπελθὼν [1] ὁ Ἀντίγονος εἰς λόγες αὐτὸν ἐκάλει πρὸ τῆς πολιορκίας, ἀπεκρίνατο, πολλὲς εἶναι τὲς Ἀντιγόνε Φίλες, καὶ μετ' Ἀντίγονον ἡγεμόνας· ὧν δ' αὐτὸς προπολεμεῖ, μηδένα λείπεσθαι μετ' αὐτόν. ὁμήρες δὲ πέμπειν ἐκέλευσεν, εἰ χρῄζει διὰ λόγων αὐτῷ γενέσθαι. τὲ δ' Ἀντιγόνε κελεύοντος, ὡς κρείττονι λαλεῖν· Οὐδένα, εἶπεν, ἐμαυτὲ κρείττονα νομίζω, μέχρις ἂν ὦ τὲ ξίφες κύριος. ὅμως δὲ πέμψαντος τὲ Ἀντιγόνε τὸν ἀδελφιδὲν Πτολεμαῖον εἰς τὸ χωρίον, ὥσπερ ἠξίωσεν ὁ Εὐμενής, κατέβη, καὶ περιβαλόντες [2] ἀλλήλες ἠσπάσαντο φιλικῶς καὶ οἰκείως, ἅτε δὴ ἀλλήλοις κεχρημένοι πολλά, καὶ συνήθεις γεγονότες. λόγων δὲ γενομένων πολλῶν, καὶ τὲ Εὐμενὲς ἐχ ὑπὲρ ἀσφαλείας μεμνημένε [3] καὶ διαλύσεως, ἀλλὰ καὶ τὰς σατραπείας ἀξιὲντος αὐτῷ βεβαιὲσθαι, καὶ τὰς δωρεὰς ἀποδίδοσθαι, θαῦμα τὲς παρόντας εἶχε, τὸ φρόνημα καὶ τὴν εὐτολμίαν ἀγαμένες. ἅμα δὲ πολλοὶ συνέτρεχον τῶν Μακεδόνων [4], ἰδεῖν, ὅστις ἐστὶ, τὸν Εὐμενῆ ποθὲντες. ἐ γὰρ ἑτέρε λόγος ἦν τοσὲτος ἐν τῷ στρατῷ μετὰ τὴν τὲ Κρατερὲ τελευτήν. δείσας δ' ὁ Ἀντίγονος ὑπὲρ αὐτὲ, μή τι πάθῃ βίαιον, πρῶτον μὲν ἀπηγόρευε [5] μὴ προσιέναι βοῶν, καὶ τοῖς λίθοις

1 B. 4. ὡς δὲ ἐλθών. Sic id. paulo post πολεμίας pro πολιορκίας; & infra ὅμηρον pro ὁμήρες.

2 Antigonus pata & Eumenes R. Sequentia ἠσπάσαντο usque ad ἀλλήλοις absunt a B. 4.

3 Suspecta fuit haec vox Bryano ob praecedens ὑπὲρ. Mos. Duf. ὑπὲρ in ὅπως mutandum censuit, & servandum μεμνημένε, ut rei aptissimum.

4 Teste H. Steph. habetur in quibusdam πολεμίων. Sic & V.

5 Junt. sola ἀπηγόρευον.

λίθοις ἔβαλλε τὲς ἐπιφερομένες· τέλος δὲ, ταῖς χερσὶ τὸν Εὐμενῆ περιβαλὼν, καὶ τὸν ὄχλον ἀπερύκων τοῖς δορυφόροις, μόλις εἰς τὸ ἀσφαλὲς ἀπεκατέστησεν.

XI. Τἐντεῦθεν ὁ μὲν περιτειχίσας τὰ Νῶρα, καὶ φρερὰν καταλιπὼν, ἀνέζευξεν· Εὐμενὴς δὲ πολιορκέμενος, ἐγκρατὴς τε χωρίε γεγονὼς [1], σῖτον καὶ ὕδωρ ἄφθονον καὶ ἅλας, καὶ ἄλλο μηδὲν ἔχοντος ἐδώδιμον, μηδ' ἥδυσμα πρὸς [2] τὸν σῖτον, ἐκ τῶν παρόντων ὅμως κατεσκεύαζε τοῖς συνἔσιν ἱλαρὰν τὴν δίαιταν, ἐν μέρει τε παραλαμβάνων πάντας ἐπὶ τὴν αὐτε τράπεζαν, καὶ τὸ συσσίτιον ὁμιλίᾳ, χάριν ἐχέσῃ καὶ φιλοφροσύνην [3], ἐφηδύνων. ἦν δὲ καὶ τὸ εἶδος ἡδὺς, ε πολεμικῷ καὶ τετριμμένῳ δι' ὅπλων ἐοικὼς, ἀλλὰ γλαφυρὸς καὶ νεοπρεπὴς, καὶ πᾶν τὸ σῶμα διηρθρωμένος, ὡς ὑπὸ τέχνης ἀκριβῶς τοῖς μέλεσι θαυμαςὴν συμμετρίαν ἔχεσιν. εἰπεῖν δ' ε δεινὸς, αἱμύλος δὲ καὶ πιθανὸς, ὡς ἐκ [4] τῶν ἐπιςολῶν συμβάλλειν ἐςίν. ἐπεὶ δὲ τὲς σὺν αὐτῷ πολιορκεμένες ἡ ςενοχωρία μάλιςα πάντων ἔβλαπτεν, ἐν οἰκήμασι μικροῖς, καὶ τόπῳ δυοῖν ςαδίοιν ἔχοντι τὴν περίμετρον, ἀναςρεφομένες, τροφὴν δ' ἀγυμνάςες μὲν αὐτὲς λαμβάνοντας, ἀργοῖς δὲ τοῖς ἵπποις προσφέροντας· ε μόνον τὸν ἄλυν αὐτῶν ὑπὸ τῆς ἀπραξίας μαραινομένων [5] ἀπαλλάξαι βελόμενος, ἀλλὰ καὶ πρὸς φυγὴν, εἰ παραπέσοι [6] καιρὸς, ἀμωσγέπως ἠσκημένοις χρήσασθαι,



1 Sic R. de suo dedit pro vulg. γέγονε. Maluit idem abesse τε ante χωρ.

2 B. 4. περί.

3 Sic R. dedit de suo pro vulg. φιλοφροσύνη.

4 Ed. Par. notante Mos. Duf. ἐπί. Hinc Dacer. cum Bigotio voluit ἀπό.

5 Sic Br. cum Anon. & Mur. scribi voluit, deditque R. pro vulg. μαραινόμενον.

6 B. 4. παραπιπτεῖ. Pro seq. χρήσασθαι V. χρῆσθαι.

θαι, τοῖς μὲν ἀνθρώποις οἶκον, ὃς ἦν μέγιςος ἐν τῷ χωρίῳ, δεκατεσσάρων πηχῶν τὸ μῆκος, ἀπέδειξε περίπατον, κατὰ μικρὸν ἐπιτείνειν τὴν κίνησιν κελεύων· τῶν δ' ἵππων ἕκαςον ῥυτῆρσι μεγάλοις εἰς τὴν ὀροφὴν ἀναδεδεμένοις, ὑποζώσας ἐκ τῶν περὶ τὸν αὐχένα μερῶν, ἐμετεώριζε, καὶ παρήγειρε [1] διὰ τροχιλίας, ὥςε τοῖς μὲν ὀπιθίοις σκέλεσιν ἐπὶ τῆς γῆς ἐρείδεσθαι, τοῖς δ' ἐμπροσθίοις ποσὶν ἀκρωνύχοις ἐπιψαύειν. ὅτω δὴ ἀνηρτημένους οἱ ἱπποκόμοι παρεςῶτες, ἅμα ταῖς τε κραυγαῖς καὶ ταῖς μάςιξιν ἐπηρέθιζον· οἱ δὲ πιμπλάμενοι θυμοῦ καὶ ὀργῆς, τοῖς μὲν ὀπισθίοις ἐνήλλοντο [2] καὶ διεσκίρτων σκέλεσι, τοῖς δὲ μετεώροις ἐφιέμενοι ςηρίσασθαι, καὶ κροῦντες τὸ ἔδαφος κατετείνοντο πᾶν τὸ σῶμα, καὶ πολὺν ἠφίεσαν ἱδρῶτα καὶ ςεναγμὸν, ὅτε πρὸς τάχος, ὅτε πρὸς ῥώμην, γυμναζόμενοι κακῶς. τὰς δὲ κριθὰς ἐνέβαλλον αὐτοῖς ἐπτισμένας, ἵνα κατεργάζωνται θᾶττον καὶ πέττωσι βέλτιον.

XII. Ἤδη δὲ τῆς πολιορκίας χρόνον λαμβανούσης, Ἀντίγονος τεθνηκέναι πυνθανόμενος Ἀντίπατρον ἐν Μακεδονίᾳ, καὶ τεταράχθαι τὰ πράγματα, Κασάνδρου καὶ Πολυπέρχοντος διαφερομένων, οὐδὲν ἔτι μικρὸν ἐλπίζων, ἀλλὰ τῇ γνώμῃ τὴν ὅλην περιβαλλόμενος ἡγεμονίαν, ἐβούλετο τὸν Εὐμενῆ φίλον ἔχειν καὶ συνεργὸν ἐπὶ τὰς πράξεις. διὸ πέμψας Ἱερώνυμον, ἐσπένδετο τῷ Εὐμενεῖ, προτείνας ὅρκον, ὃν ὁ Εὐμενὴς διορθώσας, ἐπέτρεψεν ἐπικρῖναι τοῖς πολιορκοῦσιν αὐτὸν Μακεδόσι, πότερος εἴη δικαιότερος. Ἀντίγονος μὲν γὰρ ἀφοσιώσεως ἕνεκεν ἐν ἀρχῇ τῶν βασιλέων ἐπιμνησθεὶς, τὸν λοιπὸν ὅρκον εἰς ἑαυτὸν ὥρκιζεν· Εὐμενὴς δὲ πρώτην μὲν ἐνέγραψε τοῖς ὅρκοις Ὀλυμπιάδα μετὰ τῶν βασιλέων· ἔπειτα

1 Br. susp. παρήειρεν; Mos. Dus. περήωρα. R. tuetur vulgatam — *clam, sensim sublevavit.*

2 V. ἐνηλλάττοντο.

τα ὤμνυεν, οὐκ Ἀντιγόνῳ μόνον εὐνοήσειν [1], οὐδ' ἐκείνῳ τὸν αὐτὸν ἐχθρὸν ἕξειν καὶ φίλον, ἀλλὰ καὶ Ὀλυμπιάδι καὶ τοῖς βασιλεῦσιν. ὧν δικαιοτέρων φανέντων, οἱ Μακεδόνες, ἐς [2] ταῦτα ὁρκίσαντες τὸν Εὐμενῆ, τὴν πολιορκίαν ἔλυσαν, καὶ πρὸς τὸν Ἀντίγονον ἀπέστελλον, ὅπως καὶ αὐτὸς ἀποδῷ τῷ Εὐμενεῖ τὸν ὅρκον. ἐν τούτῳ δ' Εὐμενὴς ὅσους εἶχεν ἐν Νώροις τῶν Καππαδοκῶν ὁμήρους ἀπεδίδου, λαμβάνων ἵππους καὶ ὑποζύγια καὶ σκηνὰς παρὰ τῶν κομιζομένων, καὶ συνῆγε τῶν στρατιωτῶν ὅσοι διασπαρέντες ἀπὸ τῆς φυγῆς ἐπλανῶντο κατὰ τὴν χώραν· ὥστε περὶ αὐτὸν ἱππεῖς ὀλίγῳ τῶν χιλίων [3] ἀποδέοντας γενέσθαι. μεθ' ὧν ἐξελάσας ἔφυγεν, ὀρθῶς φοβηθεὶς τὸν Ἀντίγονον. οὐ γὰρ μόνον ἐκεῖνον ἐκέλευσε πολιορκεῖν αὖθις περιτειχίσαντας, ἀλλὰ καὶ τοῖς Μακεδόσι πικρῶς ἀντέγραψε, δεξαμένοις τοῦ ὅρκου [4] τὴν διόρθωσιν.

XIII. Φεύγοντι δ' Εὐμενεῖ γράμματα κομίζεται παρὰ τῶν ἐν Μακεδονίᾳ τὴν Ἀντιγόνου δεδοικότων αὔξησιν, Ὀλυμπιάδος μὲν, παρακαλούσης ἐλθόντα τὸ Ἀλεξάνδρου παιδίον παραλαβεῖν καὶ τρέφειν, ὡς ἐπιβουλευόμενον· Πολυπέρχοντος δὲ καὶ Φιλίππου τοῦ βασιλέως κελευόντων Ἀντιγόνῳ πολεμεῖν, τῆς ἐν Καππαδοκίᾳ δυνάμεως ἄρχοντα, καὶ τῶν ἐν Κυΐνδοις [5] χρημάτων πεντακόσια μὲν τάλαντα λαβεῖν εἰς τὴν τῶν ἰδίων ἐπανόρθωσιν, εἰς δὲ τὸν πόλεμον ὁπόσοις βούλεται χρῆσθαι. περὶ δὲ τούτων καὶ Ἀντιγένει καὶ Τευτάμῳ, τοῖς τῶν ἀργυρασπίδων ἡγουμένοις, ἐγεγράφεισαν. ἐπεὶ δὲ λαβόν-



1 V. ἐννοήσειν.

2 Praepositionem hanc, ut in vulgatis a concursu cum fine vocabuli Μακ. elisam, de suo addidit R.

3 Diod. Sic. habet *ultra duo millia.*

4 V. τοῦ ὄρθου.

5 Quinda, castellum Ciliciae, ubi thesauros suos Macedones habebant, & pecuniam regiam. Xyl. Apud Diodor. Sic. scribitur Κυΐνδοι. Sic & Plut. in Demetr.

βόντες ἐκεῖνοι τὰ γράμματα, τῷ μὲν λόγῳ φιλανθρώπως ἐδέξαντο τὸν Εὐμενῆ, φθόνȣ δὲ καὶ φιλονεικίας ἐφαίνοντο μεςοὶ, δευτερεύειν ἀπαξιȣ̃ντες ἐκείνῳ [1]. τὸν μὲν φθόνον ὁ Εὐμενὴς ἐθεράπευε τῷ τὰ χρήματα μὴ λαβεῖν, ὡς ȣ̓δὲν δεόμενος, ταῖς δὲ φιλονεικίαις καὶ φιλαρχίαις αὐτῶν, μήθ' ἡγεῖσθαι δυναμένων, μήθ' ἕπεσθαι βȣλομένων, ἐπῆγε [2] δεισιδαιμονίαν. ἔφη γὰρ, Ἀλέξανδρον αὐτῷ κατὰ τȣ̀ς ὕπνȣς φανῆναι, καὶ δεῖξαί τινα σκηνὴν κατεσκευασμένην βασιλικῶς, καὶ θρόνον ἐν αὐτῇ κείμενον· εἶτ' εἰπεῖν, ὡς ἐνταῦθα συνεδρεύȣσιν αὐτοῖς καὶ χρηματίζȣσιν αὐτὸς παρέςαι, καὶ συνεφάψεται [3] βȣλῆς τε πάσης καὶ πράξεως ἀρχομένοις ἀπ' αὐτȣ̃. ταῦτα ῥαδίως ἔπεισε τὸν Ἀντιγένη καὶ τὸν Τεύταμον, ȣ̓̓τ' ἐκείνων βαδίζειν βȣλομένων πρὸς αὐτὸν, ȣ̓̓τε αὐτὸς ἀξιȣ̃ν ἐπὶ θύραις ἑτέρων ὁρᾶσθαι. καὶ τιθέντες ȣ̓̓τω σκηνὴν βασιλικὴν καὶ θρόνον Ἀλεξάνδρῳ κατεπευφημισμένον [4], ἐκεῖ συνεπορεύοντο βȣλευόμενοι περὶ τῶν μεγίςων. ἐπεὶ δὲ προȣ̈̈́εσιν αὐτοῖς εἰς τὴν ἄνω χώραν ὁ Πευκέςας μετὰ τῶν ἄλλων σατραπῶν ἀπήντησε, φίλος ὢν, καὶ συνεμίξαντο τὰς δυνάμεις, πλήθει μὲν ὅπλων καὶ λαμπρότητι παρασκευῆς ἐπέῤῥωσαν τȣ̀ς Μακεδόνας, αὐτοὶ δ' ἀναγωγοὶ ταῖς ἐξȣσίαις, καὶ μαλακοὶ ταῖς διαίταις γεγονότες μετὰ τὴν Ἀλεξάνδρȣ τελευτὴν, καὶ φρονήματα τυραννικὰ καὶ τεθρυμμένα [5] βαρβαρικαῖς ἀλαζονείαις ἐπὶ ταὐτὸ συνενεγκάμενοι, πρὸς μὲν ἀλλήλȣς βαρεῖς ἦσαν καὶ

1 V. ἐκεῖνον.

2 In Junt. & Ald. ἐπεῖ γε (in Crat. arcte cohaerent, ut fit ἐπεῖγε.) Hinc R. monet, potuisse quoque effici ἐπεῖχε, cum dicatur ἐπέχειν τινὶ βακτηρίαν, cum baculum ei intentat, tenens super capite ejus.

3 Teste H. Steph. etiam legitur νῦν ἐφάψεται.

4 Sic R. de suo dedit pro vulg. καταπεφημ. Junt. Ald. Crat. κατεπεφημισμένον.

5 *fracta*, *enervata*. Sic Mos. Dus. dari voluit, deditque R. pro vulg. τεθραμμένα. Br. cogitarat de τεθηριωμένα.

καὶ δυσάρμοστοι, τοὺς δὲ Μακεδόνας κολακεύοντες ἐκκεχυμένως, καὶ καταχορηγοῦντες εἰς δεῖπνα καὶ θυσίας, ὀλίγου χρόνου τὸ στρατόπεδον ἀσωτίας πανηγυριζούσης καταγώγιον ἐποίησαν. καὶ δημαγωγούμενον ἐπὶ αἱρέσει στρατηγῶν ὄχλον, ὥσπερ ἐν ταῖς δημοκρατίαις. αἰσθόμενος δ' ὁ Εὐμενὴς αὐτοὺς ἀλλήλων μὲν καταφρονοῦντας, αὐτὸν δὲ φοβουμένους καὶ παραφυλάττοντας, ἀνελεῖν εἰ γένοιτο καιρὸς, ἐσκήψατο χρημάτων δεῖσθαι· καὶ συνεδανείσατο τάλαντα πολλὰ παρὰ τῶν μάλιστα μισούντων αὐτὸν, ἵνα καὶ πιστεύωσι, καὶ ἀπέχωνται περὶ τῶν δανείων ἀγωνιῶντες. ὥστε συνέβη τὸν ἀλλότριον πλοῦτον αὐτῷ φύλακα τοῦ σώματος ἔχειν, καὶ τῶν ἄλλων ἐπὶ σωτηρίᾳ διδόντων, μόνον ἐκ τοῦ λαβεῖν κτήσασθαι τὴν ἀσφάλειαν.

XIV. Οὐ μὴν ἀλλ' οἱ Μακεδόνες, ἀδείας μὲν οὔσης, ἐφθείροντο πρὸς τοὺς διδόντας, καὶ τὰς ἐκείνων θύρας ἐθεράπευον, δορυφορουμένων καὶ στρατηγιώντων [1]. ἐπεὶ δ' Ἀντίγονος αὐτοῖς παρεστρατοπέδευσε μετὰ πολλῆς δυνάμεως, καὶ τὰ πράγματα φωνὴν ἀφιέντα τὸν ἀληθινὸν ἐκάλει στρατηγὸν, οὐ μόνον οἱ στρατευόμενοι τῷ Εὐμενεῖ προσεῖχον, ἀλλὰ καὶ τῶν ἐν εἰρήνῃ καὶ τρυφῇ μεγάλων ἐκείνων ἕκαστος ἐνέδωκε, καὶ παρεῖχεν ἑαυτὸν σιωπῇ τὴν δοθεῖσαν φυλάττοντα τάξιν. καὶ γάρ τοι περὶ τὸν Πασιτίγριν [2] ποταμὸν ἐπιχειρήσαντα διαβαίνειν τὸν Ἀντίγονον, οἱ μὲν ἄλλοι παραφυλάττοντες οὐδ' ᾔσθοντο, μόνος δ' Εὐμενὴς ὑπέστη, καὶ συνάψας μάχην, πολλοὺς μὲν κατέβαλε, καὶ νεκρῶν ἐνέπλησε τὸ ῥεῖθρον, ἔλαβε δὲ τετρακισχιλίους αἰχμαλώτους. μάλιστα δ' οἱ Μακεδό-

1 Suspectus hic locus videtur Mosi Dnsoni. R. omnia bene habere monet. στρατηγιᾷν, eo docente, est *affectare*, *ad se raptare imperium militare.*

2 V. Πατισίγριν. Duo sunt ejus nominis flumina. Cellario docente h. l. intelligendus est Persicus, s. is, qui in Persicum sinum infunditur.

κεδόνες περὶ τὴν συμβᾶσαν ἀῤῥωςίαν αὐτῷ καταφανεῖς ἐγίνοντο, τὰς μὲν ἄλλας ἑςιᾷν λαμπρῶς καὶ πανηγυρίζειν, ἄρχειν δὲ καὶ πολεμεῖν δυνατὸν ἡγέμενοι μόνον ἐκεῖνον. ὁ μὲν γὰρ Πευκέςας ἐν τῇ Περσικῇ [1] λαμπρῶς αὐτὰς ἑςιάσας, καὶ κατ' ἄνδρα διαδὰς ἱερεῖον εἰς θυσίαν, ἤλπιζεν εἶναι μέγιςος· ὀλίγαις δ' ὕςερον ἡμέραις τῶν ςρατιωτῶν ἐπὶ τὰς πολεμίας βαδιζόντων, ἐτύγχανεν ὁ Εὐμενὴς, ἐκ νόσε τινὸς ἐπισφαλᾶς, ἐν φορείῳ κομιζόμενος ἔξω [2] τᾶ ςρατεύματος ἐν ἡσυχίᾳ διὰ τὰς ἀγρυπνίας. μικρὸν δὲ προελθᾶσιν αὐτοῖς ἄφνω λόφας τινὰς ὑπερβαλόντες ἐξεφάνησαν οἱ πολέμιοι, καταβαίνοντες εἰς τὸ πεδίον. ὡς ἦν αἵ τε τῶν χρυσῶν ὅπλων αὐγαὶ πρὸς τὸν ἥλιον ἐξέλαμψαν ἀπὸ τῶν ἄκρων τᾶ ἀγήματος ἐν τάξει πορευομένων [3], καὶ τῶν θηρίων τὰς πύργας ἄνω καὶ τὰς πορφύρας εἶδον, ὅσπερ ἦν αὐτοῖς κόσμος εἰς μάχην ἀγομένοις, ἐπιςήσαντες οἱ πρῶτοι τὴν πορείαν, ἐβόων Εὐμενῆ καλεῖν πρὸς αὐτάς [4]. ὰ γὰρ ἂν προελθεῖν, ἐκείνα μὴ ςρατηγᾶντος. καὶ τὰ ὅπλα πρὸς τὴν γῆν ἐρείσαντες, ἀλλήλοις μένειν διεκελεύοντο, καὶ τοῖς ἡγεμόσιν ἡσυχίαν ἔχειν, καὶ χωρὶς Εὐμενᾶς μὴ μάχεσθαι, μηδὲ κινδυνεύειν πρὸς τὰς πολεμίας. ἀκάσας δ' ὁ Εὐμενὴς, ἧκε πρὸς αὐτὰς δρόμῳ, τὰς κομίζοντας

1 R. quaerit, num Περσίδι.

2 i. e. ὄπισθεν, *pone castra*. R.

3 Pluralis participii bene cohaeret cum fingulari ἀγήματος, ut nomine collectivo.

4 Praepositionem de suo addidit R. Vulgo καλεῖν αὐτὰς — *vociferabantur, irent ocyus, qui Eumenem ad se arcesserent.* Idem quoque suspicabatur ἄγειν (vel κοσμεῖν) aut ἄγειν αὐτὰς. H. Steph. rectius scribi censuit cum quibusdem Codd. αὐτοῖς, vel αὐτοῖς *sibi*, ita interpretando: *vociferantes Eumenem sibi vocari jubebant.* Annon quoque αὐτὰς suo loco motum videri posset, ut sit: ἐβόων Εὐμ. καλεῖν'ὰ γάρ ἂν προελθεῖν αὐτὰς? — Est alioqui, H. Steph. notante, hoc verbum cum infinitivo pro *jubere clamando*, vel *poscere*, *cum clamore jubere*, seu *flagitare*.

ζοντας ἐπιταχύνας, καὶ τοῦ φορείου τὰς ἑκατέρωθεν αὐλαίας ἀνακαλύψας, προὔτεινε τὴν δεξιὰν γεγηθώς. οἱ δ' ὡς εἶδον, εὐθὺς ἀσπασάμενοι Μακεδονιστὶ τῇ φωνῇ, τάς τ' ἀσπίδας ἀνείλοντο, καὶ ταῖς σαρίσσαις ἐπιδουπήσαντες, ἠλάλαξαν, προκαλούμενοι τοὺς πολεμίους, ὡς τοῦ ἡγεμόνος αὐτοῖς παρόντος.

XV. Ἀντίγονος δὲ, παρὰ τῶν ἁλισκομένων ἀκούων τὸν Εὐμενῆ νοσεῖν καὶ κομίζεσθαι κακῶς διακείμενον, οὐ μέγα ἔργον ἡγεῖτο συντρίψαι τοὺς ἄλλους, ἐκείνου νοσοῦντος. διὸ καὶ σπεύδων ἐπὶ τὴν μάχην προῆγεν [1]. ὡς δὲ τῶν πολεμίων εἰς τάξιν καθισταμένων παρελάσας κατεῖδε τὸ σχῆμα καὶ τὴν διακόσμησιν, ἐκπλαγεὶς ἐπέστη πλείω χρόνον· εἶτ' ὤφθη τὸ φορεῖον ἀπὸ θατέρου κέρως ἐπὶ θάτερον διαφερόμενον. γελάσας οὖν ὁ Ἀντίγονος, ὥσπερ εἰώθει, μέγα, καὶ πρὸς τοὺς φίλους εἰπών· Τοῦτ' ἦν τὸ φορεῖον, ὡς ἔοικε, τὸ ἀντιπαραταττόμενον ἡμῖν, εὐθὺς ἀπῆγε τὴν δύναμιν ὀπίσω, καὶ κατεστρατοπέδευσεν. οἱ δὲ μικρὸν ἀναπνεύσαντες, αὖθις ἐδημαγωγοῦντο, καὶ τοῖς ἡγεμόσιν ἐντρυφῶντες, σχεδὸν ὅλην εἰς τὰ χειμάδια κατενείμαντο τὴν Γαβηνῶν· ὥστε τοὺς ἐσχάτους τῶν πρώτων ἀποσκηνοῦν ὁμοῦ τι χιλίους σταδίους [2]. ταῦτα γνοὺς ὁ Ἀντίγονος, ὥρμησεν ἐξαίφνης ἐπ' αὐτοὺς ὑποστρέψας, χαλεπὴν ὁδὸν καὶ ἄνυδρον, σύντομον δὲ καὶ ταχεῖαν [3]. ἐλπίζων, εἰ διεσπαρμένοις ἐπιπέσοι περὶ τὰ χειμάδια, μηδ' ἂν συνελθεῖν ἔτι τὸ πλῆθος ῥᾳδίως εἰς ταὐτὸ τοῖς στρατηγοῖς. ἐμβαλόντι δ' εἰς γῆν ἀοίκητον αὐτῷ, πνεύματά τε δεινὰ καὶ κρύη μεγάλα διελυμαίνετο τὴν πορείαν, ἐνοχλουμένου τοῦ στρατεύματος. ἦν οὖν ἀναγκαία βοήθεια, πυρὰ πολλὰ καίειν. ὅθεν οὐκ ἔλαθε τοὺς πολεμίους, ἀλλὰ τῶν βαρβάρων οἱ τὰ βλέποντα πρὸς τὴν

1 Sic R. de suo dedit pro vulg. προσῆγεν.

2 Diod. Sic. ὁδὸν ἡμερῶν ἕξ. Br.

3 Sic R. de suo dedit pro vulg. τραχεῖαν. Dacer. correxit βραχεῖαν, quod Br. probavit.

τὴν ἀοίκητον ὄρη νεμόμενοι, θαυμάσαντες τὸ τῶν πυρῶν πλῆθος, ἔπεμψαν ἱππαςρίαις [1] καμήλοις ἀγγέλες πρὸς Πευκέςαν. ὁ δ' ὡς ἤκεσεν, αὐτός τε παντάπασιν ἔκφρων ὑπὸ δέες γενόμενος, καὶ τὲς ἄλλες ὁρῶν ὁμοίως ἔχοντας, ὥρμητο φεύγειν, ἀνας ήσας τὲς καθ' ὁδὸν ὄντας αὐτοῖς μάλιςα τῶν ςρατιωτῶν. Εὐμενὴς δὲ τὴν ταραχὴν ἀφῄρει καὶ τὸν φόβον, ὑπιχνέμενος ἐπιςήσειν τῶν πολεμίων τὸ τάχος, ὥςε τρισὶν [2] ὕςερον ἡμέραις, ἢ προσδοκῶνται, παραγενέθαι. πειθέντων δ' αὐτῶν, ἅμα μὲν ἀγγέλες περιέπεμπε, τὰς δυνάμεις ἐκ τῶν χειμαδίων καὶ τὲς ἄλλες ἀθροίζεθαι κατὰ τάχος κελεύων· ἅμα δ' αὐτὸς ἐξιππασάμενος μετὰ τῶν ἄλλων ἡγεμόνων, καὶ τόπον ἐξ ἀπόπτε [καταφανῆ [3]] τοῖς ὁδεύεσι τὴν ἔρημον περιβαλόμενος, καὶ διαμετρήσας, ἐκέλευε πυρὰ πολλὰ καίειν ἐν διαςήμασιν, ὥσπερ οἱ ςρατοπεδεύοντες. γενομένε [4] δὲ τέτε, καὶ τῶν πυρῶν τοῖς περὶ Ἀντίγονον, ἐκ τῆς ὀρεινῆς καταφανέντων, ἄχος ἔχε καὶ δυσθυμία τὸν Ἀντίγονον, οἰόμενον ἠθημένες ἔκπαλαι τὲς πολεμίες ἀπαντᾷν. ἵν' ἒν μὴ κατάκοπος καὶ τετρυμένος ἐκ πορείας ἀναγκάζηται μάχεθαι πρὸς ἀνθρώπες ἑτοίμες καὶ καλῶς κεχειμακότας, προέμενος τὴν σύντομον, ἦγε διὰ κωμῶν καὶ πόλεων, καθ' ἡσυχίαν ἀναλαμβάνων τὸ ςράτευμα. μηδενὸς δ' ἐμποδὼν ὄντος, ὥσπερ εἰώθεν, ἀντικαθημένων πολεμίων, τῶν δὲ περιχώρων λεγόντων, ςρά-

1 Vulgo ex Ald. datum fuit ἱσπαςρίαις. Cum Junt. R. dedit ἱππαςρίαις. V. ἱππατρίας. Anon. ἱππατρίαις, ἱππαςρίαις. Poſterius hoc Mur. quoque exhibet; prius voluit H. Steph. locumque ex Alex. affert, ubi ἐκφυγὼν — ἐπὶ καμήλε δρομάδος legitur, ut de iisdem intelligatur hic eſſe ſermonem. Dacer. ſuſp. ſub hac voce latere appellationem aliquam loci, ex quo optimi hujus generis cameli oriundi eſſent.

2 Diod. Sic. *tribus quatuorve*; Nepos *quinque.*

3 R. hanc vocem, ut ſcholium dictionis ἐξ ἀπόπτε, uncis incluſit, eam expungendam cenſens. Idem dedit ſeq. περιβαλόμενος de ſuo pro vulg. περιβαλλόμενος.

4 Sic R. de ſuo dedit pro vulg. γινομένε.

ςράτευμα μηδὲν ὦφθαι, πυρῶν δὲ κεκαυμένων μεςὸν εἶναι τὸν τόπον, ἤσθετο κατεςρατηγημένος ὑπ' Εὐμενȣ̃ς, καὶ βαρέως φέρων προῆγεν [1], ὡς φανερᾷ μάχῃ κριθησόμενος.

XVI. Ἐν τȣ́τῳ δὲ τῆς δυνάμεως περὶ τὸν Εὐμενῆ τὸ πλεῖςον ἠθροισμένον ἐθαύμαζε τὴν σύνεσιν αὐτȣ̃, καὶ μόνον ἐκέλευεν ἄρχειν, ἐφ' ᾧ λυπȣ́μενοι καὶ φθονȣ̃ντες οἱ τῶν ἀργυρασπίδων ἡγεμόνες, Ἀντιγένης καὶ Τεύταμος, ἐπεβȣ́λευον αὐτῷ· καὶ τȣ̀ς πλείςȣς τῶν τε σατραπῶν καὶ τῶν ςρατηγῶν συναγαγόντες, ἐβȣλεύοντο, πότε χρὴ καὶ πῶς τὸν Εὐμενῆ διαφθεῖραι. συνδόξαν δὲ πᾶσιν ἀποχρήσασθαι πρὸς τὴν μάχην αὐτῷ μετὰ δὲ τὴν μάχην εὐθὺς ἀνελεῖν, Εὔδαμος [2], ὁ τῶν ἐλεφάντων ἡγεμὼν, καὶ Φαίδιμος ἐξαγγέλλȣσι κρύφα τῷ Εὐμενεῖ τὰ δεδογμένα, δι' εὔνοιαν μὲν ȣ̓δεμίαν, ἢ χάριν, εὐλαβȣ́μενοι δὲ, μὴ τῶν χρημάτων, ἃ δεδανείκεσαν αὐτῷ, ςερηθῶσιν. Εὐμενὴς δὲ τȣ́τȣς μὲν ἐπῄνεσεν, εἰς δὲ τὴν σκηνὴν ἀπελθὼν, καὶ πρὸς τȣ̀ς φίλȣς εἰπὼν, ὡς ἐν πανηγύρει θηρίων ἀναςρέφοιτο, διαθήκας ἔγραψε· καὶ τὰ γραμματεῖα κατέσχισε καὶ διέφθειρεν, ȣ̓ βȣλόμενος, αὐτȣ̃ τελευτήσαντος, ἐκ τῶν ἀποῤῥήτων αἰτίας καὶ συκοφαντήματα τοῖς γράψασι γενέσθαι. ταῦτα διοικησάμενος, ἐβȣλεύετο τὴν νίκην παρεῖναι [3] τοῖς ἐναντίοις,

1 Sic iterum R. de ſuo pro vulg. προσῆγεν.

2 Junt. ſola poſt h. v. addit δ'. Hinc Br. ſuſp. dare eam voluiſſe θ'.

3 Sic ſcriptam cum ſpiritu aſpero R. dedit hanc vocem, ut ſit aor. 2. inf. a verbo παρίημι, *transmittere, concedere, ſibi elabi pati*, pao παρεῖναι, ut vulgo datur, pro quo Moſ. Duſ. παριέναι legendum cenſuit. Equidem Reiskii, a more recepto recedendi & proprii quid condendi ſtudium, quod ex hac correctione ſatis apparet, non poſſum non mirari. An παρεῖναι, ſi ſic ſcripſeris, non poteſt eſſe, quod eſt ejus παριέναι? Tot adſunt exempla, hujus verbi compoſiti in aor. 2. per alios modos ubique obvia, ut ejus quoque uſus in infin. a nemine in dubium vocari queat.

τίοις, ἢ Φυγὼν διὰ Μηδίας καὶ Ἀρμενίας ἐμβαλεῖν εἰς Καππαδοκίαν. ἐδὲν δὲ κυρώσας, τῶν Φίλων παρόντων, ἀλλ' ἐπὶ πολλὰ τῇ γνώμῃ πολυτρόπῳ παρὰ τὰς τύχας ἔσῃ κινήσας [1] αὐτὸν, ἐξέτατ]ε τὴν δύναμιν, τὲς μὲν Ἕλληνας καὶ τὲς βαρβάρες παρορμῶν, ὑπὸ δὲ τῆς Φάλαγγος καὶ τῶν ἀργυρασπίδων αὐτὸς παρακαλέμενος θαῤῥεῖν, ὡς ἐ δεξομένων τῶν πολεμίων. καὶ γὰρ ἦσαν οἱ πρεσβύτατοι τῶν περὶ Φίλιππον καὶ Ἀλέξανδρον, ὥσπερ ἀθληταὶ πολέμων ἀήτ]ητοι καὶ ἀπ]ῶτες εἰς ἐκεῖνο χρόνε, πολλοὶ μὲν ἑβδομήκον]α ἔτη γεγονότες, νεώτερος δ' ἐδεὶς ἑξηκονταετὲς. διὸ καὶ τοῖς περὶ τὸν Ἀντίγονον ἐπιόντες ἐβόων· Ἐπὶ τὲς πατέρας ἁμαρτάνετε, ὦ κακαὶ κεφαλαί. καὶ μετ' ὀργῆς ἐμπεσόντες ὅλην ὁμὲ τὴν Φάλαγγα συνέτριψαν, ἐδενὸς ὑποςάντος αὐτὲς, τῶν δὲ πλείςων ἐν χερσὶ διαφθαρέντων. ταύτῃ μὲν ἐν ὁ Ἀντίγονος ἡτ]ᾶτο κατὰ κράτος, τοῖς δ' ἱππεῦσιν ἐπεκράτει. τὲ [δὲ [2]] Πευκέςε παντάπασιν ἐκλελυμένως καὶ ἀγεννῶς ἀγωνισαμένε, καὶ τὴν ἀποσκευὴν ἔλαβε πᾶσαν· αὐτῷ τε νήφοντι χρησάμενος παρὰ τὰ δεινὰ, καὶ τὲ τόπε συνεργὲντος. ἀχανὲς γὰρ ἦν τὸ πεδίον, ἔτε βαθύτερον [3], ἔτ' ἀπόκροτον καὶ ςερεὸν, ἀλλὰ θινῶδες, καὶ μεςὸν ἁλμυρίδος αὐχμηρᾶς, ἣ τοσέτων μὲν ἵππων, τοσέτων δ' ἀνθρώπων ξαινομένη δρόμοις ὑπὸ τὸν τῆς μάχης καιρὸν ἐξήνθει κόνιν, ὥσπερ ἄσβεςον, ἀπολευκαίνεσαν τὸν ἀέρα καὶ τὰς ὄψεις διαθολὲσαν. ᾗ καὶ ῥᾴδιον λαθὼν ὁ Ἀντίγονος τῆς ἀποσκευῆς τῶν πολεμίων ἐκράτησεν.

XVII.

1 Xyl. malebat, quod in Anon. reperitur, νικήσας. At Mos. Duf. quaerit, quid tunc sit, ad quos ἐπὶ πολλὰ referatur.

2 R. δὲ, ut delendum, uncis inclusit. Sic tamen praecedens punctum cum commate mutetur, necesse est.

3 V. βαρύτερον. R. susp. βαθύγεων, cujus gleba esset pinguis, limosa, & uda, vestigio cedens.

XVII. Παυσαμένης δὲ τῆς μάχης, εὐθὺς οἱ περὶ τὸν Τεύταμον ἐπρεσβεύοντο περὶ τῆς ἀποσκευῆς. Ἀντιγόνȣ δὲ καὶ ταύτην ἀντιδώσειν ὑπισχνȣμένȣ τοῖς ἀργυράσπισι, καὶ τἄλλα χρήσεσθαι φιλανθρώπως, εἰ παραλάβοι τὸν Εὐμενῆ, βȣ́λευμα δεινὸν οἱ ἀργυράσπιδες ἐβȣλεύσαντο, ἐγχειρίσαι ζῶντα τοῖς πολεμίοις τὸν ἄνδρα. καὶ πρῶτον μὲν ἀνυπόπτως προσεπέλαζον αὐτῷ, καὶ παρεφύλαττον, οἱ μὲν ἀποδυρόμενοι περὶ τῆς ἀποσκευῆς, οἱ δὲ θαῤῥεῖν, ὡς νενικηκότα, κελεύοντες, οἱ δὲ τῶν ἄλλων ἡγεμόνων κατηγορȣ̃ντες. ἔπειτα προσπεσόντες ἐξήρπασαν τὸ ἐγχειρίδιον αὐτȣ̃, καὶ τῇ ζώνῃ τὰς χεῖρας ἀποστρέψαντες ἔδησαν. ἐπεὶ δ' ὑπ' Ἀντιγόνȣ Νικάνωρ ἐπέμφθη παραληψόμενος αὐτὸν, ἐδεῖτο λόγȣ τυχεῖν ἀγόμενος διὰ τῶν Μακεδόνων, ȣ̓κ εἰς δέησιν, ἢ παραίτησιν, ἀλλ' ὡς περὶ τῶν ἐκείνοις συμφερόντων διαλεξόμενος. γενομένης δὲ σιωπῆς, ἐν ὑψηλῷ τινι καταστὰς, καὶ τὰς χεῖρας δεδεμένας προτείνας [1]. Ποῖον, εἶπεν, ὦ κάκιστοι Μακεδόνων, τρόπαιον Ἀντίγονος ἐθελήσας ἂν ἔστησε [2] καθ' ὑμῶν, οἷον ὑμεῖς καθ' αὐτῶν

1 De abſurdo hujus loci monet Dacerius, putatque excidiſſe verba aliquot, quibus laxata fuiſſe vincula dictum eſſet. Cf. Juſtin. XIV, 4. At Moſi Duſoul, cum poſt terga revinctæ manus fuiſſent, *vincula laxare* non ſufficere videtur, ut dici poſſit προτείνας. Idem, nec demta, nec laxata vincula fuiſſe arbitratur: ſed dicere incipientem Eumenem, brachia, ut fit, eodem modo moviſſe, quo, ſi liberae manus fuiſſent, ad eos tetendiſſet. R. ſe non videre fatetur, quo pacto repugnantia, quae huic loco inſit, conciliari poſſit, cum antea dixerit Plut. ἀποστρέψαντες, *cum retro*, *pone tergus*, *reduxiſſent manus*, *manibus retortis*, jam autem dicat, Eumenem manus nexas protendiſſe. Aretin. prius vertit: reflexa in manus Zona; Noſtrates autem laxius: und banden ihm ſeine Hände mit ſeinem eigenen Gürtel.

2 Sic duobus vocabulis R. dedit, quod vulgo legitur uno ἀνέστησε. Idem ſeq. ὑμῶν in textum recepit, quod vertit Cruſerius & Aretinus, probavitque Moſ. Duſ. pro vulg. ἡμῶν.

αὐτῶν ἀνίϛατε, τὸν ϛρατηγὸν αἰχμάλωτον ἐκδιδόντες; ἐκ ἄρα δεινὸν ἦν, κρατȣ͂ντας ὑμᾶς ἧτταν ἐξομολογεῖσθαι διὰ τὰς ἀποσκευὰς, ὡς ἐν τοῖς χρήμασιν, ἐκ ἐν τοῖς ὅπλοις τȣ͂ κρατεῖν ὄντος· ἀλλὰ καὶ τὸν ἡγεμόνα πέμπετε λύτρον τῆς ἀποσκευῆς. ἐγὼ μὲν ἐν ἀήττητος ἄγομαι, νικῶν τὲς πολεμίες, ὑπὸ τῶν συμμάχων ἀπολλύμενος· ὑμεῖς δὲ, πρὸς Διὸς ϛρατίȣ καὶ θεῶν ὁρκίων, ἐνταῦθά με δι' αὐτῶν κτείνατε. πάντως κἀκεῖ κτεινόμενος, ὑμέτερον ἔργον εἰμί. μέμψεται δ' ἐδὲν Ἀντίγονος· νεκρȣ͂ γὰρ Εὐμενȣ͂ς δεῖται, καὶ ἐ ζῶντος. εἰ δὲ Φείδεσθε τῶν χειρῶν, ἀρκέσει τῶν ἐμῶν ἡ ἑτέρα λυθεῖσα πρᾶξαι τὸ ἔργον. εἰ δ' πιϛεύετέ μοι ξίφος, ὑποῤῥίψατε τοῖς θηρίοις δεδεμένον. καὶ ταῦτα πράξαντας[1] ὑμᾶς ἀφίημι τῆς ἐπ' ἐμοὶ δίκης, ὡς ἄνδρας ὁσιωτάτες καὶ δικαιοτάτες περὶ τὸν αὐτῶν ϛρατηγὸν γενομένες.

XVIII. Ταῦτα τȣ͂ Εὐμενȣ͂ς λέγοντος, τὸ μὲν ἄλλο πλῆθος ἄχει[2] κατείχετο καὶ κλαυθμὸς ἦν, οἱ δ' ἀργυράσπιδες ἄγειν ἐβόων, καὶ μὴ Φλυαρȣ͂ντι προσέχειν· ἐ γὰρ εἶναι δεινὸν, εἰ Χεῤῥονησίτης ὄλεθρος οἰμώξεται μυρίοις γυμνάσας πολέμοις Μακεδόνας, ἀλλ' εἰ τῶν Ἀλεξάνδρȣ καὶ Φιλίππȣ ϛρατιωτῶν οἱ κράτιϛοι τοσαῦτα καμόντες[3] ἐν γήρᾳ ϛέρονται τῶν ἐπάθλων, καὶ τροφὴν παρ' ἑτέρων λαμβάνȣσιν, αἱ δὲ γυναῖκες αὐτῶν ἤδη τρίτην νύκτα τοῖς πολεμίοις συγκαθεύδȣσιν. ἅμα δ' ἦγον αὐτὸν ἐπιταχύνοντες. Ἀντίγονος δὲ δείσας τὸν ὄχλον (ἀπελείφθη γὰρ ἐδεὶς ἐν τῷ[4] ϛρατοπέδῳ) δέκα τὲς κρατιϛεύοντας ἐλεφάντας ἐξέπεμψε, καὶ λογχοφόρȣς συχνὲς, Μήδȣς καὶ Παρθυαίȣς, διακρȣσομένȣς

1 V. πράξας.

2 Sic legi voluit Mof. Duf. deditque R. pro vulg. ἄχθει.

3 V. κάμνοντες.

4 Hunc articulum e Junt. & Ald. fe reftituiffe monet R. Sola Br. eum omifit.

μένες τὸ πλῆθος. εἶτ' αὐτὸς μὲν ἰδεῖν ἐκ ὑπέμεινε τὸν Εὐμενῆ διὰ τὴν προγεγενημένην φιλίαν καὶ συνήθειαν· πυνθανομένων δὲ τῶν παρειληφότων τὸ σῶμα, πῶς φυλάξεσιν· Οὕτως, εἶπεν, ὡς ἐλέφαντα, ἢ [1] ὡς λέοντα. μετὰ μικρὸν δὲ συμπαθὴς γενόμενος [2], τῶν τε δεσμῶν τὰς βαρεῖς ἐκέλευσεν ἀφελεῖν, καὶ παῖδα παραδέξαθαι τῶν συνήθων, ὅπως ἀλείψαιτο· καὶ τῶν φίλων ἐφῆκε [3] τῷ βελομένῳ συνδιημερεύειν, καὶ κομίζειν τὰ ἐπιτήδεια. βελευόμενος δὲ περὶ αὐτε πλείονας ἡμέρας, προσήγετο καὶ λόγες καὶ ὑποσχέσεις [4] Νεάρχε τε τε Κρητὸς καὶ Δημητρίε τε υἱε, φιλοτιμεμένων τὸν Εὐμενῆ σῶσαι, τῶν δ' ἄλλων ὁμε τι πάντων ἐνισαμένων καὶ κελευόντων ἀναιρεῖν. λέγεται δὲ, τὸν Εὐμενῆ τε φυλάσσοντος αὐτὸν, Ὀνομάρχε, πυθέσθαι, τί δήποτ' Ἀντίγονος ἐχθρὸν ἄνδρα καὶ πολέμιον λαβὼν ὑποχείριον, ἔτ' ἀποκτίννυσι ταχέως, ἔτ' εὐγενῶς ἀφίησι; τε δ' Ὀνομάρχε πρὸς ὕβριν εἰπόντος, ὡς ἐ νῦν, ἀλλ' ἐπὶ τῆς μάχης, ἔδει πρὸς θάνατον ἔχειν εὐθαρσῶς· Καὶ μὰ τὸν Δία, φάναι τὸν Εὐμενῆ, καὶ τότ' εἶχον. ἐρε δὲ τὰς εἰς χεῖρας ἐλθόντας· ἀλλ' ἐδενὶ κρείττονι προστυχὼν οἶδα· καὶ τὸν Ὀνόμαρχον· Οὐκεν ἐπεὶ νῦν, φάναι, τὸν κρείττονα εὕρηκας, τί ἐκ ἀναμένεις τὸν ἐκείνε καιρόν;



1 deest ἢ Junt. Ald. Crat.

2 Anon. γενομένῳ.

3 Junt. sola ἀφῆκεν,

4 R. mavult aut προσίετο λόγες καὶ ὑποσχέσεις, *admittebat excusationes atque sponsiones Nearchi atque Demetrii*; aut προήγετο λόγοις καὶ ὑποσχέσεσι, *produci, extrahi se patiebatur*; aut sic προήγετο, λόγες ἀκέων καὶ ὑποσχέσεις. Cornelio auctore, septem sibi ad deliberandum dies assumsit Antigonus. An Nearchus, de quo hic sermo, idem sit, qui classi sub Alexandro praefuerat, dubitat Moses Dusoul, quia iste nusquam Cretensis appelletur, uti hoc loco.

XIX. Ὡς δ' οὖν ἔδοξε τῷ Ἀντιγόνῳ τὸν Εὐμενῆ κτείνειν, ἐκέλευσεν αὐτοῦ τὴν τροφὴν ἀφελεῖν. καὶ δύο μὲν ἡμέρας, ἢ τρεῖς, ἄσιτος οὕτω προσήγετο πρὸς τὴν τελευτήν. αἰφνίδιον δ' ἀναζυγῆς γενομένης, εἰσπέμψαντες ἄνθρωπον, ἀποσφάττουσιν αὐτόν. τὸ δὲ σῶμα τοῖς φίλοις [1] παραδοὺς ὁ Ἀντίγονος, ἐπέτρεψε καῦσαι, καὶ τὰ λείψανα συνθέντας εἰς ἀργυρᾶν ὑδρίαν, κομίζειν ἀποδοθησόμενα τῇ γυναικὶ καὶ τοῖς παισίν. οὕτω δ' ἀποθανόντος Εὐμενοῦς, οὐκ ἐπ' ἄλλῳ τινὶ τὴν τιμωρίαν ἐποιήσατο τῶν προδόντων αὐτὸν ἡγεμόνων καὶ στρατιωτῶν τὸ δαιμόνιον, ἀλλ' αὐτὸς Ἀντίγονος προσβαλλόμενος ὡς ἀσεβεῖς καὶ θηριώδεις τοὺς ἀργυράσπιδας, παρέδωκεν Ἰβυρτίῳ [2], τῷ διοικοῦντι τὴν Ἀραχωσίαν, πάντα τρόπον ἐκτρίψαι καὶ καταφθεῖραι κελεύσας, ὅπως μηδεὶς αὐτῶν εἰς Μακεδονίαν ἄπεισι, μηδ' ὄψεται τὴν Ἑλληνικὴν θάλατταν.

# COMPARATIO SERTORII CVM EVMENE.

Ταῦτ' ἐστιν, ἃ περὶ Εὐμενοῦς καὶ Σερτωρίου μνήμης ἄξια παρειλήφαμεν. ἐν δὲ τῇ συγκρίσει κοινὸν μὲν ἀμφοτέροις ὑπάρχει τὸ ξένους καὶ ἀλλοδαποὺς καὶ φυγάδας ὄντας, ἐθνῶν τε παντοδαπῶν, καὶ στρατευμάτων μαχίμων τε καὶ μεγάλων δυνάμεων ἡγουμένους διατελεῖν. ἴδιον δὲ Σερτωρίῳ μὲν τὸ παρὰ πάντων τῶν συμμάχων δεδομένην ἔχειν διὰ τὸ ἀξίωμα τὴν ἀρχήν· Εὐμενεῖ δὲ τὸ, πολλῶν διαφερομένων περὶ τῆς ἡγεμονίας πρὸς αὐτὸν, ἐκ τῶν πράξεων λαμβάνειν τὸ πρωτεῖον·

1 V. τοῖς τέκνοις.

2 Diod. Sic. Σιβυρτίῳ & Σιβυρτίῳ. Apud Polyaenum Σιγυρτίῳ editum eſt; ſed Ἰγυρτίῳ etiam in Codd. aliquot ſcriptum eſſe a Caſaubono obſervatum eſt.

τεῖον· καὶ τῷ μὲν ἄρχεσθαι βουλόμενοι δικαίως εἵποντο, τῷ δ' ἄρχειν μὴ δυνάμενοι, πρὸς τὸ συμφέρον ὑπήκουον. καὶ γὰρ ὁ μὲν Ἰβήρων καὶ Λυσιτανῶν Ῥωμαῖος, ὁ δὲ Χεῤῥονησίτης Μακεδόνων ἦρχεν· ὧν οἱ μὲν ἔκπαλαι Ῥωμαίοις ἐδούλευον, οἱ δὲ τότε πάντας ἀνθρώπους ἐδουλοῦντο. καὶ Σερτώριος μὲν ἀπὸ βουλῆς [1] καὶ στρατηγίας θαυμαζόμενος, Εὐμενὴς δὲ διὰ τὴν γραμματείαν καταφρονούμενος ἐφ' ἡγεμονίαν προῆλθεν. οὐ μόνον τοίνυν [2] ἐλάττοσι πρὸς τὴν ἀρχὴν ἀφορμαῖς, ἀλλὰ καὶ μείζοσι πρὸς τὴν αὔξησιν ἐχρήσατο κωλύμασιν Εὐμενής. καὶ γὰρ ἄντικρυς τοὺς ἐνισταμένους, καὶ κρύφα τοὺς ἐπιβουλεύοντας εἶχε πολλούς· οὐχ ὥσπερ τῷ ἑτέρῳ φανερῶς μὲν οὐδείς, λάθρα δὲ ὕστερον καὶ ὀλίγοι τῶν συμμάχων ἐπανέστησαν. διὸ τῷ μὲν ἦν πέρας τοῦ κινδυνεύειν τὸ νικᾷν τοὺς πολεμίους· τῷ δ' ἐκ τοῦ νικᾷν ὁ κίνδυνος ἀπὸ [3] τῶν φθονούντων.

II. Τὰ μὲν οὖν κατὰ τὴν στρατηγίαν [4] ἐφάμιλλα καὶ παράλληλα, τῷ δ' ἄλλῳ τρόπῳ φιλοπόλεμος μὲν ὁ Εὐμενὴς καὶ φιλόνεικος, ἡσυχίας δὲ καὶ πρᾳότητος οἰκεῖος ὁ Σερτώριος. ὁ μὲν γὰρ, ἀσφαλῶς καὶ μετὰ τιμῆς βιοῦν ἐξὸν, ἐκποδὼν γενόμενος [5], τοῖς πρώτοις μαχόμενος καὶ κινδυνεύων διετέλεσε· τῷ δ' οὐδὲν δεομένῳ πραγμάτων ὑπὲρ αὐτῆς τῆς τοῦ σώματος ἀσφαλείας πρὸς οὐκ ἐῶντας εἰρήνην ἄγειν ἦν ὁ πόλεμος. Εὐμενεῖ μὲν γὰρ Ἀντίγονος, ἐκστάντι τῶν ὑπὲρ τοῦ πρωτεύειν ἀγώ-



1 i. e. τάξεως βουλευτικῆς. στρατηγίας est *honos praetorius*.

2 Sic R. de suo dedit. pro vulg. ταῖς νῦν. Eodem monente, ἀρχὴ h. l. non est principatus, sed *principium*, *exordium*, cum opponatur τῇ αὐξήσει, *incremento*.

3 Sic R. de suo dedit pro vulg. ὑπό.

4 Sic R. de suo dedit pro vulg. στρατείαν.

5 Mur. γενομένῳ, quod Mos. Dus. probat, ut referatur ad ἐξόν. R. tamen nominativus videtur recte habere, tametsi neque dativus neque accusativus male conveniret. Pro seq. μαχόμενος V. μαχομένοις.

ἀγώνων, ἡδέως ἂν ἐχρῆτο τὴν μετ' αὐτὸν ἀγαπῶντι τάξιν· Σερτωρίῳ δὲ οἱ περὶ Πομπήϊον ὐδὲ ζῆν ἀπραγμόνως ἐπέτρεπον. διὸ τῷ μὲν ἑκόντι [1] συνέβαινε πολεμεῖν ἐπ' ἀρχῇ, τῷ δ' ἀκυσίως ἄρχειν διὰ τὸ πολεμεῖσθαι. Φιλοπόλεμος μὲν ὖν ὁ τῆς ἀσφαλείας τὴν πλεονεξίαν προτιμῶν· πολεμικὸς δὲ ὁ τῷ πολέμῳ κτώμενος τὴν ἀσφάλειαν. καὶ μὴν ἀποθανεῖν [2] γε συνέβη τῷ μὲν ὐ προαισθομένῳ· τῷ δὲ καὶ προσδεχομένῳ τὴν τελευτήν. ὧν τὸ μὲν ἐπιεικείας· φίλοις γὰρ ἐδόκει πιστεύειν· τὸ δ' ἀσθενείας· βυλόμενος γὰρ φυγεῖν, συνελήφθη. καὶ τῦ μὲν ὐ κατήσχυνε τὸν βίον ὁ θάνατος, πάσχοντος ὑπὸ τῶν συμμάχων, ἃ τῶν πολεμίων αὐτὸν ὐδεὶς ἐποίησεν· ὁ δὲ, φεύγειν μὲν πρὸ αἰχμαλωσίας μὴ δυνηθεὶς, ζῆν δὲ μετ' αἰχμαλωσίαν βυληθεὶς, ὔτ' ἐφυλάξατο καλῶς τὴν τελευτὴν, ὔθ' ὑπέμεινεν, ἀλλὰ προσλιπαρῶν καὶ δεόμενος, τῦ σώματος μόνυ κρατεῖν δοκῦντα τὸν πολέμιον, καὶ τῆς ψυχῆς αὐτῦ [3] κύριον ἐποίησεν.

## ΑΓΗΣΙΛΑΟΣ.

Ἀρχίδαμος ὁ Ζευξιδάμυ βασιλεύσας ἐπιφανῶς Λακεδαιμονίων, κατέλιπεν υἱὸν ἐκ γυναικὸς εὐδοκίμυ Λαμπριδῦς [4], Ἆγιν, καὶ πολὺ νεώτερον ἐξ Εὐπωλίας [5], τῆς

1 V. ἑκυσίως. R. dedit seq. ἐπ' ἀρχῇ de suo, pro vulg. ἐν ἀρχῇ.

2 Junt. simplex θανεῖν; item Ald. & Crat.

3 Mos. Duf mavult αὐτῆς.

4 Dacer. legi vult aut cum V. Λαμπιδῦς, aut cum Platone Alcib. I. Λαμπιτῦς. Palmerius ante eum Λαμπιτῦς asseruerat ex Herod. VI. & eodem Platone, addideratque, nomen esse Laconicum apud Aristoph. in Lysistr. Λαμπιτώ. V. tamen & Steph. codd. omnes Λαμπιδῦς habent; & apud Platon. Λαμπιδώ scribitur, Edit. Bip. Vol. V. p. 46. Meurs. quoque de Regn. Lac. c. 17. cum Plat. & Herod. dari vult in Nostro Λαμπιδῦς.

5 Teste H. Steph. in quibusdam scriptum erat Ἰωνίας.

τῆς Μελισιππίδα θυγατρὸς, Ἀγησίλαον. ἐπεὶ δὲ, τῆς βασιλείας Ἄγιδι προσηκέσης κατὰ τὸν νόμον, ἰδιώτης ἐδόκει βιοτεύειν Ἀγησίλαος [1], ἤχθη τὴν λεγομένην ἀγωγὴν ἐν Λακεδαίμονι, σκληρὰν μὲν ἔσαν τῇ διαίτῃ καὶ πολύπονον, παιδεύεσαν δὲ τὲς νέες ἄρχεσθαι. διὸ καί φασιν ὑπὸ τῦ Σιμωνίδε τὴν Σπάρτην προσηγορεῦσθαι [2] δαμασίμβροτον, ὡς μάλιςα διὰ τῶν ἐθῶν τὲς πολίτας τοῖς νόμοις πειθηνίες καὶ χειροήθεις ποιῦσαν, ὥσπερ ἵππες εὐθὺς ἐξ ἀρχῆς δαμαζομένες. ταύτης ἀφίησιν ὁ νόμος τῆς ἀνάγκης τὲς ἐπὶ βασιλείᾳ τρεφομένες παῖδας. Ἀγησιλάῳ δὲ καὶ τῦτο ὑπῆρξεν ἴδιον, ἐλθεῖν ἐπὶ τὸ ἄρχειν μὴ ἀπαίδευτον τῦ ἄρχεσθαι. διὸ καὶ πολὺ τῶν βασιλέων εὐαρμοςότατον αὐτὸν τοῖς ὑπηκόοις παρέχε, τῷ φύσει ἡγεμονικῷ καὶ βασιλικῷ προσκτησάμενος ἀπὸ τῆς ἀγωγῆς τὸ δημοτικὸν καὶ φιλάνθρωπον.

II. Ἐν δὲ ταῖς καλεμέναις ἀγέλαις τῶν συςρεφομένων [3] παίδων Λύσανδρον ἔχεν ἐραςὴν, ἐκπλαγέντα μάλιςα τῷ κοσμίῳ τῆς φύσεως αὐτῦ. φιλονεικότατος γὰρ ὢν καὶ θυμοειδέςατος ἐν τοῖς νέοις, καὶ πάντα πρωτεύειν βελόμενος, καὶ τὸ σφοδρὸν ἔχων [4] καὶ ῥαγδαῖον ἄμαχον καὶ δυσεκβίαςον, εὐπειθείᾳ πάλιν αὖ καὶ πρᾳότητι τοιῦτος ἦν, οἷος φόβῳ μηδὲν, αἰσχύνῃ δὲ πάντα ποιεῖν τὰ προστατ]όμενα, καὶ τοῖς ψόγοις ἀλγύνεσθαι μᾶλλον, ἢ τὲς πόνες βαρύνεσθαι. τήν τε τῦ σκέλες πήρω-



1 Vulgo praemittitur ex Steph. art. ὁ; Eum R. omisit auctoritate Junt. Ald. Crat.

2 V. προσειρῆσθαι.

3 Non rejicit quidem Mos. Duf. hanc lectionem; mavult tamen cum V. συντρεφομένων.

4 Omnes edd. priores exhibent ἔχον. V. dat ἔχων, in ind. Frft. quod recepisse videtur Br. absque ulla correctionis nota, ne in indice quidem suo hanc variantem allegans.

πήρωσιν [1] ἥ τε ὥρα τοῦ σώματος ἀνθοῦντος ἀπέκρυπτε, καὶ τὸ ῥαδίως φέρειν καὶ ἱλαρῶς τὸ τοιοῦτο, παίζοντα καὶ σκώπτοντα πρῶτον ἑαυτὸν, οὐ μικρὸν ἦν ἐπανόρθωμα τοῦ πάθους· ἀλλὰ καὶ τὴν φιλοτιμίαν ἐνδηλοτέραν [2] ἐποίει, πρὸς μηδένα πόνον, μηδὲ πρᾶξιν ἀπαγορεύοντος αὐτοῦ διὰ τὴν χωλότητα. τῆς δὲ μορφῆς εἰκόνα μὲν οὐκ ἔχομεν· αὐτὸς γὰρ οὐκ ἠθέλησεν, ἀλλὰ καὶ ἀποθνήσκων ἀπεῖπε μήτε πλαστὰν, μήτε μιμηλάν τινα ποιήσασθαι [3] τοῦ σώματος εἰκόνα. λέγεται δὲ μικρός τε γενέσθαι καὶ τὴν ὄψιν εὐκαταφρόνητος· ἡ δὲ ἱλαρότης καὶ τὸ εὔθυμον ἐν ἅπαντι καιρῷ καὶ παιγνιῶδες, ἀχθεινὸν δὲ καὶ τραχὺ μηδέποτε, μήτε φωνῇ, μήτ' ὄψει, τῶν καλῶν καὶ ὡραίων ἐρασμιώτερον αὐτὸν ἄχρι γήρως παρέχεν [4]. ὡς δὲ Θεόφραστος ἱστορεῖ, τὸν Ἀρχίδαμον ἐζημίωσαν οἱ ἔφοροι γήμαντα γυναῖκα μικράν. Οὐ γὰρ βασιλεῖς, ἔφασαν, ἄμμιν, ἀλλὰ βασιλείδια γεννάσει [5].

III. Βασιλεύοντος δ' Ἄγιδος, ἧκεν ἐκ Σικελίας Ἀλκιβιάδης φυγὰς [6] εἰς Λακεδαίμονα· καὶ χρόνον οὔπω πολὺν ἐν τῇ πόλει διάγων, αἰτίαν ἔσχε τῇ γυναικὶ τοῦ βασιλέως, Τιμαίᾳ, συνεῖναι. καὶ τὸ γεννηθὲν ἐξ αὐτῆς παιδίον [7] οὐκ ἔφη γινώσκειν ὁ Ἄγις, ἀλλ' ἐξ Ἀλκιβιάδου γεγονέναι. τοῦτο δ' οὐ πάνυ δυσκόλως τὴν Τιμαίαν ἐνεγκεῖν φησὶ Δοῦρις, ἀλλὰ καὶ ψιθυρίζουσαν οἴκοι πρὸς τὰς εἱλωτίδας, Ἀλκιβιάδην τὸ παιδίον, οὐ Λεωτυχί-

1 Accipi posse bifariam, monet Xyl. ut vel amisisse alterum pedem, vel eo laeso & claudo usus intelligatur. Posterius tamen verius putat.

2 V. ἐκδηλοτέραν.

3 Teste H. Steph. in nonnullis scriptum est μήτε πλαστῶν, μήτε μιμητῶν τινα μιμήσασθαι. V. μήτε πλαστὸν, μήτε μιμητόν τινα μιμήσασθαι.

4 V. παρεῖχεν.

5 V. γεννῶσα. Dorica dialecto hic affert Plut. verba Ephororum; alibi (de educ. lib. ab init.) sua.

6 SG. ἧκεν Ἀλκιβιάδης ἐκ Σικελίας φυγάς.

7 Junt, Ald. Crat. SG. παιδάριον.

τυχίδην, καλεῖν. καὶ μέντοι καὶ τὸν Ἀλκιβιάδην αὐτὸν ἐ πρὸς ὕβριν Τιμαίᾳ [1] φάναι πλησιάζειν, ἀλλὰ φιλοτιμέμενον βασιλεύεσθαι Σπαρτιάτας ὑπὸ τῶν ἐξ ἑαυτῦ γεγονότων [2]. διὰ ταῦτα μὲν δὴ [3] τῆς Λακεδαίμονος Ἀλκιβιάδης ὑπεξῆλθε, φοβηθεὶς τὸν Ἄγιν. ὁ δὲ παῖς τὸν [4] μὲν ἄλλον χρόνον ὕποπτος ἦν τῷ Ἄγιδι, καὶ γνησίε τιμὴν ἐκ εἶχε παρ' αὐτῷ· νοσῦντι δὲ προσπεσὼν καὶ δακρύων, ἔπεισεν υἱὸν ἀποφῆναι πολλῶν ἐναντίον. ἐ μὴν ἀλλὰ τελευτήσαντος τῦ Ἄγιδος, ὁ Λύσανδρος ἤδη καταναυμαχηκὼς Ἀθηναίες, καὶ μέγιςον ἐν Σπάρτῃ δυνάμενος, τὸν Ἀγησίλαον ἐπὶ τὴν βασιλείαν προῆγεν, ὡς ἐ προσήκεσαν ὄντι νόθῳ τῷ Λεωτυχίδῃ. πολλοὶ δὲ καὶ τῶν ἄλλων πολιτῶν τὴν ἀρετὴν [5] τῦ Ἀγησιλάε, καὶ τὸ συντετράφθαι καὶ μετεσχηκέναι τῆς ἀγωγῆς, ἐφιλοτιμῦντο καὶ συνέπραττον αὐτῷ προθύμως. ἦν δὲ Διοπείθης ἀνὴρ χρησμολόγος ἐν Σπάρτῃ, μαντειῶν τε παλαιῶν ὑπόπλεως, καὶ δοκῶν περὶ τὰ θεῖα σοφὸς εἶναι καὶ περιττός. ὗτος ἐκ ἔφη θεμιτὸν εἶναι χωλὸν γενέθαι τῆς Λακεδαίμονος βασιλέα· καὶ χρησμὸν ἐν τῇ δίκῃ τοιῦτον ἀνεγίνωσκε·

Φράζεο δή, Σπάρτη, καίπερ μεγάλαυχος ἐῦσα,
Μὴ σέθεν ἀρτίποδος βλάψῃ χωλὴ βασιλεία.
Δηρὸν γὰρ νῦσοί σε καταχήσεσιν ἄελπτοι,
Φθισιβρότε τ' ἐπὶ κῦμα κυλινδόμενον πολέμοιο [6].



1 SG. τῇ Τιμαίᾳ.

2 V. γενομένων.

3 deest δὴ Junt. Ald. Crat. SG.

4 SG. omittit hunc articulum.

5 Br. fusp. διὰ τὴν ἀρετήν. Ita quoque legendum esse monet R. aut deesse θαυμάσαντες, aut ἀγάμενοι, aut tale quid. Idem paulo post mavult συνεφιλοτιμῦντο pro ἐφιλοτ.

6 Cf. de his versibus Lysand. c. 22. T. III. pag. 161. not. 3. Pro βλάψῃ H. Steph. in Mss. invenit βλάςῃ, quod arripit, quia σέθεν nec cum βλάψῃ, nec cum alio hujus versus vocabulo construi

πρὸς ταῦτα Λύσανδρος ἔλεγεν, ὡς, εἰ πάνυ φοβοῖντο τὸν χρησμὸν οἱ Σπαρτιᾶται, φυλακτέον αὐτοῖς [1] εἴη τὸν Λεωτυχίδην, ἐ γὰρ, εἰ προσπταίσας τις τὸν πόδα βασιλεύοι, τῷ θεῷ διαφέρειν· ἀλλ' εἰ μὴ γνήσιος ὢν, μηδὲ Ἡρακλείδης, τοῦτο τὴν χωλὴν εἶναι βασιλείαν. ὁ δ' Ἀγησίλαος ἔφη καὶ τὸν Ποσειδῶνα [2] καταμαρτυρεῖν τοῦ Λεωτυχίδου τὴν νοθείαν, ἐκβαλόντα σεισμῷ τοῦ θαλάμου τὸν Ἆγιν· ἀπ' ἐκείνου δὲ πλέον, ἢ δέκα μηνῶν διελθόντων γενέσθαι τὸν Λεωτυχίδην [3].

IV. Οὕτω δὲ καὶ διὰ ταῦτα βασιλεὺς ἀποδειχθεὶς ὁ Ἀγησίλαος, εὐθὺς εἶχε καὶ τὰ χρήματα τοῦ Ἄγιδος, ὡς νόθον ἀπελάσας τὸν Λεωτυχίδην. ὁρῶν δὲ τοὺς ἀπὸ μητρὸς οἰκείους [4], ἐπιεικεῖς μὲν ὄντας, ἰσχυρῶς δὲ πενομένους, ἀπένειμεν αὐτοῖς τὰ ἡμίσεα [5] τῶν χρημάτων, εὔνοιαν ἑαυτῷ καὶ δόξαν ἀντὶ φθόνου καὶ δυσμενείας ἐπὶ τῇ κληρονομίᾳ [6] κατασκευαζόμενος. ὧν [7] δὲ

construi possit — *ne ex te nascatur* —. At Mur. annott. pro σέθεν exhibent σ' ἀντ', quod & in Anon. fuisse existimat Moses Duf., ex quo ἀντ' ἄρτι ποδὸς enotatum est. φθισιβρότου in gen. dedit R. de suo pro vulg. φθισίβροτον. SG. φθεισίβροτον. Junt. Ald. Crat. omittunt copulam τ'. Item κυλινδόμενον R. dedit in accus. cum Junt. Ald. Crat. ubi est κυλινδούμενον, pro genitivo Steph. κυλινδομένου. Equidem facile desiderarem copulam τ' & pro mascul. partic. mallem foem. κυλινδομένην ad Σπάρτην, ἐοῦσαν.

1 Revocasse se monet hanc lectionem ex Junt. & Ald. pro vulg. αὐτοὺς. Haec autem non nisi in Br. extat.

2 SG. Ποσειδῶ.

3 V. Λεοτυχίδαν. Et ita paulo post.

4 Quaerunt, suosne, an Leotychidae? Prius putat Xyl. debere intelligi; posterius ab Amioto Reiskioque recipitur.

5 Junt. Ald. Crat. τὰ ἡμίσεια.

6 Hanc lectionem, quam in codd. invenit, H. Steph. reponendam censuit, eamque exhibent V. Anon. Mur. & dedit R. pro vulg. τὴν κληρονομίαν.

7 Sic R. de suo dedit pro vulg. ὡς, monens, cohaerere hunc

δὲ, φησὶν ὁ Ξενοφῶν, ὅτι, τῇ πατρίδι πειθόμενος, ἴσχυε πλεῖςον, ὥςε ποιεῖν, ὃ βȣ́λοιτο, τοιȣ̃τόν ἐςι. τῶν [1] ἐφόρων ἦν τότε καὶ τῶν γερόντων τὸ μέγιςον ἐν τῇ πολιτείᾳ κράτος, ὧν οἱ μὲν ἐνιαυτὸν ἄρχȣσι μόνον, οἱ δὲ γέροντες διὰ βίȣ ταύτην ἔχȣσι τὴν τιμὴν, ἐπὶ τῷ μὴ πάντα τοῖς βασιλεῦσιν [2] ἐξεῖναι, συνταχθέντες, ὡς ἐν τῷ περὶ Λυκȣ́ργȣ γέγραπται. διὸ καὶ πατρικήν τινα πρὸς αὐτȣ̀ς ἀπὸ τȣ̃ παλαιȣ̃ διετέλȣν εὐθὺς οἱ βασιλεῖς φιλονεικίαν καὶ διαφορὰν παραλαμβάνοντες. ὁ δ' Ἀγησίλαος ἐπὶ τὴν ἐναντίαν ὁδὸν [3] ἦλθε· καὶ τὸ πολεμεῖν προσκρȣ́ειν [4] αὐτοῖς ἐάσας, ἐθεράπευε, πάσης μὲν ἀπ' ἐκείνων πράξεως ἀρχόμενος· εἰ δὲ κληθείη, θᾶττον, ἢ βάδην, ἐπειγόμενος· ὁσάκις δὲ τύχοι [5] καθήμενος ἐν τῷ βασιλικῷ θώκῳ, καὶ χρηματίζων, ἐπιȣ̃σι τοῖς ἐφόροις ὑπεξανίςατο. τῶν δ' εἰς τὴν γερȣσίαν ἀεὶ καταταττομένων ἑκάςῳ χλαῖναν ἔπεμπε [6] καὶ βȣ̃ν ἀριςεῖον. ἐκ δὲ τȣ́των τιμᾶν δοκῶν καὶ μεγαλύνειν τὸ ἀξίωμα τῆς ἐκείνων ἀρχῆς, ἐλάνθανεν αὔξων τὴν ἑαυτȣ̃ δύναμιν, καὶ τῇ βασιλείᾳ προστιθέμενος [7] μέγεθος, ἐκ τῆς πρὸς αὐτὸν εὐνοίας συγχωρȣ́μενον.

V.

hunc genitivum cum πλεῖςον — *quorum autem potentiae & auctoritati Agesilaum praepolluisse, ait Xenophon, eo, quod patriae legibus serviret, ea res sic se habet.* Meo sensu, durior fit haec constructio, ut vix probanda videatur. Mos. Dus. susp. ὁ δὲ φ. ὁ Ξ. Post seq. ὅτι V. Anon. SG. & Mur. inserunt πάντα, quod Mosi Dus. recipiendum videtur.

1 Ut nunc hic locus extat, debemus Reiskio. Vulgo datur: βȣ́λοιτο· τοιȣ̃το ἐκ τῶν ἐφόρων. Xyl. legit ὥςε ποιεῖν, ἃ βȣ́λοιτο, τοιȣ̃το ἦν. τῶν ἐφ. ἦν —. τοιȣ̃τον ἦν habent Anon. & Mur. — τοιȣ̃το τὸ ἐκ τῶν ἐφ. V. & SG.

2 V. βασιλεύȣσιν.

3 R. monente, in ejusmodi dictione, aut ἐπί, aut ὁδὸν, aut utrumque simul, omitti solet.

4 Junt. & SG. καὶ τὸ προσκρ.

5 SG. τύχῃ.

6 SG. Junt. Ald. Crat. ἔπεμψε.

7 Sic Br. cum H. Steph. & SG. legendum censuit, deditque R. pro vulg. προτιθέμενος.

V. Ἐν δὲ ταῖς πρὸς τὰς ἄλλους πολίτας ὁμιλίαις ἐχθρὸς ἦν ἀμεμπτότερος, ἢ φίλος. τοὺς μὲν γὰρ ἐχθροὺς ἀδίκως οὐκ ἔβλαπτε, τοῖς δὲ φίλοις καὶ τὰ μὴ δίκαια συνέπραττε. καὶ τοὺς μὲν ἐχθροὺς ᾐσχύνετο μὴ τιμᾶν κατορθοῦντας, τοὺς δὲ φίλους οὐκ ἐδύνατο ψέγειν ἁμαρτάνοντας. ἀλλὰ καὶ βοηθῶν ἠγάλλετο καὶ συνεξαμαρτάνων αὐτοῖς. οὐδὲν γὰρ ᾤετο τῶν φιλικῶν ὑπουργημάτων αἰσχρὸν εἶναι. τοῖς δ' αὖ διαφόροις καὶ πταίσασι πρῶτος συναχθόμενος, καὶ δεηθεῖσι [1] συμπράττων προθύμως, ἐδημαγώγει καὶ προσήγετο πάντας. ὁρῶντες οὖν οἱ ἔφοροι ταῦτα, καὶ φοβούμενοι τὴν δύναμιν, ἐζημίωσαν αὐτὸν, αἰτίαν ὑπειπόντες, ὅτι τοὺς κοινοὺς πολίτας, ἰδίους κτᾶται. καθάπερ γὰρ οἱ φυσικοὶ τὸ νεῖκος οἴονται καὶ τὴν ἔριν, εἰ τῶν ὅλων ἐξαιρεθείη, στῆναι μὲν ἂν τὰ οὐράνια, παύσεσθαι δὲ πάντων [2] τὴν γένεσιν καὶ κίνησιν ὑπὸ τῆς πρὸς πάντα [3] πάντων ἁρμονίας· οὕτως ἔοικεν ὁ Λακωνικὸς νομοθέτης ὑπέκκαυμα τῆς ἀρετῆς ἐμβαλεῖν [4] εἰς τὴν πολιτείαν τὸ φιλότιμον καὶ φιλόνεικον, ἀεί τινα τοῖς ἀγαθοῖς διαφορὰν καὶ ἅμιλλαν εἶναι πρὸς ἀλλήλους βουλόμενος· τὴν δ' ἀνθυπείκουσαν τῷ ἀνελέγκτῳ [5] χάριν, ἀργὴν καὶ ἀναγώνιστον οὖσαν, οὐκ ὀρθῶς ὁμόνοιαν λέγεσθαι. τοῦτο δ' ἀμέλει συνεωρακέναι καὶ

1 Junt. Ald. Crat SG. δεηθεὶς.

2 Anon. πάντως.

3 Sic R. de suo dedit pro vulg. ταῦτα — *omnium erga omnia*, vel cum *omnibus*, *consensionem*. Mos. Dus. voluit πρὸς τὰ αὐτὰ, vel ταὐτά. Post seq. ἁρμονίας quosdam codd. habere ἢ προνοίας, ἢ ποιότητος, testatur H. Steph. ea tamen suppositilia censens.

4 V. ἐμβαλὼν, vel ἐμβάλλων. SG. ἐμβαλών.

5 R. mavult ἀνεξελέγκτῳ & paulo post ἀνανταγώνιστον. Denotari vult eum hominem, illamve factionem, cujus adversus vim & resistentiam oppositam seu durities & pertinacia, seu mollities & cedendi facilitas nondum ad periculum adducta est, nondum edidit sui specimen, e quo de ea judicari possit. V. τῶν ἀνελέγκτων.

καὶ τὸν Ὅμηρον οἴονταί τινες. ὐ γὰρ ἂν [1] τὸν Ἀγαμέμνονα ποιῆσαι χαίροντα τῦ Ὀδυσσέως καὶ τῦ Ἀχιλλέως εἰς λοιδορίαν προαχθέντων ἐκπάγλοις ἐπέεσσιν, εἰ μὴ μέγα τοῖς κοινοῖς ἀγαθὸν ἐνόμιζεν εἶναι τὸν πρὸς ἀλλήλυς ζῆλον, καὶ τὴν διαφορὰν τῶν ἀρίςων. ταῦτα μὲν ὖν ὐκ ἂν ὕτως τις ἁπλῶς συγχωρήσειεν· αἱ γὰρ ὑπερβολαὶ τῶν φιλονεικιῶν χαλεπαὶ ταῖς πόλεσι, καὶ μεγάλυς κινδύνυς ἔχυσι.

VI. Τῦ δ' Ἀγησιλάυ τὴν βασιλείαν νεωςὶ παρειληφότος, ἀπήγγειλάν [2] τινες ἐξ Ἀσίας ἥκοντες, ὡς ὁ Περσῶν βασιλεὺς παρασκευάζοιτο μεγάλῳ ςόλῳ Λακεδαιμονίυς ἐκβαλεῖν τῆς θαλάσσης. ὁ δὲ Λύσανδρος ἐπιθυμῶν αὖθις εἰς Ἀσίαν ἀποςαλῆναι καὶ βοηθῆσαι τοῖς φίλοις, ὓς αὐτὸς μὲν ἄρχοντας καὶ κυρίυς τῶν πόλεων ἀπέλιπε, κακῶς δὲ χρώμενοι καὶ βιαίως τοῖς πράγμασιν, ἐξέπιπτον ὑπὸ τῶν πολιτῶν καὶ ἀπέθνησκον, ἀνέπεισε τὸν Ἀγησίλαον ἐπιθέσθαι τῇ ςρατείᾳ [3], καὶ πολεμῆσαι τῆς Ἑλλάδος ἀπωτάτω, διαβάντα [4], καὶ φθάσαντα τὴν τῦ βαρβάρυ παρασκευήν. ἅμα δὲ τοῖς ἐν Ἀσίᾳ φίλοις ἐπέςειλε πέμπειν εἰς Λακεδαίμονα, καὶ ςρατηγὸν Ἀγησίλαον αἰτεῖσθαι. παρελθὼν ὖν εἰς τὸ πλῆθος Ἀγησίλαος, ἀνεδέξατο τὸν πόλεμον, εἰ δοῖεν αὐτῷ

1 R. de suo ἂν addidit — nam alias profecto eum non fuisse commissurum, ut Agamemnonem in scenam suae fictionis produceret. Cf. Odyss. L. VIII, 77.

2 V. ἀπήγγελλον.

3 R. mavult τῇ ςρατηγίᾳ.

4 In distinctione vocum praecedentium variant edd. — Junt. dat interpunctionem post Ἑλλάδος, saepissime quidem in ea obviam, & negligendam. Eam quoque omittunt Ald. & Crat. restituit autem H. Steph. post πολεμῆσαι, ut genit. Ἑλλ. cum ἀπ. jungatur, monens, alioqui προπολεμῆσαι esse legendum, quod aliquot ejus codd. exhibuerunt. Br. nullam dedit harum distinctionum; R. autem post ἀπωτάτω. V. & SG. προπολεμῆσαι, quod se amplecti ait Dacerius.

τῶ τριάκοντα μὲν ἡγεμόνας καὶ συμβέλȣς Σπαρτιάτας, νεοδαμώδεις δὲ λογάδας διϰιλίȣς [1], τὴν δὲ συμμαχικὴν εἰς ἑξακιϰιλίȣς δύναμιν. συμπράττοντος δὲ τȣ̃ Λυσάνδρȣ, πάντα [2] προθύμως ἐψηφίσαντο, καὶ τὸν Ἀγησίλαον ἐξέπεμπον [εὐθὺς [3]], ἔχοντα τὰς τριάκοντα Σπαρτιάτας, ὧν ὁ Λύσανδρος ἦν εὐθὺς πρῶτος, ȣ̓ διὰ τὴν ἑαυτȣ̃ δόξαν καὶ δύναμιν μόνον [4], ἀλλὰ καὶ διὰ τὴν Ἀγησιλάȣ φιλίαν, ᾧ μεῖζον ἐδόκει τῆς βασιλείας διαπεπρᾶχθαι ἀγαθὸν [5], τὴν ϛρατηγίαν ἐκείνην. ἀθροιζομένης δὲ τῆς δυνάμεως εἰς Γεραιϛὸν, αὐτὸς εἰς Αὐλίδα κατελθὼν μετὰ τῶν φίλων καὶ νυκτερεύσας, ἔδοξε κατὰ τὰς ὕπνȣς εἰπεῖν τινα πρὸς αὐτόν. Ὦ βασιλεῦ Λακεδαιμονίων, ὅτι μὲν ȣ̓δεὶς τῆς Ἑλλάδος ὁμȣ̃ συμπάσης ἀπεδείχθη ϛρατηγὸς, ἢ πρότερον Ἀγαμέμνων, καὶ σὺ νῦν μετ᾽ ἐκεῖνον, ἐννοεῖς δήπȣθεν. ἐπεὶ δὲ τῶν αὐτῶν [6] ἄρχεις ἐκείνῳ, τοῖς δ᾽ αὐτοῖς πολεμεῖς, ἀπὸ δὲ τῶν αὐτῶν τόπων ὁρμᾷς ἐπὶ τὸν πόλεμον, εἰκὸς ἐϛὶ καὶ θῦσαι τῇ θεῷ θυσίαν, ἣν ἐκεῖνος ἐνταῦθα θύσας ἐξέπλευσεν. ἅμα δέ πως ὑπῆλθε τὸν Ἀγησίλαον ὁ τῆς κόρης

1 Sic & Xenoph. l. III. rer. graec. — in Agesilao autem *tria millia*, ubi sic extat: ἐὰν δῶσιν αὐτῷ πεντήκοντα μὲν Σπαρτιατῶν, τρισχιλίȣς δὲ νεοδαμώδεις. Grynaeus, notante Xyl. disciplinae Spartanae milites electi *mille*. Neodamodes, docente Athenaeo, fuerunt servorum genus, qui belli causa manumitterentur: — recens disciplina militari instituti, ac quasi domiti. Amiot. heilotas manumissos; Xyl. lectos tirones.

2 In quibusdam hunc accus. dari post συμπράττοντος δὲ, testatur H. Steph.

3 Delendum censuit Br. & R. uncis inclusit, paulo post suo loco recurrens.

4 Hoc adverb. in quibusdam post ἑαυτȣ̃ dari, testatur H. Steph. Pro ἑαυτ. in ind. Frft. αὐτȣ̃, cum nota auctoris T.

5 Teste H. Steph. legitur etiam ἀγαθὸν ἅμα πεπρᾶχθαι. Haec duo vocabula ἅμ. πεπρ. etiam exhibet V.

6 Teste H. Steph. etiam legitur τῶν μὲν αὐτῶν; item paulo post θῦσαί σε.

κόρης σφαγιασμὸς, ἣν ὁ πατὴρ ἔσφαξε [1] πεισθεὶς τοῖς μάντεσιν. ὃ μὴν διετάραξεν [2] αὐτὸν, ἀλλ' ἀναςὰς καὶ διηγησάμενος τοῖς φίλοις τὰ φανέντα, τὴν μὲν θεὸν ἔφη τιμήσειν, οἷς εἰκός ἐςι χαίρειν, θεὸν ἔσαν, ἐ μιμήσεσθαι [3] δὲ τὴν ἀμαθίαν τὲ τότε ςρατηγὲ. καὶ καταςέψας ἔλαφον, ἐκέλευσεν ἀπάρξασθαι τὸν ἑαυτὲ μάντιν, ἐχ ὅσπερ [4] εἰώθει τῦτο ποιεῖν ὑπὸ τῶν Βοιωτῶν τεταγμένος. ἀκέσαντες ἐν οἱ Βοιωτάρχαι, πρὸς ὀργὴν κινηθέντες, ἔπεμψαν ὑπηρέτας, ἀπαγορεύοντες τῷ Ἀγησιλάῳ μὴ θύειν παρὰ τὲς νόμες καὶ τὰ πάτρια Βοιωτῶν. οἱ δὲ καὶ ταῦτ' ἀπήγγειλαν, καὶ τὰ μηρία διέῤῥιψαν ἀπὸ τὲ βωμὲ. χαλεπῶς ἐν ἔχων ὁ Ἀγησίλαος, ἀπέπλει τοῖς τε Θηβαίοις διωργισμένος, καὶ γεγονὼς δύσελπις διὰ τὸν οἰωνὸν, ὡς ἀτελῶν αὐτῷ [5] τῶν πράξεων γενησομένων, καὶ τῆς ςρατείας [6] ἐπὶ τὸ προσῆκον ἐκ ἀφιξομένης [7].

VII. Ἐπεὶ δ' ἧκεν εἰς Ἔφεσον [8], εὐθὺς ἀξίωμα μέγα καὶ δύναμις ἦν ἐπαχθὴς καὶ βαρεῖα περὶ τὸν Λύσ-

1 In quibusdam teste H. Steph. ἐσφάγιασε.

2 Vulgo δὲ ἐτάραξεν. V. vitiose διετάραξεν. Hinc Anon. subjungit: f. δ' ἐτάραξεν, διετάραξεν. Posterius R. placuisse videtur.

3 Junt. Ald. Crat. SG. μιμήσασθαι. Pro seq. ἀμαθίαν H. Steph. maluit ἀπάθειαν, quod in quibusdam codd. invenit, & V. refert. Idem adnotat, proxime seqq. vocabula in praecedentibus edd. sic dari τἔτό τε, quod syllabis aliter junctis legendum sit τἔ τότε. Verum hoc est de Junt. & Ald. at Crat. sic: τἔτότε, ut lectori facilius sit discernere in τἔ & τότε, quam in τἔτο & τε.

4 Sic R. de suo dedit pro vulg. ὥσπερ. Idem est ac ἐ τἔτον, ὅσπερ. Idem delevit articulum ὁ, qui in vulgatis inter ποιεῖν & ὑπὸ medius legitur.

5 Hanc lectionem e Junt. Ald. Crat. restituit R. Vulgo αὐτἔ. Pro ἀτελῶν, quod praecessit, Junt. sola εὐτελῶν.

6 V. ςρατηγίας.

7 Junt. sola ἀφιξόμενος. Utramque, hanc & vulgatam, probandam censet R.

8 V. εἰς τὴν Ἐφ.

Λύσανδρον, ὄχλε φοιτῶντος ἐπὶ [1] τὰς θύρας ἑκάστοτε, καὶ πάντων παρακολεθέντων καὶ θεραπευόντων ἐκεῖνον [2], ὡς ὄνομα μὲν καὶ σχῆμα τῆς στρατηγίας τὸν Ἀγησίλαον ἔχοντα [3], διὰ τὸν νόμον, ἔργῳ δὲ κύριον ἁπάντων [4] καὶ δυνάμενον καὶ πράττοντα πάντα, τὸν Λύσανδρον. ἐδεὶς γὰρ δεινότερος [5], ἐδὲ φοβερώτερος ἐκείνε τῶν εἰς τὴν Ἀσίαν ἀποσταλέντων ἐγένετο στρατηγῶν. ἐδὲ μείζονα τὰς φίλας ἀνὴρ ἄλλος εὐεργέτησεν, ἐδὲ κακὰ τηλικαῦτα τὰς ἐχθρὰς ἐποίησεν. ὧν ἔτι προσφάτων ὄντων οἱ ἄνθρωποι μνημονεύοντες [6], ἄλλως δὲ τὸν μὲν Ἀγησίλαον ἀφελῆ καὶ λιτὸν ἐν ταῖς ὁμιλίαις καὶ δημοτικὸν ὁρῶντες, ἐκείνῳ δὲ τὴν αὐτὴν [7] ὁμοίως σφοδρότητα καὶ τραχύτητα καὶ βραχυλογίαν παρῦσαν, ὑπέπιπτον αὐτῷ παντάπασι καὶ μόνῳ προσεῖχον. ἐκ δὲ τέτε πρῶτον μὲν οἱ λοιποὶ Σπαρτιάται χαλεπῶς ἔφερον, ὑπηρέται μᾶλλον Λυσάνδρε, ἢ σύμβελοι βασιλέως, ὄντες. ἔπειτα δ' αὐτὸς ὁ Ἀγησίλαος, εἰ καὶ μὴ φθονερὸς ἦν, μηδ' ἤχθετο τοῖς φίλοις [8] τιμωμένοις, ἀλλὰ φιλότιμος ὢν σφόδρα καὶ φιλόνεικος, ἐφοβεῖτο, μὴ, κἂν ἐνέγκωσί τι λαμπρὸν αἱ πράξεις, τῦτο [9] Λυσάνδρε γένηται

1 Sic cum V. & omnibus Steph. codd. dedit R. pro vulg. περὶ. Idem ἐπὶ quoque voluisse Mur. in annot. testatur Mos. Dusoul.

2 Huic voci praemittit V. αὐτὸν.

3 Sic R. de suo dedit pro vulg. ὄντα, sic quoque suspicans, aut ὡς ὄνομα μὲν καὶ πρόσχημα τῆς στρ. περὶ τὸν Ἀγ. ὄν, aut potius ὡς ὄνομα μὲν καὶ πρόσχημα τ. στρ. τὸν Ἀγησίλαον ἔχοντα.

4 R. post h. v. deesse videtur ὄντα.

5 Teste H. Steph. legitur etiam ἐνδοξότερος. Sic & V.

6 V. μνημονεύεσιν. Seq. μὲν post artic. τὸν restituisse se monet R. ex Junt. & Ald. At non nisi in Br. male exciderat.

7 Quam nempe Lysander in superiore imperio, in Asia gesto, prae se tulerat, cum classi Spartanae praeesset. Pro seq. τραχύτητα V. βραχύτητα.

8 Vocem φίλοις de suo addidit R.

9 Moses Dusoul mavult τῦτο πᾶν Λ.

νηται διὰ τὴν δόξαν. οὕτως οὖν ἐποίει· πρῶτον ἀντέκρουε ταῖς συμβουλίαις αὐτοῦ, καὶ πρὸς ἃς ἐκεῖνος ἐσπουδάκει μάλιστα πράξεις, ἐῶν χαίρειν καὶ παραμελῶν, ἕτερα πρὸ ἐκείνων ἔπραττεν. ἔπειτα τῶν ἐντυγχανόντων καὶ δεομένων, οὓς αἴσθοιτο Λυσάνδρῳ μάλιστα πεποιθότας, ἀπράκτους ἀπέπεμπε. καὶ περὶ τὰς κρίσεις ὁμοίως οἷς ἐκεῖνος [1] ἐπηρεάζοι, τούτους ἔδει πλέον ἔχοντας ἀπελθεῖν· καὶ τοὐναντίον οὓς φανερὸς γένοιτο προθυμούμενος ὠφελεῖν, χαλεπὸν ἦν μὴ καὶ ζημιωθῆναι. γινομένων δὲ τούτων οὐ κατὰ τύχην, ἀλλ' οἷον ἐκ παρασκευῆς καὶ ὁμαλῶς, αἰσθόμενος [2] τὴν αἰτίαν ὁ Λύσανδρος, οὐκ ἀπεκρύπτετο πρὸς τοὺς φίλους, ἀλλ' ἔλεγεν, ὡς δι' αὐτὸν ἀτιμάζοιντο, καὶ παρεκάλει θεραπεύειν ἰόντας τὸν βασιλέα, καὶ τοὺς μᾶλλον αὐτοῦ δυναμένους.

VIII. Ὡς οὖν ταῦτα πράττειν καὶ λέγειν ἐδόκει φθόνον ἐκείνῳ μηχανώμενος, ἔτι μᾶλλον αὐτοῦ καθάψασθαι βουλόμενος Ἀγησίλαος, ἀπέδειξε [3] κρεωδαίτην, καὶ προσεῖπεν, ὡς λέγεται, πολλῶν ἀκουόντων· Νῦν οὖν θεραπευέτωσαν οὗτοι ἀπιόντες τὸν ἐμὸν κρεωδαίτην. ἀχθόμενος οὖν ὁ Λύσανδρος, λέγει πρὸς αὐτόν· Ἤιδεις ἄρα σαφῶς [4], Ἀγησίλαε, φίλους ἐλαττοῦν. Ἤιδειν, ἔφη, τοὺς ἐμοῦ μεῖζον δύνασθαι βουλομένους. καὶ ὁ Λύσανδρος· Ἀλλ' ἴσως, ἔφη, ταῦτά σοι λέλεκται βέλτιον [5],

ἢ

1 In Junt. Ald. Crat. *ἐκεῖνον.* An forte ita extitit *οἷς ἐκεῖνον ἐπηρεάζειν ἴδοι*, ut ante *αἴσθοιτο*, & in seq. *φανερὸς γένοιτο*?

2 V. *αἰσθανόμενος.*

3 V. *ἀποδείκνυσι.* Idem & in seq. *κρεωδάτην.* SG. *κρεοδαίτην*, uti paulo post iterum. De *προσεῖπεν* monet R. idem esse hic loci, ac *ἐπεῖπεν*, vel *πρὸς τούτοις εἶπεν* — *insuper adjunxit ad hoc factum hanc orationem.* Quaedam exemplaria habuisse *προεῖπεν*, testatur H. Steph. Maluit tamen vulgatam. Pro *νῦν οὖν* V. *νῦν μὲν δή.*

4 Anon. & Mur. *σοφῶς*, quod Br. probat. Xenoph. pro hac voce habet *ἀεί.*

5 V. *λέλεκται καὶ βέλτιον.* Anon. *λέλεκται μᾶλλον.*

ἢ ἐμοὶ πέπρακται. δὸς δέ μοι τινὰ τάξιν [1] καὶ χώραν, ἔνθα μὴ λυπῶν, ἔσομαί σοι χρήσιμος. ἐκ τούτου πέμπεται μὲν ἐφ᾽ Ἑλλήσποντον, καὶ Μιθριδάτην [2], ἄνδρα Πέρσην, ἀπὸ τῆς Φαρναβάζου χώρας, μετὰ χρημάτων συχνῶν καὶ διακοσίων ἱππέων, ἤγαγε πρὸς τὸν Ἀγησίλαον. οὐκ ἔληγε δὲ τῆς ὀργῆς, ἀλλὰ βαρέως φέρων ἤδη τὸν λοιπὸν χρόνον, ἐβούλευεν [3], ὅπως τῶν δυεῖν οἴκων τὴν βασιλείαν ἀφελόμενος, εἰς μέσον ἅπασιν ἀποδοίη Σπαρτιάταις. καὶ ἐδόκει μεγάλην ἂν ἀπεργάσασθαι κίνησιν ἐκ ταύτης τῆς διαφορᾶς, εἰ μὴ πρότερον ἐτελεύτησεν, εἰς Βοιωτίαν στρατεύσας. οὕτως [δὲ] αἱ [4] φιλότιμοι φύσεις ἐν ταῖς πολιτείαις [5] τὸ ἄγαν μὴ φυλαξάμεναι, τοῦ ἀγαθοῦ μεῖζον τὸ κακὸν ἔχουσι. καὶ γάρ, εἰ [6] Λύσανδρος φορτικὸς ἦν, ὥσπερ ἦν, ὑπερβάλλων τῇ φιλοτιμίᾳ τὸν καιρόν, οὐκ ἠγνόει δήπουθεν Ἀγησίλαος ἑτέραν ἀμεμπτοτέραν ἐπανόρθωσιν οὖσαν ἀνδρὸς ἐνδόξου καὶ φιλοτίμου πλημμελοῦντος. ἀλλ᾽ ἔοικε ταὐτῷ πάθει μήτ᾽ ἐκεῖνος ἄρχοντος ἐξουσίαν γνῶναι, μήτε οὗτος ἄγνοιαν [7] ἐνεγκεῖν συνήθους.

IX.

1 In nonnullis esse πρᾶξιν, testis est H. Steph.

2 Br. cum Steph. codd. Anon. Mur. & SG. legi vult Σπιθριδάτην. Sic & vertit Xyl. & dat ipse Plut. infra c. XI. Cf. Lysand. c. 24. T. III. pag. 164. not. 4.

3 In quibusdam esse ἐπεβούλευεν, testis est H. Steph.

4 Vulgo ex Steph. legitur: οὕτως δὲ φιλοτ. R. in textu suo ita: οὕτως δὲ αἱ, cum nota textui subjecta: „ita etiam SG. sed in vulg. pro αἱ legitur δὲ. In annotatis autem, quae in fine voluminis extant, sic legitur — οὕτως αἱ φιλότιμοι — sic ex Ald. restitui, quo prope accedit lectio Juntinae οὕτως καὶ φιλ." Observo ad haec, Juntinam nequaquam exhibere οὕτως καὶ, sed perspicue cum Ald. & Crat. οὕτως αἱ. Hinc quoque non dubitavi, δὲ ut otiosum uncis includere, ut sit cum his edd. quod R. voluisse videtur οὕτως αἱ.

5 V. πολιτικαῖς.

6 Sic Steph. dedit. Junt. Ald. Crat. καὶ γὰρ ὁ A. SG. εἰ ὁ Λ. Id. Cod. invertit seqq. φορτικὸς ἦν.

7 Br. susp. ἄνοιαν. Tuetur autem Mos. Dns. vulgatam, ut

sensus

IX. Ἐπεὶ δὲ Τισαφέρνης ἐν ἀρχῇ μὲν φοβηθεὶς τὸν Ἀγησίλαον, ἐποιήσατο σπονδὰς, ὡς τὰς πόλεις αὐτῷ τὰς Ἑλληνικὰς [1] ἀφήσοντος αὐτονόμους βασιλέως, ὕστερον δὲ πεισθεὶς ἔχειν δύναμιν ἱκανὴν, ἐξήνεγκε τὸν πόλεμον, ἄσμενος ὁ Ἀγησίλαος ἐδέξατο. προσδοκία γὰρ ἦν μεγάλη τῆς στρατείας [2]. καὶ δεινὸν ἡγεῖτο, τοὺς μὲν σὺν Ξενοφῶντι μυρίους ἥκειν ἐπὶ θάλατταν, ὁσάκις ἐβουλήθησαν αὐτοὶ, τοσαυτάκις βασιλέα νενικηκότες [3]. αὐτοῦ δὲ Λακεδαιμονίων ἄρχοντος, ἡγουμένων γῆς καὶ θαλάσσης, μηδὲν ἔργον ἄξιον μνήμης φανῆναι πρὸς τοὺς Ἕλληνας. εὐθὺς οὖν ἀμυνόμενος ἀπάτῃ δικαίᾳ τὴν Τισαφέρνους ἐπιορκίαν, ἐπέδειξεν, ὡς ἐπὶ Καρίαν προάξων. ἐκεῖ δὲ τοῦ βαρβάρου τὴν δύναμιν [4] συναθροίσαντος, ἄρας εἰς Φρυγίαν ἐνέβαλε. καὶ πόλεις μὲν εἷλε συχνὰς, καὶ χρημάτων ἀφθόνων ἐκυρίευσεν, ἐπιδεικνύμενος τοῖς φίλοις, ὅτι τὸ [5] μὲν σπεισάμενον ἀδικεῖν τῶν θεῶν ἐστι καταφρονεῖν· ἐν δὲ τῷ παραλογίζεσθαι τοὺς πολεμίους οὐ μόνον τὸ δίκαιον, ἀλλὰ καὶ δόξα πολλὴ καὶ τὸ μεθ' ἡδονῆς κερδαίνειν ἔνεστι. τοῖς δ' ἱππεῦσιν ἐλαττωθεὶς, καὶ τῶν ἱερῶν ἀλόβων φανέντων [6], ἀναχωρήσας εἰς Ἔφεσον, ἱππικὸν συνῆγε, τοῖς εὐπόροις [7] προειπὼν,



fensui Plutarchi hoc loco bene convenientem. Schirach vertit: *Thorheit.*

1 Mos. Dus. mavult cum V. Ἑλληνίδας ex usu optimorum scriptorum.

2 Legi quoque στρατηγίας & στρατιᾶς, testis est H. Steph. In V. στρατηγίας.

3 H. Steph. & cum eo Br. malunt νενικηκότας, ut conveniat cum accus. μυρίους. Exhibent quoque hanc lect. Mur. & SG.

4 SG. hoc ordine τὴν δύναμιν τοῦ βαρβάρου.

5 Junt. sola τόν.

6 Xyl. notante, Grynaeus male verterat *sacra inviolata.*

7 Sic Steph. bene, judice Grynaeo & Xylandro, dedit pro ἀπόροις, quod in Junt. Ald. Crat. legitur. Sequens προειπὼν de suo dedisse monet R. pro vulg. προσειπών. Idem tamen jam

dari

εἰ μὴ βέλονται ςρατεύεϑαι, παραχεῖν ἕκαςον ἵππον ἀνϑ' ἑαυτȣ͂, καὶ ἄνδρα. πολλοὶ δ' ἦσαν ȣ̓͂τοι, καὶ συνέβαινε τῷ Ἀγησιλάῳ ταχὺ πολλȣ̀ς καὶ πολεμικȣ̀ς [1] ἔχειν ἱππεῖς ἀντὶ ψιλῶν καὶ ὁπλιτῶν [2]. ἐμιϑȣ͂ντο γὰρ οἱ μὴ βȣλόμενοι ςρατεύεϑαι τȣ̀ς βȣλομένȣς ςρατεύεϑαι· οἱ δὲ μὴ βȣλόμενοι ἱππεύειν τȣ̀ς βȣλομένȣς ἱππεύειν. καὶ γὰρ τὸν Ἀγαμέμνονα [3] ποιῆσαι καλῶς, ὅτι ϑήλειαν ἵππον ἀγαϑὴν λαβὼν, κακὸν ἄνδρα καὶ πλȣ́σιον ἀπήλλαξε τῆς ςρατείας. ἐπεὶ δὲ, κελεύσαντος αὐτȣ͂, τȣ̀ς αἰχμαλώτȣς ἀποδύοντες ἐπίπρασκον οἱ λαφυροπῶλαι, καὶ τῆς μὲν ἐσϑῆτος ἦσαν ὠνηταὶ πολλοὶ, τῶν δὲ σωμάτων λευκῶν καὶ ἁπαλῶν παντάπασι, διὰ τὰς σκιατροφίας [4] ȣ̓ γυμνȣμένων, κατεγέλων ὡς ἀχρήςων καὶ μηδε-

dari voluit Br. auftoritate aliquot codicum H. Steph., & habet SG. Legitur quoque tam εὐπόροις quam προεῖπε in Apophth. Lacon. ubi eadem commemorantur, quae hic extant.

1 Junt. fola πολλȣ̀ς πολεμίȣς.

2 Copulantem particulam de fuo praemifit R. Vulgo ψιλῶν ὁπλιτῶν. Nemo quidem erit, qui non hanc vulgatam mendofam cenfeat. Sed quid tandem R. correctione ad rei illuftrationem allatum eft? ψιλοὶ levis, ὁπλῖται gravis armaturae milites appellari folent. An Agefilaus absque his effe potuit, effe voluit? An ad Dacerii explicationem confugies, qui ψιλὸν vilem ait fignificare? Quid tunc erunt ὁπλῖται? — Miror fane, quod R. in hoc loco emendando ea prorfus neglexerit, quae H. Steph. & Mof. Duf. meo fenfu optime de eo funt commentati, alter ex vetuftorum codd. auftoritate, in quibus δειλῶν ὁπλιτῶν legebatur, alter ex ipfius Plutarchi verbis in Apophth. Lacon. ubi fic fcribit: ὥςε ταχὺ συνήχϑησαν καὶ ἵπποι καὶ ἄνδρες ἐπιτήδειοι ἀντὶ δειλῶν καὶ πλȣσίων — & ex fequentibus. Si cui audacius videtur, pro ψιλῶν ὁπλιτῶν cum Mofe Duf. legere ἀντὶ δειλῶν καὶ πλȣσίων: an dubitabit, cum Steph. amplecti δειλῶν ὁπλιτῶν? Multum ad hunc locum fanius intelligendum faciunt ea, quae Xenoph. habet in orat. de Agefilao, in ejusdem Opp. Vol. II. pag. 447. ed. Thieme.

3 Homer. Iliad. l. 23, v. 295.

4 SG. σκιοτροφίας. Sequentem particulam infitiantem de fuo addidit R. mutata quoque loci diftinctione, quae in vulg. abeft poft

μηδενὸς ἀξίων, ἐπιςὰς ὁ Ἀγησίλαος· Οὗτοι μὲν, εἶπεν, οἷς μάχεσθε [1]. ταῦτα δὲ, ὑπὲρ ὧν μάχεσθε.

X. Καιρῦ δ' ὄντος αὖθις ἐμβαλεῖν εἰς τὴν πολεμίαν, προεῖπεν, εἰς Λυδίαν ἀπάξειν, ἐκέτι ψευδόμενος ἐνταῦθα τὸν Τισαφέρνην, ἀλλ' ἐκεῖνος ἑαυτὸν ἐξηπάτησε, διὰ τὴν ἔμπροσθεν ἀπάτην ἀπιςῶν τῷ Ἀγησιλάῳ, καὶ νῦν γῦν [2] αὐτὸν ἅψασθαι τῆς Καρίας νομίζων, ὅσης δυσίππυ, πολὺ τῷ ἱππικῷ λειπόμενον. ἐπεὶ δ', ὡς [3] προεῖπεν, ὁ Ἀγησίλαος ἧκεν εἰς τὸ περὶ Σάρδεις πεδίον, ἠναγκάζετο κατὰ σπυδὴν ἐκεῖθεν αὖ βοηθεῖν ὁ Τισαφέρνης, καὶ τῇ ἵππῳ διεξελαύνων διέφθειρε πολλὰς τῶν ἀτάκτως τὸ πεδίον πορθύντων. ἐννοήσας ὖν ὁ Ἀγησίλαος, ὅτι τοῖς πολεμίοις ὔπω πάρεσι τὸ πεζὸν, αὐτῷ δὲ τῆς δυνάμεως ὐδὲν ἄπεσιν, ἔσπευσε διαγωνίσασθαι. καὶ τοῖς μὲν ἱππεῦσιν ἀναμίξας τὸ πελταςικὸν, ἐλαύνειν ἐκέλευσεν ὡς τάχιςα καὶ προσβάλλειν τοῖς ἐναντίοις, αὐτὸς δ' εὐθὺς τὺς ὁπλίτας ἐπῆγε [4]. γενομένης δὲ τροπῆς τῶν βαρβάρων, ἐπακολυθήσαντες οἱ Ἕλληνες ἔλαβον τὸ ςρατόπεδον, καὶ πολλὺς ἀνεῖλον. ἐκ ταύτης τῆς μάχης ὐ μόνον ὑπῆρχεν [5] αὐτοῖς ἄγειν

 καὶ

post παντάπασι & γυμνυμένων, datur autem post κατεγέλων — *corpora autem ipsa, quae candida & mollia atque tenella essent, utpote quae, in umbra solita educari, nunquam nudarentur (ideoque neque a sole amburerentur, neque ab auris & aestibus & frigoribus indurescerent) videbant tanquam inhabilia, & flocci non facienda.* Monet idem, ad λευκῶν & ἁπαλῶν subaudiendum esse ὄντων, & subjungit, quo pacto vulgata exponatur — *videbant venales, cum inter licendum nudarentur.*

1 Legi quoque futurum μαχεῖσθε, testis est H. Steph.

2 Vulgo καὶ νῦν ὖν. V. νῦν γ' ὖν. Br. probavit γε, aut ὖν delendum censuit. R. inde effecit γῦν. Pro ἅψασθαι Br. maluit ἄψεσθαι.

3 V. in ind. Br. ἐπεὶ ὥσπερ; In ind. Frst. ἐπεὶ δὲ ὥσπερ.

4 V. ἐπήγαγε. SG. εἰσῆγε.

5 V. ὑπῆρξεν (in ind. Br. at in Frst. ἠπῆρξεν.)

καὶ Φέρειν ἀδεῶς τὴν βασιλέως χώραν, ἀλλὰ καὶ δίκην ἐπιδεῖν ΤισαΦέρνην διδόντα, μοχθηρὸν ἄνδρα καὶ τῷ γένει τῶν Ἑλλήνων ἐπαχθέστατον [1]. ἔπεμψε γὰρ εὐθέως ὁ βασιλεὺς Τιθραύστην ἐπ᾽ αὐτὸν, ὃς ἐκείνου μὲν τὴν κεΦαλὴν ἀπέτεμε [2], τὸν δ᾽ Ἀγησίλαον ἠξίου διαλυσάμενον ἀποπλεῖν οἴκαδε, καὶ χρήματα διδοὺς αὐτῷ προσέπεμψεν. ὁ δὲ τῆς μὲν εἰρήνης ἔΦη τὴν πόλιν εἶναι κυρίαν, αὐτὸς δὲ πλουτίζων τοὺς στρατιώτας ἥδεσθαι μᾶλλον, ἢ πλουτῶν αὐτός· καὶ ἄλλως γε μέντοι νομίζειν Ἕλληνας καλὸν, οὐ δῶρα λαμβάνειν, ἀλλὰ λάΦυρα παρὰ τῶν πολεμίων. ὅμως δὲ τῷ Τιθραύστῃ χαρίζεσθαι βουλόμενος, ὅτι τὸν κοινὸν ἐχθρὸν Ἑλλήνων ἐτετιμώρητο [3], ΤισαΦέρνην, ἀπήγαγεν εἰς Φρυγίαν τὸ στράτευμα, λαβὼν ἐΦόδιον παρ᾽ αὐτοῦ τριάκοντα τάλαντα. καὶ καθ᾽ ὁδὸν ὢν σκυτάλην δέχεται παρὰ τῶν οἴκοι τελῶν, κελεύουσαν αὐτὸν ἄρχειν ἅμα καὶ τοῦ ναυτικοῦ. τοῦτο μόνῳ πάντων ὑπῆρξεν Ἀγησιλάῳ. καὶ μέγιστος μὲν ἦν ὁμολογουμένως, καὶ τῶν τότε ζώντων ἐπιΦανέστατος, ὡς εἴρηκέ που καὶ Θεόπομπος· ἑαυτῷ γε μὴν ἐδίδου δι᾽ ἀρετὴν Φρονεῖν μεῖζον, ἢ διὰ τὴν ἡγεμονίαν. τότε δὲ τοῦ ναυτικοῦ καταστήσας ἄρχοντα Πείσανδρον, ἁμαρτεῖν ἔδοξεν, ὅτι, πρεσβυτέρων καὶ Φρονιμωτέρων παρόντων, οὐ σκεψάμενος τὸ τῆς πατρίδος, ἀλλὰ τὴν οἰκειότητα τιμῶν, καὶ τῇ γυναικὶ χαριζόμενος, ἧς ἀδελΦὸς ἦν ὁ Πείσανδρος, ἐκείνῳ παρέδωκε τὴν ναυαρχίαν.

XI, Αὐτὸς δὲ τὸν στρατὸν καταστήσας εἰς τὴν ὑπὸ Φαρναβάζῳ [4] τεταγμένην χώραν, οὐ μόνον ἐν [5] ἀΦθόνοις διῆ-

1 H. Steph. in omnibus suis codd. invenit ἀπεχθέστατον, quod probavit. Item quoque SG.

2 Sic H. Steph. & Br. legendum monuerunt, & sic dat SG. deditque R. pro vulg. ἐπέτεμε.

3 V. ἐτιμωρήσατο.

4 Sic cum V. & Mur. scribendum censuit Mos. Dus. & dedit R. pro vulg. Φαρναβάζου.

5 abest ἐν a Junt. sola.

διῆγε πᾶσιν, ἀλλὰ καὶ χρήματα συνῆγε [1] πολλά· καὶ προελθὼν ἄχρι Παφλαγονίας, προσηγάγετο τὸν βασιλέα τῶν Παφλαγόνων, Κότυν, ἐπιθυμήσαντα τῆς φιλίας αὐτοῦ δι' ἀρετὴν καὶ πίστιν. ὁ δὲ Σπιθριδάτης, ὡς ἀποστὰς τοῦ Φαρναβάζου τὸ πρῶτον ἦλθε πρὸς τὸν Ἀγησίλαον, ἀεὶ συναπεδήμει καὶ συνεστράτευεν αὐτῷ, κάλλιστον μὲν υἱὸν [2] ἔχων, Μεγαβάτην, οὗ παιδὸς ὄντος ἤρα σφοδρῶς Ἀγησίλαος· καλὴν δὲ καὶ θυγατέρα παρθένον ἐν ἡλικίᾳ γάμου. ταύτην μὲν ἔπεισε γῆμαι τὸν Κότυν ὁ Ἀγησίλαος, καὶ λαβὼν παρ' αὐτοῦ χιλίους ἱππεῖς καὶ δισχιλίους πελταστάς, αὖθις ἀνεχώρησεν εἰς Φρυγίαν, καὶ κακῶς ἐποίει τὴν Φαρναβάζου χώραν, οὐχ ὑπομένοντος, οὐδὲ πιστεύοντος τοῖς ἐρύμασιν, ἀλλ' ἔχων ἀεὶ τὰ πλεῖστα σὺν ἑαυτῷ τῶν τιμίων καὶ ἀγαπητῶν, ἐξεχώρει καὶ ὑπέφευγεν ἄλλοθεν ἀλλαχόσε [3] τῆς χώρας μεθιδρυμένος· μέχρις οὗ παραφυλάξας αὐτὸν ὁ Σπιθριδάτης, καὶ λαβὼν [4] Ἡριππίδαν τὸν Σπαρτιάτην, ἔλαβε τὸ στρατόπεδον, καὶ τῶν χρημάτων ἁπάντων ἐκράτησεν. ἔνθα δὴ πικρὸς ὢν ὁ Ἡριππίδας ἐξεταστὴς τῶν κλαπέντων, καὶ τοὺς βαρβάρους ἀναγκάζων ἀποτίθεσθαι, καὶ πάντα φωρῶν [5] καὶ διερευνώμενος, παρώξυνε τὸν Σπιθριδάτην, ὥστ' ἀπελθεῖν εὐθὺς εἰς Σάρδεις μετὰ τῶν Παφλαγόνων. τοῦτο λέγεται τῷ Ἀγησιλάῳ γενέσθαι πάντων ἀνιαρότατον [6]. ἤχθετο μὲν γὰρ ἄνδρα γενναῖον ἀποβεβληκώς, τὸν Σπιθριδάτην, καὶ σὺν αὐτῷ δύναμιν οὐκ ὀλίγην· ἠχύ-



1 V. in ind. Br. συνήθροισε; in ind. Frst. συνήθροιζε.

2 SG. invertit — υἱὸν μέν.

3 Sic R. de suo dedit pro vulg. ἄλλοτε ἀλλαχ. *aliunde aliorsum.* Pro μεθιδρ. V. μεθιδρυόμενος. Pro μέχρις SG. μέχρι.

4 R. ad h. v. — scil. παρ' Ἀγησιλάου ἡγεμόνα τοῦ λόχου ἐσόμενον, καὶ σύμμαχον τοῦ ἐπιχειρήματος. SG. παραλαβών; idem V. in ind. Frst.

5 Sic R. de suo dedit pro vulg. ἐφορῶν — de verbo φωρᾶν, *deprehendere furtum penes furem.*

6 SG. ἀνιαρώτατον.

ἠχύνετο δὲ τῇ διαβολῇ τῆς μικρολογίας καὶ ἀνελευθερίας, ἧς ἐ μόνον αὐτὸν, ἀλλὰ καὶ τὴν πατρίδα καθαρεύεσαν ἀεὶ παρέχειν ἐφιλοτιμεῖτο. χωρὶς δὲ τῶν ἐπιφανῶν [1] τέτων ἔκνιζεν αὐτὸν ἐ μετρίως ὁ τε παιδος ἔρως ἐνεσαγμένος, εἰ καὶ πάνυ, παρόντος αὐτε, τῷ φιλονείκῳ χρώμενος, ἐπειρᾶτο νεανικῶς ἀπομάχεσθαι πρὸς τὴν ἐπιθυμίαν. καὶ ποτε τε Μεγαβάτε προσιόντος, ὡς ἀσπασομένε [2] καὶ φιλήσοντος, ἐξέκλινεν. ἐπεὶ δ' ἐκεῖνος αἰσχυνθεὶς ἐπαύσατο, καὶ τὸ λοιπὸν ἄπωθεν ἤδη προσηγόρευεν· ἀχθόμενος αὖ πάλιν καὶ μεταμελόμενος τῇ φυγῇ τε φιλήματος ὁ Ἀγησίλαος, προσεποιεῖτο θαυμάζειν, ὅ τι δὴ παθὼν αὐτὸν ὁ Μεγαβάτης ἀπὸ ςόματος ἐ φιλοφρονοῖτο. Σὺ γὰρ αἴτιος, οἱ συνήθεις ἔφασαν, ἐχ ὑποςὰς, ἀλλὰ τρέσας τὸ φίλημα τε καλε, καὶ φοβηθείς. ἐπεὶ καὶ νῦν ἂν ἔλθοι σοι πειθεὶς ἐκεῖνος ἐντὸς φιλήματος, ἀλλ' ὅπως [3] αὖθις ἐκ ἀποδειλιάσεις. χρόνον ἔν τινα πρὸς ἑαυτῷ γενόμενος ὁ Ἀγησίλαος καὶ διασιωπήσας· Οὐδὲν, ἔφη, δεινὸν [4] πείθειν ὑμᾶς ἐκεῖνον· ἐγὼ γάρ μοι δοκῶ τήναν τὰν μάχαν τὰν περὶ τε φιλήματος ἅδιον μάχεσθαι πάλιν, ἢ παν-

1 In omnibus fuis codd. fcriptum invenit H. Steph. ἐμφανῶν, quod probat.

2 Sic omnino fuit legendum, deditque R. cum Anon. Mur. SG. Junt. Ald. Crat. pro vulg. ὡς σπασομένε. Mendum fuit ortum ex Stephanica, quam reliquae funt fecutae; non fuit, ut R. fufpicabatur, foli editioni Londinenfi proprium.

3 Vertendum: *verum cave, ne* &c. Subauditur ὅρα, quod alicubi etiam additur. Mof. Duf.

4 Sic R. de fuo dedit, pro vulg. δεῖ, reperiens in Junt. & Ald. quod & habet Crat. — δεῖν — *nil grave eft*, h. e. *nil impedit, nefas non eft, neque ego veto, vos illi auctores fieri, ut ad me prope accedens, copiam ofculi mihi faciat.* Pro ἐκεῖνον Anon. ἐκεῖνο; pro τήναν SG. τὴν ἂν; pro φιλήματος dorice vult fcribi Mof. Duf. φιλάματος; pro ἅδιον SG. ἥδιον; SG. & V. ante μάχεσθαι dant ἂν; R. mavult μαχεῖσθαι in fut. Haud abs re erit, fi lectori conferre placuerit Xenophontem, haec ipfa referentem l. cit. pag. 501. 502.

πάντα, ὅσα τεθέαμαι, χρυσία μοι γενέσθαι [1]. Τοιοῦτος μὲν ἦν, τοῦ Μεγαβάτου παρόντος. ἀπελθόντος γε μὴν, οὕτω περικαῶς ἔχεν, ὡς χαλεπὸν εἰπεῖν, εἰ, πάλιν αὖ μεταβαλομένου [2] καὶ φανέντος, ἐνεκαρτέρησε μὴ φιληθῆναι.

XII. Μετὰ ταῦτα Φαρνάβαζος εἰς λόγους αὐτῷ συνελθεῖν ἠθέλησε, καὶ συνῆγεν ἀμφοτέρους [3] ὧν ξένος ὁ Κυζικηνὸς Ἀπολλοφάνης. πρότερος δὲ μετὰ τῶν φίλων ὁ Ἀγησίλαος ἐλθὼν εἰς τὸ χωρίον, ὑπὸ σκιᾷ τινι, πόας οὔσης βαθείας, καταβαλὼν [4] ἑαυτὸν, ἐνταῦθα περιέμεινε τὸν Φαρνάβαζον. ὁ δ' ὡς ἐπῆλθεν, ὑποβεβλημένων τ' [5] αὐτῷ κωδίων μαλακῶν καὶ ποικίλων δαπίδων, αἰδεσθεὶς τὸν Ἀγησίλαον οὕτω κατακείμενον, κατεκλίνη καὶ αὐτὸς, ὡς ἔτυχεν, ἐπὶ τοὺς πόας χαμάζε [6], καίπερ ἐσθῆτα θαυμαστὴν λεπτότητι καὶ βαφαῖς ἐνδεδυκώς. ἀσπασάμενοι δ' ἀλλήλους, ὁ μὲν Φαρνάβαζος οὐκ ἠπόρει λόγων δικαίων, ἅτε δὴ πολλὰ καὶ μεγάλα Λακεδαιμονίοις χρήσιμος γεγονὼς ἐν τῷ πρὸς Ἀθηναίους πολέμῳ, νῦν δὲ πορθούμενος ὑπ' αὐτῶν. ὁ δ' Ἀγησίλαος ὁρῶν τοὺς σὺν αὐτῷ Σπαρτιάτας ὑπ' αἰσχύνης κύπτοντας εἰς τὴν γῆν καὶ διαποροῦντας· (ἀδικούμενον γὰρ ἑώρων τὸν Φαρνάβαζον·) Ἡμεῖς, εἶπεν, ὦ Φαρνάβαζε, καὶ φίλοι ὄντες πρότερον βασιλέως, ἐχρώμεθα τοῖς ἐκείνου πράγμασι φιλικῶς· καὶ νῦν πολέμιοι γεγονό-



1 Mose Duf. docente, vertenda haec funt: *quam meum esse quicquid auri a me unquam est visum.* Aliter verterunt priores Interpp. qui Agesilaum alterum ab oculis Midam faciunt.

2 Sic R. se restituisse monet ex Junt. & Ald. pro vulg. μεταβαλουμένου. Haec lectio non nisi in Br. extat vitiose. Teste H. Steph. etiam legitur πάλιν παραγενομένου καὶ μεταβαλομένου; V. πάλιν παραγενομένου καὶ αὖ μεταβ. SG. μεταβαλλομένου.

3 Mos. Duf. legendum censet ἀμφοτέροις, ut ad ὧν referatur.

4 SG. καταλαβών. Id. in seq. περιέμενε.

5 Hanc partic. V. sistit post seq. κωδίων.

6 SG. χαμᾶζε. Sic quoque scriptum est in Junt.

γονότες, πολεμικῶς. οὖν καί σε τῶν βασιλέως κτημάτων ὁρῶντες εἶναι βουλόμενον, εἰκότως διὰ σοῦ βλάπτομεν ἐκεῖνον. ἀφ' ἧς δ' ἡμέρας [1] σεαυτὸν ἀξιώσῃς Ἑλλήνων φίλον καὶ σύμμαχον μᾶλλον, ἢ δοῦλον [2] λέγεσθαι βασιλέως, ταύτην νόμιζε τὴν φάλαγγα καὶ τὰ ὅπλα καὶ τὰς ναῦς καὶ πάντας ἡμᾶς τῶν σῶν κτημάτων φύλακας εἶναι, καὶ τῆς ἐλευθερίας, ἧς ἄνευ καλὸν ἀνθρώποις οὐδὲν, οὐδὲ ζηλωτόν ἐστιν. Ἐκ τούτου λέγει πρὸς αὐτὸν ὁ Φαρνάβαζος ἣν εἶχε διάνοιαν. Ἐγὼ γὰρ, εἶπεν, ἐὰν μὲν ἄλλον ἐκπέμψῃ βασιλεὺς στρατηγὸν, ἔσομαι [3] μεθ' ὑμῶν· ἐὰν δ' ἐμοὶ παραδιδῷ τὴν ἡγεμονίαν, οὐδὲν ἐλλείψω προθυμίας ἀμυνόμενος ὑμᾶς καὶ κακῶς ποιῶν ὑπὲρ ἐκείνου. Ταῦτα δ' ἀκούσας ὁ Ἀγησίλαος ἥσθη, καὶ τῆς δεξιᾶς αὐτοῦ λαβόμενος καὶ συνεξαναστάς· Εἴθ', εἶπεν, ὦ Φαρνάβαζε, τοιοῦτος ὢν, φίλος ἡμῖν γένοιο μᾶλλον, ἢ πολέμιος.

XIII. Ἀπιόντος δὲ τοῦ Φαρναβάζου μετὰ τῶν φίλων, ὁ υἱὸς ὑπολειφθεὶς προσέδραμε τῷ Ἀγησιλάῳ, καὶ μειδιῶν εἶπεν· Ἐγώ σε ξένον, ὦ Ἀγησίλαε, ποιοῦμαι· καὶ παλτὸν ἔχων ἐν τῇ χειρὶ δίδωσιν αὐτῷ. δεξάμενος οὖν ὁ Ἀγησίλαος, καὶ ἡσθεὶς τῇ τ' ὄψει καὶ τῇ φιλοφροσύνῃ τοῦ παιδὸς, ἐπεσκόπει τοὺς παρόντας, εἴ τις ἔχοι τι τοιοῦτον, οἷον ἀντιδοῦναι καλῷ καὶ γενναίῳ [4] δῶρον. ἰδὼν δ' ἵππον Ἀδαίου [5] τοῦ γραφέως κεκοσμημένον φαλάροις, ταχὺ ταῦτα περισπάσας τῷ μειρακίῳ δίδωσι.

1 SG. ἀφ' ἧς δ' ἂν ἡμέρας.

2 V. δοῦλος. Seq. λέγεσθαι dari voluit Dacer. cum SG. & dedit R. pro vulg. γενέσθαι.

3 Excidisse hinc verba aliquot, arbitratur Dacerius, quae apud Xenoph. reperiuntur — ἐμὲ δ' ὑπήκοον ἐκείνου τάττῃ. (Hist. Gr. l. 4. Ed. Thiem. V. 3. pag. 201.) Mos. Duf. ea consulto a Plut. omissa existimat.

4 Br. deesse videtur υἱῷ.

5 Quosdam codd. habere Ἰδαίου, testatur H. Steph. Et ita Xenoph. paulo infra l. vix cit. Hinc & Xyl. vertit *Idaei*.

δωσι. καὶ τὸ λοιπὸν ἐκ ἐπαύετο μεμνημένος, ἀλλὰ καὶ χρόνῳ προϊόντι [1] τὸν οἶκον ἀποςερηθέντος αὐτȣ̃ καὶ φυγόντος ὑπὸ τῶν ἀδελφῶν [2] εἰς Πελοπόννησον, ἰσχυρῶς ἐπεμελεῖτο· καί τι καὶ τῶν ἐρωτικῶν αὐτῷ συνέπραξεν. ἠράσθη γὰρ ἀθλητȣ̃ παιδὸς ἐξ Ἀθηνῶν. ἐπεὶ δὲ μέγας ὢν καὶ σκληρὸς Ὀλυμπιάσιν ἐκινδύνευσεν ἐκκριθῆναι, καταφεύγει πρὸς τὸν Ἀγησίλαον ὁ Πέρσης, δεόμενος ὑπὲρ τȣ̃ παιδός. ὁ δὲ καὶ τȣ̃το βȣλόμενος αὐτῷ χαρίζεσθαι, μάλα μόλις διεπράξατο σὺν πολλῇ πραγματείᾳ. τἆλλα μὲν γὰρ ἦν ἀκριβὴς καὶ νόμιμος, ἐν δὲ τοῖς φιλικοῖς πρόφασιν [3] ἐνόμιζεν εἶναι τὸ λίαν δίκαιον. ἀναφέρεται γȣ̃ν ἐπιςόλιον αὐτȣ̃ πρὸς Ἱδριέα τὸν Κᾶρα τοιȣ̃το· Νικίας [4] εἰ μὲν μὴ ἀδικεῖ, ἄφες· εἰ δ' ἀδικεῖ, ἡμῖν ἄφες· πάντως δ' ἄφες. Ἐν [5] μὲν ȣ̃ν τοῖς πλείςοις τοιȣ̃τος ὑπὲρ τῶν φίλων ὁ Ἀγησίλαος. ἐςι δ' ὅπȣ πρὸς τὸ συμφέρον ἐχρῆτο τῷ καιρῷ καὶ μᾶλλον [6]. ὡς ἐδήλωσεν, ἀναζυγῆς αὐτῷ θορυβωδεςέρας γενομένης, ἀσθενȣ̃ντα καταλιπὼν τὸν ἐρώμενον. ἐκείνȣ γὰρ δεομένȣ καὶ καλȣ̃ντος αὐτὸν ἀπιόντα,

1 SG. περιόντι.

2 Anon. & Mur. οἰκείων. Xenoph. eum a *fratre* in exilium actum esse tradit: Hinc nil mutandum censet Br.

3 Latebram excusationis honestae, sed commenticiae, qua quis celatum eat frigus & remissionem officiorum amicis praestandorum. R.

4 Anon. & Mur. Νικίαν, quod probat Mos. Dus. Pro praeced. Ἰδριέα Crat. sola Ὑδριέα.

5 Hanc praepos. R. restituit e Junt. Ald. Crat. Vulgo ἦν, quod ad τοιȣ̃τος subaudiendum, non expressis verbis addendum est. Ita quoque legitur in Apophth. Lac.

6 Corrupta haec censuit Mos. Dus. dubius, an reponendum sit μεῖζον, an καλὸν — tandem pro ἀλύων certans. R. tuetur vulgatam, ut dictionem Plutarcho solennem pro *inprimis*, *majorem in modum*. Cf. Lycurg. c. 17. Tom. I. pag. 121. not. 2.

τα, ἀποςραφεὶς [1] εἶπεν, ὡς χαλεπὸν ἐλεεῖν ἅμα καὶ φρονεῖν [2]. τοῦτο μὲν [3] Ἱερώνυμος ὁ φιλόσοφος ἱςόρηκεν.

XIV. Ἤδη δὲ περιϊόντος [4] ἐνιαυτοῦ δευτέρου τῇ ςρατηγίᾳ, πολὺς ἄνω λόγος ἐχώρει τοῦ Ἀγησιλάου, καὶ δόξα θαυμαςὴ κατεῖχε τῆς τε σωφροσύνης καὶ εὐτελείας [5] καὶ μετριότητος. ἐσκήνου μὲν γὰρ ἀποδημῶν καθ' αὑτὸν ἐν τοῖς ἁγιωτάτοις ἱεροῖς, ἃ μὴ πολλοὶ καθορῶσιν ἄνθρωποι πράττοντας ἡμᾶς, τούτων θεοὺς [6] ποιούμενος

1 H. Steph. codd. fuorum auctoritate, & poft eum Dacerius, uti & Br. cum Mur. & Anon. dandum cenfuerunt μεταςραφεὶς — *converfus ad eum, converfa in eum facie.* Anon. quidem in ind. Frft. μεταςραφεῖεν; in ind. Br. μεταςραφεῖεν; Sic quoque Xyl. vertit: rejecto in eum vultu — & Schlrach — *fich umwandte.* At R. tuetur vulgatam ἀποςρ. *averfatus, averfo vultu.* Si quid mutandum fit, mavult ἐπιςραφεὶς. Sic eft in Apophth. Lacon.

2 Codd. fuorum auctoritate H. Steph. maluit φιλεῖν, perinde ac fi diceret Agefil. *quam grave mihi eft, eum relinquere, quem & miferor & amo,* cum lectio vulgaris eidem valere videtur, ac — vix fieri poffe, ut is, qui miferatur, fapiat. Monet fimul, ὡς duplici fignificatione accipi poffe, partim videlicet ut inferviat admirationi, partim ut fit pro ὅτι, & εἶπεν ὡς χαλεπόν ἐςι pro εἶπε χαλεπὸν εἶναι. Dacer. & cum eo Br. φιλεῖν Stephani, quod & V. exhibet, rejiciunt. Prior, fi quid a vulgata fcriptura recedendum fit, mavult, ὡς χαλεπὸν φιλεῖν ἅμα καὶ φρονεῖν.

3 V. poft μὲν inferit οὖν. Hieronymus, qui hic philofophus audit, in Ariftid. c. 27. T. II. p. 382. dicitur Rhodius. Cf. Voffius de Hift. Gr. pag. 48.

4 Vulgo περιιόντος. Hinc R. aut περιϊόντος, quod dedit, & Mof. Duf. dari voluit, aut προϊόντος legendum cenfuit.

5 Sic cum V. dari voluit Br. deditque R. pro vulg. ἀτελείας. Ex V. cod. in ind. Var. ita enotatum eft εὐτελείας, τῆς εὐγενείας. Pofteriorem vocem quoque in fuis codd. legit H. Steph. Maluit tamen idem ἀφελείας. Sic & Mur. — & idem voluiffe videtur Anon. ex quo in ind. Frft. enotatum eft ἀφείας.

6 SG. τοὺς θεούς.

μενος ἐπόπτας καὶ μάρτυρας. ἐν δὲ χιλιάσι στρατιωτῶν τοσαύταις ὀ ῥᾳδίως ἂν τις εἶδε φαυλοτέραν [καὶ εὐτελεστέραν [1]] στιβάδα τῆς Ἀγησιλάου. πρός τε θάλπος οὕτω καὶ ψύχος εἶχεν, ὥσπερ μόνος ἀεὶ χρῆσθαι ταῖς ὑπὸ θεοῦ [2] κεκραμέναις ὥραις πεφυκώς. ἥδιστον δὲ θέαμα τοῖς κατοικοῦσι τὴν Ἀσίαν Ἕλλησιν ἦσαν οἱ πάλαι βαρεῖς καὶ ἀφόρητοι καὶ διαῤῥέοντες ὑπὸ πλούτου καὶ τρυφῆς ὕπαρχοι καὶ στρατηγοὶ, δεδιότες [3] καὶ θεραπεύοντες ἄνθρωπον ἐν τρίβωνι περιϊόντα λιτῷ καὶ πρὸς ἓν ῥῆμα βραχὺ καὶ Λακωνικὸν ἁρμόζοντες ἑαυτοὺς καὶ μετασχηματίζοντες. ὥστε πολλοῖς ἐπῄει τὰ [τοῦ [4]] Τιμοθέου λέγειν· Ἄρης τύραννος [5]. χρυσὸν δὲ Ἑλλὰς ὀ δέδοικε.

XV. Κινουμένης δὲ τῆς Ἀσίας, καὶ πολλαχοῦ πρὸς ἀπόστασιν ὑπεικούσης, ἁρμοσάμενος τὰς αὐτόθι πόλεις, καὶ ταῖς πολιτείαις δίχα φόνου [6] καὶ φυγῆς ἀνθρώπων ἀποδοὺς τὸν προσήκοντα κόσμον, ἐγνώκει πρόσω χωρεῖν, καὶ τὸν πόλεμον διάρας ἀπὸ τῆς Ἑλληνικῆς θαλάττης, περὶ τοῦ σώματος βασιλεῖ καὶ τῆς ἐν Ἐκβατάνοις καὶ Σούσοις εὐδαιμονίας διαμάχεσθαι, καὶ περισπάσαι πρῶτον αὐτοῦ τὴν σχολὴν, ὡς μὴ καθέζοιτο τοὺς πολέμους βραβεύων τοῖς Ἕλλησι, καὶ διαφθείρων τοὺς δημαγωγούς. ἐν τούτῳ δ' ἀφικνεῖται πρὸς αὐτὸν Ἐπικυδίδας ὁ Σπαρτιάτης, ἀπαγγέλλων, ὅτι πολὺς περιέστηκε τὴν Σπάρτην πόλε-

1 Duo vocabula καὶ εὐτελ. desunt Junt. Ald. Crat. & SG. Ea adjecit H. Steph. monens, εὐτελ. accus. videri magis ἐξηγητικὸν esse, quam orationi quicquam addere. R. uncis inclusit.

2 SG. τοῦ Θεοῦ. Mox seq. δὲ abest ab eod. cod.

3 Junt. δεδοικότες, ambigue inter δεδοικότες, & δεδιότες, quod Ald. dedit.

4 deest hic articulus Junt. Ald. Crat. a R. uncis inclusus.

5 V. SG. τύραννον.

6 SG. πόνου. Sic quoque Junt. Ex Ald. φόνου.

πόλεμος Ἑλληνικὸς, καὶ καλοῦσιν ἐκεῖνον οἱ [1] ἔφοροι, καὶ κελεύουσι τοῖς οἴκοι βοηθεῖν.

Ὦ βάρβαρ' ἐξευρόντες Ἕλληνες κακά [2].

τί γὰρ ἄν τις ἄλλο τὸν φθόνον ἐκεῖνον προσείποι, καὶ τὴν τότε σύστασιν καὶ σύνταξιν [3] ἐφ' ἑαυτοὺς τῶν Ἑλλήνων, οἳ τῆς τύχης ἄνω φερομένης ἐπελάβοντο, καὶ τὰ ὅπλα πρὸς τοὺς βαρβάρους βλέποντα, καὶ τὸν πόλεμον τῆς Ἑλλάδος ἤδη ἐξῳκισμένον [4] αὖθις εἰς ἑαυτοὺς ἔτρεψαν. οὐ γὰρ ἔγωγε συμφέρομαι τῷ Κορινθίῳ Δημαράτῳ, μεγάλης ἡδονῆς ἀπολελεῖφθαι φήσαντι τοὺς μὴ θεασαμένους Ἕλληνας Ἀλέξανδρον ἐν τῷ Δαρείου θρόνῳ καθήμενον· ἀλλ' εἰκότως ἂν οἶμαι δακρῦσαι συννοήσαντας, ὅτι ταῦτ' [5] Ἀλεξάνδρῳ καὶ Μακεδόσιν ἀπέλιπον, οἳ τότε τοὺς τῶν Ἑλλήνων στρατηγοὺς περὶ Λεῦκτρα, καὶ Κορώνειαν, καὶ Κόρινθον, καὶ Ἀρκαδίαν, κατηνάλωσαν [6]. Ἀγησιλάῳ μέντοι οὐδὲν κρεῖσσον, ἢ μεῖζον ἐστὶ τῆς ἀναχωρήσεως ἐκείνης διαπεπραγμένον, οὐδὲ γέγονε παράδειγμα πειθαρχίας καὶ δικαιοσύνης ἕτερον κάλλιον. ὅπου γὰρ Ἀννίβας ἤδη κακῶς πράττων καὶ περιωθούμενος ἐκ τῆς Ἰταλίας, μάλα μόλις ὑπήκουσε τοῖς

1 Hunc artic. e Junt. & Ald. se addidisse monet R. In omnibus edd. legitur, excepta Bryanea, cui deest.

2 Versus ex Eurip. Troad. v. 759 desumtus. Pro βάρβαρ' SG. βάρβαρα, sine apostropho. Sic quoque extat in Junt. Ald. Crat.

3 R. monente σύνταξις est universe pactum, conditum, de quo inter plures convenit. Hic est factio, ein Complot, conjuratio Graecorum adversus sese mutuo Coierant enim alii cum aliis, & consilia inter se contulerunt in pestem aliorum, item Graecorum, sed sibi infestorum Auctore Dus. alium Plut. locum in Demosth. consulente, est σύνταξις Nostro exercitus ex variis gentibus collectitius.

4 V. ἐξοικισαμένης.

5 SG. Τὰ αὐτά. Id. lin seq. Λεῦκτραν pro Λεῦκτρα.

6 Nec haec, nec V. & SG. lectio καταναλώσαν Mosi Dus. placet. Mavult καταναλώσαντες.

τοῖς μὲν [1] ἐπὶ τὸν οἴκοι πόλεμον καλοῦσιν· Ἀλέξανδρος δὲ καὶ προσεπέσκωψε, πυθόμενος τὴν πρὸς Ἆγιν †Ἀντιπάτρου μάχην, εἰπών· Ἔοικεν, ὦ ἄνδρες, ὅτε Δαρεῖον ἡμεῖς ἐνικῶμεν ἐνταῦθα, ἐκεῖ τις ἐν Ἀρκαδίᾳ γεγονέναι μυομαχία· πῶς οὐκ ἦν ἄξιον τὴν Σπάρτην μακαρίσαι τῆς Ἀγησιλάου τιμῆς πρὸς ταύτην, καὶ πρὸς τοὺς νόμους τῆς εὐλαβείας [2]; ὃς, ἅμα τῷ τὴν σκυτάλην ἐλθεῖν, εὐτυχίαν τοσαύτην καὶ δύναμιν παροῦσαν καὶ τηλικαύτας ἐλπίδας ὑφηγουμένας ἀφεὶς καὶ προέμενος, εὐθὺς ἀπέπλευσεν ἀτελευτήτῳ ἐπὶ ἔργῳ, πολὺν ἑαυτοῦ πόθον τοῖς συμμάχοις ἀπολιπὼν, καὶ μάλιστα Δημοστράτου [3] τοῦ Φαίακος ἐλέγξας λόγον, εἰπόντος, ὡς εἰσὶ δημοσίᾳ μὲν Λακεδαιμόνιοι βελτίονες, ἰδίᾳ δ' Ἀθηναῖοι. βασιλέα γὰρ αὐτὸν [4] καὶ στρατηγὸν ἄριστον ἐπιδειξάμενος, ἔτι βελτίονα καὶ ἡδίονα τοῖς χρωμένοις ἰδίᾳ φίλον καὶ συνήθη παρέσχε. τοῦ δὲ Περσικοῦ νομίσματος χάραγμα τοξότην ἔχοντος, ἀναζευγνύων ἔφη μυρίοις τοξόταις ὑπὸ βασιλέως ἐξελαύνεσθαι τῆς Ἀσίας. τοσούτων γὰρ εἰς Ἀθήνας καὶ Θήβας κομισθέντων καὶ διαδοθέντων τοῖς δημαγωγοῖς, ἐξεπολεμώθησαν οἱ δῆμοι πρὸς τοὺς Σπαρτιάτας.

XVI. Ὡς δὲ διαβὰς τὸν Ἑλλήσποντον ἐβάδιζε διὰ τῆς Θρᾴκης, ἐδεήθη μὲν οὐδενὸς τῶν βαρβάρων· πέμπων δὲ πρὸς ἑκάστους, ἐπυνθάνετο, πότερον ὡς φιλίαν,

ἢ

1 Corruptiſſimum cenſet hunc locum Moſ. Duſ. & verba nonnulla deeſſe. A SG. μὲν abeſt. R. idem aut delendum cenſet, aut in ἐκεῖνον vel αὐτὸν mutandum.

2 R verba haec ſic collocari mavult: τῆς Ἀγησιλάου πρός τ' αὐτὴν (duobus vocabulis, non uno ταύτην) τιμῆς, καὶ πρὸς τοὺς νόμους εὐλαβείας.

3 In omnibus ſuis codd. H. Steph. legit Ἐρασιστράτου, & quidem praefixo artic. τόν. E V. ſic enotatum eſt: μάλιστα δὴ τὸν Δημοστράτου, vel Εὐραστιστράτου.

4 Junt. ſola βασιλέα τὸν ἐπ' αὐτόν. Voluiſſe eam cenſet Br. β. γὰρ ἑαυτὸν, & ita dat SG.

ἢ ὡς πολεμίαν, διαπορεύηται τὴν χώραν. οἱ μὲν οὖν ἄλλοι πάντες Φιλικῶς ἐδέχοντο καὶ παρέπεμπον, [ὡς ἕκαστος δυνάμεως εἶχεν [1].] οἱ δὲ καλούμενοι Τράλλεις [2], οἷς καὶ Ξέρξης ἔδωκεν, ὡς λέγεται, δῶρα τῆς διόδου, μισθὸν ᾔτουν τὸν Ἀγησίλαον, ἑκατὸν ἀργυρίου τάλαντα, καὶ τοσαύτας γυναῖκας. ὁ δὲ κατειρωνευσάμενος αὐτοὺς, καὶ Φήσας· τί οὖν οὐκ εὐθὺς ἦλθον ληψόμενοι; προῆγε, καὶ συμβαλὼν αὐτοῖς παρατεταγμένοις, ἐτρέψατο, καὶ διέφθειρε πολλούς. τὸ δ' αὐτὸ καὶ τῷ βασιλεῖ τῶν Μακεδόνων ἐρώτημα προσέπεμψε· Φήσαντος δὲ βουλεύσεσθαι· Βουλευέσθω τοίνυν ἐκεῖνος, εἶπεν, ἡμεῖς δ' ἤδη πορευόμεθα [3]. θαυμάσας οὖν τὴν τόλμαν αὐτοῦ καὶ δείσας ὁ βασιλεὺς, ἐκέλευσεν ὡς Φίλον προάγειν [4]. τῶν δὲ Θετταλῶν τοῖς πολεμίοις συμμαχούντων ἐπόρθει τὴν χώραν. εἰς δὲ Λάρισσαν ἔπεμψε Ξενοκλέα καὶ Σκύθην περὶ Φιλίας· συλληφθέντων δὲ τούτων καὶ παραφυλασσομένων, οἱ μὲν ἄλλοι βαρέως Φέροντες, ᾤοντο δεῖν τὸν Ἀγησίλαον παραστρατοπεδεύσαντα πολιορκεῖν τὴν Λάρισσαν. ὁ δὲ Φήσας οὐκ ἂν ἐθελῆσαι Θεσσαλίαν ὅλην λαβεῖν, ἀπολέσας τῶν ἀνδρῶν τὸν ἕτερον, ὑποσπόνδους αὐτοὺς ἀπέλαβε. καὶ τοῦτ' ἴσως ἐπ' Ἀγησιλάῳ θαυμαστὸν οὐκ ἦν, ὃς πυθόμενος [5] μάχην μεγάλην γεγονέναι περὶ Κόρινθον, καὶ ἄνδρας τῶν πάνυ ἐνδόξων ὡς ἔνι μάλιστα αἰΦνίδιον [6] ἀπολωλέναι, καὶ Σπαρτιατῶν μὲν ὀλίγους παντά-

1 Verba haec, uncis a R. inclusa, ipso H. Steph. notante, quia ea in textum recepit, non leguntur in edd. primis, non admodum ad sententiam necessaria, & facile tollenda.

2 V. Τραχαλεῖς. Br. susp. Τριβαλλοί. In Apophth. Lacon. dicuntur Τρωαδεῖς.

3 Hanc lectionem, e vetustis libris petitam, dedit H. Steph. In prioribus edd. fuit ἡμ. δὲ διαπορευσόμεθα. SG. δὲ δὴ πορευόμεθα. In Apophth. Lac. ἡμεῖς δὲ πορευσόμεθα.

4 Sic Mos. Dus. dari voluit, deditque R. Vulgo προσάγειν.

5 Junt. Ald. Crat. πειθόμενος. Steph. correxit.

6 Quid haec verba ὡς — αἰΦν. sibi velint, me nescire, lubenter cum R. fateor.

παντάπασι τεθνηκέναι, παμπόλλους δὲ τῶν πολεμίων, οὐκ ὤφθη περιχαρὴς, οὐδ' ἐπηρμένος· ἀλλὰ καὶ πάνυ βαρὺ στενάξας· Φεῦ τῆς Ἑλλάδος, ἔφη, τοσούτους [1] ἄνδρας ἀπολωλεκυίας ὑφ' αὑτῆς, ὅσοι ζῶντες ἐδύναντο νικᾶν ὁμοῦ σύμπαντας τοὺς βαρβάρους μαχόμενοι. τῶν δὲ Φαρσαλίων προσκειμένων [2] αὐτῷ, καὶ κακούντων τὸ στράτευμα, πεντακοσίοις ἱππεῦσιν ἐμβαλεῖν κελεύσας σὺν αὐτῷ, καὶ τρεψάμενος, ἔστησε τρόπαιον ὑπὸ τῷ Ναρθακίῳ [3]. καὶ τὴν νίκην ὑπερηγάπησεν ἐκείνην, ὅτι συστησάμενος ἱππικὸν αὐτὸς δι' ἑαυτοῦ, τούτῳ μόνῳ τοὺς μέγιστον ἐφ' ἱππικῇ φρονοῦντας ἐκράτησεν.

XVII. Ἐνταῦθα Διφρίδας οἴκοθεν ἔφορος ὢν ἀπήντησεν αὐτῷ, κελεύων εὐθὺς ἐμβαλεῖν εἰς τὴν Βοιωτίαν. ὁ δὲ, καίπερ ἀπὸ μείζονος παρασκευῆς ὕστερον τοῦτο ποιῆσαι διανοούμενος, οὐδὲν ᾤετο δεῖν ἀπειθεῖν τοῖς ἄρχουσιν, ἀλλὰ τοῖς τε μεθ' ἑαυτοῦ προεῖπεν ἐγγὺς εἶναι τὴν ἡμέραν, ἐφ' ἣν ἐξ Ἀσίας ἥκουσι, καὶ δύο μόρας [4] μετεπέμψατο τῶν περὶ Κόρινθον στρατευομένων. οἱ δ' ἐν τῇ πόλει Λακεδαιμόνιοι τιμῶντες αὐτὸν, ἐκήρυξαν τῶν νέων ἀπογράφεσθαι τὸν βουλόμενον τῷ βασιλεῖ βοηθεῖν. ἀπογραψαμένων δὲ πάντων προθύμως, οἱ ἄρχοντες πεντήκοντα τοὺς ἀκμαιοτάτους καὶ ῥωμαλεωτάτους ἐκλεξάμενοι ἀπέστειλαν. ὁ δ' Ἀγησίλαος εἴσω Πυλῶν παρελθὼν, καὶ διοδεύσας τὴν Φωκίδα φίλην οὖσαν, ἐπεὶ τῆς Βοιωτίας πρῶτον ἐπέβη, καὶ περὶ τὴν Χαιρώνειαν κατεστρατοπέδευσεν, ἅμα μὲν τὸν ἥλιον ἐκλείποντα καὶ γενόμενον μηνοειδῆ κατεῖδεν, ἅμα δ' ἤκουσε τεθνάναι Πείσανδρον, ἡττημένον ναυμαχίᾳ περὶ Κνίδον ὑπὸ Φαρναβάζου

1 Sic ex Junt. & Ald. se restituisse monet R. pro vulg. τοιούτους. Sic sola in Br. extat vitiose. Omnes reliquae τοσούτους.
2 Junt. sola προκειμένων.
3 SG. Καρθακίῳ.
4 Sic R. cum Anon. & Mur. dedit pro vulg. μοίρας.

βάζε καὶ Κόνωνος. ἠχθέσθη μὲν [1], ὡς εἰκὸς, ἐπὶ τέτοις, καὶ διὰ τὸν ἄνδρα, καὶ διὰ τὴν πόλιν· ὅπως δὲ μὴ τοῖς στρατιώταις ἐπὶ μάχην βαδίζεσιν ἀθυμία καὶ φόβος ἐμπέσῃ, τἀναντία λέγειν ἐκέλευσε τὲς ἀπὸ θαλάττης ἥκοντας, ὅτι νικῷεν τὴν ναυμαχίαν [2]. καὶ προελθὼν αὐτὸς ἐστεφανωμένος ἔθυσεν εὐαγγέλια, καὶ διέπεμπε μερίδας τοῖς φίλοις ἀπὸ τῶν τεθυμένων.

XVIII. Ἐπεὶ δὲ προϊὼν καὶ γενόμενος ἐν Κορωνείᾳ κατεῖδε τὲς πολεμίες καὶ κατώφθη, παρετάξατο, δὲς Ὀρχομενίοις τὸ εὐώνυμον κέρας, αὐτὸς δὲ τὸ δεξιὸν ἐπῆγεν. οἱ δὲ Θηβαῖοι τὸ μὲν δεξιὸν εἶχον αὐτοὶ, τὸ δ' εὐώνυμον Ἀργεῖοι. λέγει δὲ τὴν μάχην ὁ Ξενοφῶν [3] ἐκείνην, οἵαν ἐκ ἄλλην τῶν πώποτε γενέσθαι· καὶ παρῆν [4] αὐτὸς τῷ Ἀγησιλάῳ συναγωνιζόμενος, ἐξ Ἀσίας διαβεβηκώς. ἡ μὲν ἒν πρώτη σύρραξις ἐκ ἔσχεν ὠθισμὸν, ἐδ' ἀγῶνα πολὺν, ἀλλ' οἵ τε Θηβαῖοι ταχὺ τὲς Ὀρχομενίες ἐτρέψαντο, καὶ τὲς Ἀργείες ὁ Ἀγησίλαος. ἐπεὶ δ' ἀκέσαντες ἀμφότεροι τὰ εὐώνυμα πιέζεσθαι [5] καὶ φεύγειν, ἀνέστρεψαν, ἐνταῦθα τῆς νίκης ἀκινδύνε παρέσης, εἰ τῆς κατὰ στόμα μάχης ὑφέσθαι τοῖς Θηβαίοις ἠθέλησε, καὶ παίειν ἑπόμενος παραλλάξαντας, ὑπὸ θυμε καὶ φιλονεικίας ἐναντίος ἐχώρει τοῖς ἀνδράσιν, ὤσασθαι κατὰ κράτος [6] βελόμενος. οἱ δ' ἐχ ἧττον ἐῤῥωμένως ἐδέξαντο, καὶ μάχη γίνεται δι' ὅλε μὲν ἰσχυρὰ τε στρατεύματος, ἰσχυροτάτη δὲ κατ' ἐκεῖνον αὐτὸν, ἐν τοῖς πεντήκοντα τεταγμένον· ὧν εἰς καιρὸν ἔοικεν

1 Mur. annott. addunt ἂν.

2 V. νικῶσι. SG. τῇ ναυμαχίᾳ.

3 Cf. Hellen. L. IV. ed. Thiem. pag. 217. Ex his verbis Mos. Duf. colligit, mendum esse apud Nostrum, & pro πώποτε legendum esse τότε.

4 R. susp. καὶ γὰρ παρῆν.

5 V. πιέζεσθε. Forte dare voluit πιεζεῖσθαι. R.

6 SG. κατακράτος uno vocabulo. Sic & Junt. Ald. Crat.

ἔοικεν ἡ Φιλοτιμία τῷ βασιλεῖ γενέϑαι καὶ σωτήριος. ἀγωνιζόμενοι γὰρ ἐκϑύμως, καὶ προκινδυνεύοντες, ἄτρωτον μὲν ἐκ ἐδυνήϑησαν αὐτὸν Φυλάξαι, πολλὰς δὲ διὰ τῶν ὅπλων δεξάμενον εἰς τὸ σῶμα πληγὰς δόρασι καὶ ξίφεσι, μόλις ἀνήρπασαν ζῶντα· καὶ συμφράξαντες πρὸ αὐτȣ̃, πολλὰς μὲν ἀνῄρȣν, πολλοὶ δ' ἔπιπτον. ὡς δὲ μέγα ἔργον ἦν ὤσαϑαι προτροπάδην τὰς Θηβαίȣς, ἠναγκάϑησαν, ὅπερ ἐξ ἀρχῆς ȣ̓κ ἐβȣ́λοντο ποιῆσαι. διέστησαν γὰρ αὐτοῖς [1] τὴν φάλαγγα καὶ διέσχον, εἶτα ἀτακτότερον ἤδη πορευομένȣς, ὡς διεξέπεσον, ἀκολȣϑȣ̃ντες καὶ παραϑέοντες ἐκ πλαγίων ἔπαιον. ȣ̓ μὴν ἐτρέψαντο [2], ἀλλ' ἀπεχώρησαν οἱ Θηβαῖοι πρὸς τὸν Ἑλικῶνα, μέγα τῇ μάχῃ φρονȣ̃ντες, ὡς ἀήττητοι καθ' αὑτȣ̀ς γεγονότες.

XIX. Ἀγησίλαος δὲ, καίπερ ὑπὸ [3] τραυμάτων πολλῶν κακῶς τὸ σῶμα διακείμενος, ȣ̓ πρότερον ἐπὶ σκηνὴν ἀπῆλϑεν, ἢ φοράδην ἐνεχϑῆναι πρὸς τὴν φάλαγγα, καὶ τȣ̀ς νεκρȣ̀ς ἰδεῖν ἐντὸς τῶν ὅπλων συγκεκομισμένȣς [4]. ὅσοι μέντοι τῶν πολεμίων εἰς τὸ ἱερὸν κατέφυγον, πάντας ἐκέλευσεν ἀφεϑῆναι. πλησίον γὰρ ὁ νεώς ἐστιν ὁ τῆς Ἰτωνίας Ἀϑηνᾶς· καὶ πρὸ αὐτȣ̃ τρόπαιον ἕστηκεν, ὃ πάλαι Βοιωτοὶ, Σπάρτωνος στρατηγȣ̃ντος, ἐνταῦϑα νικήσαντες Ἀϑηναίȣς, καὶ Τολμίδην ἀποκτείναντες, ἔστησαν. ἅμα δ' ἡμέρᾳ βȣλόμενος ἐξελέγξαι τȣ̀ς Θηβαίȣς ὁ Ἀγησίλαος, εἰ διαμαχȣ̃νται, στεφανȣ̃σϑαι μὲν ἐκέλευσε τȣ̀ς στρατιώτας, αὐλεῖν δὲ τȣ̀ς αὐλητὰς, ἱστάναι δὲ καὶ [5] κοσμεῖν τρόπαιον, ὡς νενικηκότας. ὡς δ' ἔπεμψαν οἱ πολέμιοι νεκρῶν ἀναίρεσιν αἰτȣ̃ντες, ἐσπείσατο, καὶ τὴν νίκην ὅτως ἐκβεβαιωσάμενος, εἰς Δελφȣ̀ς ἀπε-



1 Legi etiam ἑαυτοῖς, teſtatur H. Steph.
2 R. ſic dedit de ſuo pro vulg. ἔτρεψαν.
3 ὑπὸ deeſt ſoli Juntinae.
4 V. συγκειμένȣς; SG. συγκεκομμένȣς.
5 καὶ deeſt Junt. ſoli.

ἀπεκομίσθη, Πυθίων ἀγομένων. καὶ τήν τε πομπὴν ἐπετέλει τῷ θεῷ, καὶ τὴν δεκάτην ἀπέθυε τῶν ἐκ τῆς Ἀσίας λαφύρων, ἑκατὸν ταλάντων γενομένην. ἐπεὶ δ' ἀπενόστησεν οἴκαδε, προσφιλὴς μὲν ἦν εὐθὺς τοῖς πολίταις καὶ περίβλεπτος ἀπὸ τοῦ βίου καὶ τῆς διαίτης. οὐ γάρ, ὥσπερ οἱ πλεῖστοι τῶν στρατηγῶν, καινὸς ἐπανῆλθεν ἀπὸ τῆς ξένης, καὶ [1] κεκινημένος ὑπ' ἀλλοτρίων ἐθῶν, δυσκολαίνων πρὸς τὰ οἴκοι καὶ ζυγομαχῶν, ἀλλ' ὁμοίως τοῖς μηδεπώποτε τὸν Εὐρώταν διαβεβηκόσι τὰ παρόντα τιμῶν καὶ στέργων, οὐ δεῖπνον ἤλλαξεν, οὐ λουτρόν, οὐ θεραπείαν γυναικός, οὐχ ὅπλων κόσμον, οὐκ οἰκίας κατασκευήν, ἀλλὰ καὶ τὰς θύρας ἀφῆκεν οὕτως, οὔσας σφόδρα παλαιάς, ὡς δοκεῖν εἶναι ταύτας ἐκείνας, ἃς ἐπέθηκεν Ἀριστόδημος [2]. καὶ τὸ κάναθρον [3], φησὶν ὁ Ξενοφῶν, οὐδέν τι σεμνότερον εἶναι τῆς ἐκείνου θυγατρός, ἢ τῶν ἄλλων. κάναθρα δὲ καλοῦσιν εἴδωλα γρυπῶν ξύλινα καὶ τραγελάφων, ἐν οἷς κομίζουσι τὰς παῖδας ἐν ταῖς πομπαῖς. ὁ μὲν οὖν Ξενοφῶν ὄνομα τῆς Ἀγησιλάου θυγατρὸς οὐ γέγραφε· καὶ ὁ Δικαίαρχος [4] ἐπηγανάκτησεν, ὡς μήτε τὴν Ἀγησιλάου θυγατέρα, μήτε τὴν Ἐπαμεινώνδου μητέρα ἔτι [5] γινωσκόντων ἡμῶν. ἡμεῖς δ' εὕρομεν ἐν ταῖς Λακωνικαῖς ἀναγραφαῖς ὀνομαζομένην, γυναῖκα μὲν Ἀγησιλάου Κλεόραν· θυγατέρας δ' Ἀπωλίαν

1 Non fatis placet R. haec lectio. Sufpicatur in καὶ latere κατὰ, & quaerit, num leg. κατακεκομμένος, an καταπεπληγμένος, an κατακεκηλημένος?

2 Cornel. pro Ariftodemo filium Euryfthenem pofuit.

3 Xyl. notante, Varinus hoc vocabulum ita explicat: *Canathra* aftrabe eft, aut currus crates (πλέγματα) habens, quo in pompa utuntur virgines (nimirum Lacedaemoniae) quum in Helenae templum eunt. Euftath. docet, κάνναθρον (fcribit duobus ν) effe cratem ex falignis viminibus contextam, quae currui imponitur. V. κανάσθρων.

4 V. Δικαιάρχιος. SG. fcribit paulo poft & infra Ἐπαμεινώνδου. Sic & Junt. femper.

5 Sic R. de fuo dedit pro vulg. ἐπιγινωσκόντων.

λίαν καὶ Προλύταν [1]. ἔστι δὲ καὶ λόγχην ἰδεῖν αὐτοῦ κειμένην ἄχρι νῦν ἐν Λακεδαίμονι, μηδὲν τῶν ἄλλων διαφέρουσαν.

XX. Οὐ μὴν ἀλλ' ὁρῶν ἐνίους τῶν πολιτῶν ἀπὸ ἱπποτροφίας δοκοῦντας εἶναι τινὰς, καὶ μεγάλα φρονοῦντας, ἔπεισε τὴν ἀδελφὴν Κυνίσκαν εἰς [2] ἅρμα καθίσασαν Ὀλυμπιάσιν ἀγωνίσασθαι· βουλόμενος ἐνδείξασθαι τοῖς Ἕλλησιν, ὡς οὐδεμιᾶς ἐστιν ἀρετῆς, ἀλλὰ πλούτου καὶ δαπάνης ἡ νίκη. Ξενοφῶντα δὲ τὸν σοφὸν ἔχων μεθ' ἑαυτοῦ σπουδαζόμενον, ἐκέλευσε [3] τοὺς παῖδας ἐν Λακεδαίμονι τρέφειν μεταπεμψάμενον, ὡς μαθησομένους τῶν μαθημάτων τὸ κάλλιστον, ἄρχεσθαι καὶ ἄρχειν. τοῦ δὲ Λυσάνδρου τετελευτηκότος, εὑρὼν ἑταιρίαν [4] πολλὴν συνεστῶσαν, ἣν ἐκεῖνος εὐθὺς ἐπανελθὼν ἀπὸ τῆς Ἀσίας συνέστησεν ἐπὶ τὸν Ἀγησίλαον, ὥρμησεν αὐτὸν ἐξελέγχειν, οἷος ἦν ζῶν πολίτης· καὶ λόγον ἀναγνοὺς ἐν βίβλῳ [5] ἀπολελειμμένον, ὃν ἔγραψε μὲν Κλέων ὁ Ἁλικαρνασσεὺς, ἔμελλε δὲ λέγειν ἀναλαβὼν ὁ Λύσανδρος ἐν τῷ δήμῳ περὶ πραγμάτων καινῶν καὶ μεταστάσεως τοῦ πολιτεύματος, ἠθέλησεν εἰς μέσον ἐξενεγκεῖν. ἐπεὶ δέ τις τῶν γερόντων τὸν λόγον ἀναγνοὺς, καὶ φοβηθεὶς τὴν δεινότητα, συνεβούλευσε μὴ τὸν Λύσανδρον ἀνορύττειν, ἀλλὰ τὸν λόγον μᾶλλον αὐτῷ συγκατορύττειν, ἐπείσθη καὶ καθησύχασε. τοὺς δ' ὑπεναντιουμένους αὐτῷ φανερῶς μὲν οὐκ ἔβλαπτε, διαπραττόμενος δὲ πέμπεσθαι τινὰς ἀεὶ στρατηγοὺς καὶ ἄρχοντας ἐξ αὐτῶν, ἐπεδείκνυε



1 Teste Steph. etiam legitur Εὐπωλίαν καὶ Προαύγαν; SG. Εὐπωλίαν; V. Εὐπωλίαν καὶ Προαύγαν; R. videntur nomina filiarum Agesilai fuisse, alterius Αἰτωλία, alterius Ἡροδότα.

2 εἰς deest SG. Pro seq. καθίσασαν V. καθίσαν, καθεῖσαν.

3 SG. ἐκέλευσε.

4 In Apophth. Lac. scriptum est ἑταιρείαν. Sic & SG. h. l. quanquam in edit. Londin. ἑταίρειαν ex hoc cod. enotatum est.

5 V. & SG. βιβλίῳ, quod & in Apoph. Lac. legitur, & Br. probat. Pro Κλέων ibid. datur Κρέων.

εδείκνυε γινομένυς ἐν ταῖς ἐξυσίαις πονηρὺς καὶ πλεονέκτας, εἶτα κρινομένοις πάλιν αὖ βοηθῶν, καὶ συναγωνιζόμενος, οἰκείυς ἐκ διαφόρων ἐποιεῖτο, καὶ μεθίςη πρὸς αὐτόν· ὥςε μηθένα ἀντίπαλον εἶναι. ὁ γὰρ ἕτερος βασιλεὺς, Ἀγησίπολις, ἅτε δὴ πατρὸς μὲν ὢν φυγάδος, ἡλικίᾳ δὲ παντάπασι μειράκιον, φύσει δὲ πρᾶος καὶ κόσμιος, ὐ πολλὰ τῶν πολιτικῶν ἔπραττεν. ὐ μὴν ἀλλὰ καὶ τῦτον ἐποιεῖτο χειροήθη. συσσιτῦσι γὰρ οἱ βασιλεῖς εἰς τὸ αὐτὸ φοιτῶντες φιδίτιον [1], ὅταν ἐπιδημῶσιν. εἰδὼς ὖν ἔνοχον ὄντα τοῖς ἐρωτικοῖς τὸν Ἀγησίπολιν, ὥσπερ ἦν αὐτὸς, ἀεί τινος ὑπῆρχε λόγυ περὶ τῶν ἐν ὥρᾳ· καὶ προῆγε τὸν νεανίσκον εἰς ταὐτὸ, καὶ συνήρα καὶ συνέπραττε, τῶν Λακωνικῶν ἐρώτων ὐδὲν αἰσχρὸν, αἰδῶ δὲ πολλὴν καὶ φιλοτιμίαν καὶ ζῆλον ἀρετῆς ἐχόντων, ὡς ἐν τοῖς περὶ Λυκύργυ γέγραπται.

XXI. Μέγιςον ὖν δυνάμενος ἐν τῇ πόλει, διαπράττεται Τελευτίαν, τὸν ὁμομήτριον ἀδελφὸν, ἐπὶ τῦ ναυτικῦ γενέσθαι. καὶ ςρατευσάμενος εἰς Κόρινθον, αὐτὸς μὲν ᾕρει κατὰ γῆν τὰ μακρὰ [2] τείχη, ταῖς δὲ ναυσὶν ὁ Τελευτίας. Ἀργείων δὲ τὴν Κόρινθον ἐχόντων τότε, καὶ τὰ Ἴσθμια συντελύντων, ἐπιφανεὶς ἐκείνυς μὲν ἐξήλασεν ἄρτι τῷ θεῷ τεθυκότας, τὴν παρασκευὴν ἅπασαν ἀπολιπόντας· ἐπεὶ δὲ τῶν Κορινθίων ὅσοι φυγάδες ἔτυχον παρόντες, ἐδεήθησαν αὐτῦ τὸν ἀγῶνα διαθεῖναι, τῦτο μὲν ὐκ ἐποίησεν, αὐτῶν δ' ἐκείνων διατιθέντων καὶ συντελύντων, παρέμεινε καὶ παρέσχεν ἀσφάλειαν. ὕςερον δ' ἀπελθόντος αὐτῦ, πάλιν ὑπ' Ἀργείων ἤχθη τὰ Ἴσθμια, καί τινες μὲν ἐνίκησαν πάλιν, εἰσὶ δ', οἳ, νενικηκότες πρότερον, ὕςερον [3] ἡττημένοι ἀνεγράφησαν. ἐπὶ τύτῳ δὲ πολλὴν ἀπέφηνε [4] δει-

1 SG. φειδήτιον. V. paulo post ἐνοχλον pro ἔνοχον.
2 V. e Junt. μικρά.
3 In vulg. post h. v. est δὲ, quod R. delevit.
4 R. mavult ἀπεφήνατο.

δειλίαν κατηγορεῖν ἑαυτῶν τοὺς Ἀργείους ὁ Ἀγησίλαος, εἰ σεμνὸν οὕτω καὶ μέγα τὴν ἀγωνοθεσίαν ἡγούμενοι, μάχεσθαι περὶ αὐτῆς οὐκ ἐτόλμησαν. αὐτὸς δὲ πρὸς ταῦτα πάντα μετρίως ᾤετο δεῖν ἔχειν, καὶ τοὺς μὲν οἴκοι χοροὺς καὶ ἀγῶνας ἐπεκόσμει· καὶ συμπαρῆν [1] ἀεὶ, φιλοτιμίας καὶ σπουδῆς μεστὸς ὢν, καὶ οὔτε παίδων, οὔτε παρθένων ἁμίλλης ἀπολειπόμενος· ἃ δὲ τοὺς ἄλλους ἑώρα θαυμάζοντας, ἐδόκει μηδὲ γινώσκειν. καί ποτε Καλλιππίδης [2], ὁ τῶν τραγῳδιῶν ὑποκριτὴς, ὄνομα καὶ δόξαν ἔχων ἐν τοῖς Ἕλλησι, καὶ σπουδαζόμενος ὑπὸ πάντων, πρῶτον μὲν ἀπήντησεν αὐτῷ καὶ προσεῖπεν, ἔπειτα σοβαρῶς εἰς τοὺς περιπατοῦντας [3] ἐμβαλὼν ἑαυτὸν ἐπεδείκνυτο, νομίζων ἐκείνων ἄρξειν τινὸς φιλοφροσύνης· τέλος δ' εἶπεν· Οὐκ ἐπιγινώσκεις με, βασιλεῦ; κἀκεῖνος ἀποβλέψας πρὸς αὐτὸν, εἶπεν· Ἀλλ' οὐ σύγε ἐσσὶ Καλλιππίδας ὁ δεικηλίκτας [4]; οὕτω δὲ Λακεδαιμόνιοι τοὺς μίμους καλοῦσι. παρακαλούμενος δὲ πάλιν ἀκοῦσαι τοῦ τὴν ἀηδόνα μιμουμένου, παρῃτήσατο, φήσας· Αὐτᾶς [5] ἄκουκα. τοῦ δ' ἰατροῦ Μενεκράτους, ἐπεὶ κατατυχὼν [6] ἔν τισιν ἀπεγνωσμέναις θεραπείαις [7], Ζεὺς ἐπεκλήθη, φορτικῶς ταύτῃ χρωμένου τῇ προσωνυμίᾳ, καὶ δῆτα [8] πρὸς ἐκεῖνον ἐπιστεῖλαι τολμήσαντος οὕτως· Μενεκράτης Ζεὺς βασιλεῖ



1 Sic Mos. Dus. cum V. Anon. Mur. & SG. scribendum censuit, deditque R. pro vulg. συμπαρών.

2 Sic scribi voluit Mos. Dus. uti in Apophth. Lac. datur, & dedit R. Vulgo Καλλιπίδης. Pro τραγῳδιῶν Junt. Ald. Crat. SG. τραγῳδῶν. Ap. Lac. τραγῳδοποιῶν.

3 In Apophth. Lac. συμπεριπατοῦντας, quod probo.

4 Sic scribi voluit Mos. Dus. uti in Apophth. Lac. extat, & dedit R. Vulgo δικηλίκτας. Eustath. & Hesych. δεικελίστας scribunt.

5 SG. αὐτός.

6 Br. susp. κατευτυχών. Junt. sola καταχών.

7 V. ἀπεγνωσμένοις θεραπεύμασι.

8 V. καὶ δὴ καί. In Apophth. Lac. καὶ δή.

σιλεῖ Ἀγησιλάῳ χαίρειν· ἀντέγραψε· Βασιλεὺς Ἀγησίλαος Μενεκράτῃ [1] ὑγιαίνειν.

XXII. Διατρίβοντος δὲ περὶ τὴν Κόρινθον [2] αὐτοῦ, καὶ τὸ Ἡραῖον [3] εἰληφότος, καὶ τὰ αἰχμάλωτα τοὺς στρατιώτας ἀγόντας καὶ φερόντας ἐπιβλέποντος, ἀφίκοντο πρέσβεις ἐκ Θηβῶν περὶ φιλίας. ὁ δὲ, μισῶν μὲν ἀεὶ τὴν πόλιν, οἰόμενος δὲ τότε καὶ συμφέρειν ἐνυβρίσαι, προσεποιεῖτο μήθ' ὁρᾷν αὐτοὺς, μήτ' ἀκούειν ἐντυγχανόντων. ἔπαθε δὲ πρᾶγμα νεμεσητόν [4]. οὔπω γὰρ ἀπηλλαγμένων τῶν Θηβαίων, ἧκον τινὲς, ἀγγέλλοντες αὐτῷ, τὴν μόραν [5] ὑπ' Ἰφικράτους κατακεκόφθαι. καὶ πάθος τοῦτο μέγα διὰ πολλοῦ χρόνου συνέπεσεν αὐτοῖς. πολλοὺς γὰρ ἄνδρας ἀγαθοὺς ἀπέβαλον κρατηθέντας ὑπό τε πελταστῶν ὁπλίτας, καὶ μισθοφόρων Λακεδαιμονίους. ἀνεπήδησε μὲν οὖν εὐθὺς ὁ Ἀγησίλαος ὡς βοηθήσων. ἐπεὶ δ' ἔγνω διαπεπραγμένους, αὖθις εἰς τὸ Ἡραῖον ἧκε, καὶ τοὺς Βοιωτοὺς τότε προσελθεῖν κελεύσας ἐχρημάτιζεν· ὡς δ' ἀνθυβρίζοντες ἐκεῖνοι τῆς μὲν εἰρήνης οὐκ ἐμέμνηντο, παρεθῆναι [6] δ' ἠξίουν εἰς Κόρινθον· ὀργισθεὶς ὁ Ἀγησίλαος εἶπεν. Εἴγε βούλεσθε τοὺς φίλους ὑμῶν ἰδεῖν μέγα φρονοῦντας ἐφ' οἷς εὐτυχοῦσιν, αὔριον ἀσφαλῶς ὑμῖν τοῦτο ὑπάρξει. καὶ παραλαβὼν αὐτοὺς τῇ ὑστεραίᾳ, τήν τε χώραν τῶν Κορινθίων ἔκοπτε, καὶ πρὸς τὴν πόλιν αὐτὴν προσῆλθεν. οὕτω δὲ τοὺς Κορινθίους ἐξελέγ-

1 SG. Μενεκράτει. Sic & in Apophth. Lac.

2 Sic Mos. Duf. cum V. dandum censuit, deditque R. pro vulg. Κορινθίαν. SG. Κορινθίων.

3 Br. & Mos. Duf. adnotant, in Xen. dari Πειραῖον, quod omnium optimam scripturam esse censent, & Περαῖον, observant autem simul ex eodem, in Piraeo illo templum Junonis (Ἡραῖον) fuisse, in quod confugerunt omnes, cum extrema ab hostibus teneri viderunt.

4 Xyl. vertit: Nemesis inultum non est passa.

5 SG. V. μοίραν. Sic & infra V. iterum μοίρας.

6 Junt. sola παραθῆναι. Lin. seq. V. φίλους pro φίλους.

ἐλέγξας ἀμύνεσθαι μὴ τολμῶντας, ἀφῆκε τὴν πρεσβείαν. αὐτὸς δὲ τοὺς περιλελειμμένους ἄνδρας ἐκ τῆς μόρας ἀναλαβὼν, ἀπῆγεν εἰς Λακεδαίμονα, πρὸ ἡμέρας ποιούμενους [1] τὰς ἀναζεύξεις, καὶ πάλιν σκοταίους τὰς καταλύσεις· ὅπως οἱ μισοῦντες καὶ βασκαίνοντες τῶν Ἀρκάδων μὴ ἐπιχαίρωσιν. ἐκ τούτου χαριζόμενος τοῖς Ἀχαιοῖς, διέβαινεν εἰς Ἀκαρνανίαν στρατείᾳ [2] μετ' αὐτῶν, καὶ πολλὴν μὲν ἠλάσατο λείαν, μάχῃ δὲ τοὺς Ἀκαρνᾶνας ἐνίκησε. δεομένων δὲ τῶν Ἀχαιῶν, ὅπως τὸν χειμῶνα παραμείνας, ἀφέληται τὸν σπόρον τῶν πολεμίων, τοὐναντίον ἔφη ποιήσειν· μᾶλλον γὰρ φοβηθήσεσθαι τὸν πόλεμον αὐτοὺς, ἐὰν ἐσπαρμένην τὴν γῆν εἰς ὥρας ἔχωσιν. ὃ καὶ συνέβη· παραγενομένης [3] γὰρ αὖθις ἐπ' αὐτοὺς στρατείας, διηλλάγησαν τοῖς Ἀχαιοῖς.

XXIII. Ἐπεὶ δὲ Κόνων καὶ Φαρνάβαζος, τῷ βασιλέως ναυτικῷ θαλαττοκρατοῦντες, ἐπολιόρκουν [4] τὰ παράλια τῆς Λακωνικῆς, ἐτειχίσθη δὲ καὶ τὸ ἄστυ τῶν Ἀθηναίων, Φαρναβάζου χρήματα δόντος, ἔδοξε τοῖς Λακεδαιμονίοις εἰρήνην ποιεῖσθαι πρὸς βασιλέα· καὶ πέμπουσιν Ἀνταλκίδαν πρὸς Τηρίβαζον [5] αἴσχιστα καὶ παρανομώτατα τοὺς τὴν Ἀσίαν κατοικοῦντας Ἕλληνας, ὑπὲρ ὧν ἐπολέμησεν Ἀγησίλαος, βασιλεῖ παραδιδόντες. ὅθεν ἥκιστα συνέβη τῆς κακοδοξίας ταύτης Ἀγησιλάῳ μετασχεῖν. ὁ γὰρ Ἀνταλκίδας ἐχθρὸς ἦν αὐτῷ, καὶ τὴν εἰρήνην ἐξ ἅπαντος ἔπραττεν, ὡς τοῦ πολέμου τὸν Ἀγησίλαον αὔξοντος, καὶ ποιοῦντος ἐνδοξότατον καὶ μέγιστον.



1 Mos. Dus. mavult ποιούμενος. V. διαζεύξεις pro ἀναζ.

2 R. legendum censet aut ἐν στρατιᾷ, aut ἐπὶ στρατείᾳ. V. στρατιᾷ.

3 Legi etiam παραγγελλομένης, testatur H. Steph. Sic V. quod in ind. Br. & in nota R. datur παραγγελλ.

4 Teste H. Steph. etiam legitur ἐπόρθουν. Sic V. Probat idem Mos. Dus.

5 SG. Τιρίβαζον.

ὐ μὴν ἀλλὰ καὶ πρὸς τὸν εἰπόντα τὰς Λακεδαιμονίυς μηδίζειν, ὁ Ἀγησίλαος ἀπεκρίνατο, μᾶλλον τὺς Μήδυς λακωνίζειν. τὺς δὲ μὴ βυλομένυς [1] δέχεσθαι τὴν εἰρήνην, ἀπειλῶν καὶ καταγγέλλων πόλεμον, ἠνάγκασεν ἐμμεῖναι πάντας, οἷς ὁ Πέρσης ἐδικαίωσε, μάλιστα διὰ τὺς Θηβαίυς, ὅπως, αὐτόνομον τὴν Βοιωτίαν ἀφέντες, ἀσθενέστεροι γένωνται. δῆλον δὲ τῦτο τοῖς ὕστερον ἐποίησεν. ἐπεὶ γὰρ Φοιβίδας ἔργον εἰργάσατο δεινὸν, ἐν σπονδαῖς καὶ εἰρήνῃ [2] τὴν Καδμείαν καταλαβὼν, καὶ πάντες μὲν ἠγανάκτυν οἱ Ἕλληνες, χαλεπῶς δ' ἔφερον οἱ Σπαρτιᾶται, καὶ μάλιστα οἱ διαφερόμενοι τῷ Ἀγησιλάῳ, μετ' ὀργῆς ἐπυνθάνοντο τῦ Φοιβίδυ, τίνος ταῦτα κελεύσαντος ἔπραξεν, εἰς ἐκεῖνον τὴν ὑπόνοιαν τρέποντες [3]· ὐκ ὤκνησε τῷ Φοιβίδᾳ βοηθῶν λέγειν ἀναφανδὸν, ὅτι δεῖ τὴν πρᾶξιν αὐτὴν, εἴ τι χρήσιμον ἔχει σκοπεῖν· τὰ γὰρ συμφέροντα τῇ Λακεδαίμονι καλῶς ἔχειν αὐτοματίζεσθαι, κἂν μηδεὶς κελεύσῃ. καίτοι τῷ λόγῳ πανταχῦ τὴν δικαιοσύνην ἀπέφαινε πρωτεύειν τῶν ἀρετῶν· ἀνδρείας μὲν γὰρ ὐδὲν ὄφελος εἶναι, μὴ παρύσης δικαιοσύνης· εἰ δὲ δίκαιοι πάντες γένοιντο, μηδὲν ἀνδρείας δεήσεσθαι. πρὸς δὲ τὺς λέγοντας, ὅτι ταῦτα δοκεῖ τῷ μεγάλῳ βασιλεῖ· Τί δ' [4] ἐκεῖνος ἐμῦ, εἶπε, μείζων, εἰ μὴ δικαιότερος; ὀρθῶς καὶ καλῶς οἰόμενος δεῖν τῷ δικαίῳ, καθάπερ μέτρῳ βασιλικῷ, μετρεῖσθαι τὴν ὑπεροχὴν τῦ μείζονος. ἣν δὲ, τῆς εἰρήνης γενομένης, ἔπεμψεν αὐτῷ περὶ ξενίας καὶ φιλίας ἐπιστολὴν ὁ βασιλεὺς, ὐκ ἔλαβεν, εἰπὼν ἐξαρκεῖν τὴν κοινὴν φιλίαν, καὶ μηδὲν ἰδίας δεήσεσθαι, μενύσης ἐκείνης. ἐν δὲ τοῖς ἔργοις ὐκ-

ἔτι

1 Hos accus. in dativos mutari voluit H. Steph. auctoritate suorum codd. Sic & V. τοῖς δὲ μὴ βυλομένοις.

2 Palmer. addi vult καὶ πανηγύρει. Pro Καδμείαν SG. scribit Καδμίαν hic & infra.

3 Iunt. sola τρέποντος.

4 SG. τί δαί.

ἔτι ταύτην διαφυλάττων τὴν δόξαν, ἀλλὰ τῇ φιλοτιμίᾳ καὶ τῇ φιλονεικίᾳ [1] πολλαχοῦ συνεκφερόμενος, καὶ μάλιστα τῇ πρὸς Θηβαίους, οὐ μόνον ἔσωσε τὸν Φοιβίδαν, ἀλλὰ καὶ τὴν πόλιν ἔπεισεν εἰς αὐτὴν ἀναδέξασθαι τὸ ἀδίκημα, καὶ κατέχειν τὴν Καδμείαν δι' ἑαυτῆς, τῶν δὲ πραγμάτων καὶ τῆς πολιτείας Ἀρχίδαν [2] καὶ Λεοντίδαν ἀποδεῖξαι κυρίους, δι' ὧν ὁ Φοιβίδας εἰσῆλθε, καὶ κατέλαβε τὴν ἀκρόπολιν.

XXIV. Ἦν [3] μὲν οὖν εὐθὺς ἐκ τούτων ὑπόνοια, Φοιβίδου μὲν ἔργον εἶναι, βούλημα δ' Ἀγησιλάου, τὸ πεπραγμένον. αἱ δὲ ὕστεραι πράξεις ὁμολογουμένην ἐποίησαν τὴν αἰτίαν. ὡς γὰρ ἐξέβαλον οἱ Ἀθηναῖοι [4] τὴν φρουρὰν, καὶ τὴν πόλιν ἠλευθέρουν, ἐγκαλῶν αὐτοῖς, ὅτι τὸν Ἀρχίδαν καὶ τὸν Λεοντίδαν ἀπεκτόνεσαν, ἔργῳ μὲν τυράννους, λόγῳ δὲ πολεμάρχους ὄντας, ἐξήνεγκε πόλεμον πρὸς αὐτούς. καὶ Κλεόμβροτος ἤδη βασιλεύων, Ἀγησιπόλιδος τεθνηκότος, εἰς Βοιωτίαν ἐπέμφθη μετὰ δυνάμεως. ὁ γὰρ Ἀγησίλαος, ὡς ἔτη τεσσαράκοντα γεγονὼς ἀφ' ἥβης, καὶ στρατείας ἔχων ἄφεσιν ὑπὸ τῶν νόμων, ἔφυγε τὴν στρατηγίαν [5] ἐκείνην, αἰσχυνόμενος, εἰ Φλιασίοις ὀλίγον ἔμπροσθεν ὑπὲρ φυγάδων πεπολεμηκὼς, αὖθις ὀφθήσεται Θηβαίους κακῶς ποιῶν διὰ τοὺς τυράννους. ἦν δέ τις Λάκων Σφοδρίας, ἐκ τῆς ὑπεναντίας στάσεως τῷ Ἀγησιλάῳ, τεταγμένος ἐν Θεσπιαῖς [6] ἁρμοστής,

1 SG. τῇ φιλονεικίᾳ καὶ τῇ φιλονεικίᾳ.
2 Mos. Duf. & Br. scribi volunt Ἀρχίαν, hic & infra.
3 V. pro ἦν dat ἡ.
4 Interpp. Mose Duf. notante, male h. l. Thebanos pro Atheniensibus reposuerunt. Pro seq. αὐτοῖς idem legi vult Θηβαίοις. R. autem monente, hi ipsi praemisso vocabulo τὴν πόλιν designantur. Pro ἠλευθέρουν V. ἠλευθέρωσαν.
5 Junt. Ald. Crat. SG. στρατείαν. Ejus lectionis quoque H. Steph. mentionem facit.
6 Legi quoque Θεράπναις, H. Steph. testatur. V. θεραπαίναις.

ϛῆς, ἐκ ἄτολμος μὲν, ἐδ' ἀφιλότιμος ἀνὴρ, ἀεὶ δ' ἐλπίδων μᾶλλον, ἢ φρενῶν ἀγαθῶν, μεϛός. ἔτος ἐπιθυμῶν ὀνόματος μεγάλε, καὶ τὸν Φοιβίδαν νομίζων ἔνδοξον γεγονέναι καὶ περιβόητον ἀπὸ τε περὶ Θήβας τολμήματος, ἐπείθη πολὺ κάλλιον εἶναι καὶ λαμπρότερον, εἰ τὸν Πειραιᾶ καταλάβῃ [1] δι' ἑαυτε, καὶ τῶν Ἀθηναίων ἀφέλοιτο τὴν θάλασσαν, ἐκ γῆς ἀπροσδοκήτως ἐπελθών. λέγεσι δὲ τἔτο μηχάνημα γενέθαι τῶν περὶ Πελοπίδαν καὶ Μέλωνα [2] Βοιωτάρχων. ὑπέπεμψαν γὰρ ἀνθρώπες λακωνίζειν προσποιεμένες, οἳ τὸν Σφοδρίαν ἐπαινεντες καὶ μεγαλύνοντες ὡς ἔργε τηλικέτε μόνον ἄξιον, ἐπῆραν καὶ παρώρμησαν ἀνελέθαι πρᾶξιν, ἄδικον μὲν ὁμοίως ἐκείνῃ καὶ παράνομον, τόλμης δὲ καὶ τύχης ἐνδεᾶ γενομένην. ἡμέρα γὰρ αὐτὸν ἐν τῷ Θριασίῳ πεδίῳ κατέλαβε καὶ κατέλαμψεν [3], ἐλπίσαντα νυκτὸς προσμίξειν τῷ Πειραιεῖ [4]. καὶ φῶς ἀφ' ἱερῶν τινῶν Ἐλευσινόθεν ἰδόντας, λέγεσι, φρίξαι καὶ περιφόβες γενέθαι τὲς ϛρατιώτας. αὐτὸς δὲ τε θράσες ἐξέπεσεν, ὡς ἐκέτι λαθεῖν ἦν· καί τινα βραχεῖαν ἁρπαγὴν θέμενος, αἰσχρῶς ἀνεχώρησε καὶ ἀδόξως εἰς τὰς Θεσπιάς. ἐκ δὲ τέτε κατήγοροι μὲν ἐπέμφθησαν εἰς Σπάρτην ἐξ Ἀθηνῶν, εὗρον δὲ κατηγόρων [5] μηδὲν ἐπὶ τὸν Σφοδρίαν δεομένες τὲς ἄρχοντας, ἀλλὰ θανάτε κρίσιν αὐτῷ προειρηκότας· ἣν ἐκεῖνος ὑπομένειν ἀπέγνω [6], φοβέμενος τὴν ὀργὴν τῶν πολιτῶν, αἰσχυνομένων τὲς Ἀθηναίες, καὶ βελομένων συναδικεῖθαι δοκεῖν, ἵνα μὴ συναδικεῖν δοκῶσιν.

XXV.

1 SG. καταλάβοι.

2 Sic ſcribendum cenſuit Br. deditque R. Vulgo Γέλωνα.

3 Ita etiam SG. ſed ſuperſcriptum eſt eadem manu κατέπαυσεν.

4 V. προσμίξαν τῷ Πελοπίδᾳ. Junt. & SG. τῷ Πελοπίδᾳ. Pro Ἐλευσινόθεν SG. Ἔλευσιν ἔθεν.

5 V. κατηγορίας.

6 Junt. ſola ἐπέγνω.

XXV. Εἶχεν οὖν ὁ Σφοδρίας υἱὸν Κλεώνυμον, οὗ παιδὸς ὄντος ἔτι καὶ καλοῦ τὴν ὄψιν Ἀρχίδαμος, ὁ Ἀγησιλάου τοῦ βασιλέως υἱὸς, ἤρα· καὶ τότε συνηγωνία μὲν, ὡς εἰκὸς ἦν, κινδυνεύοντι αὐτῷ περὶ τοῦ πατρὸς, συμπράττειν δὲ φανερῶς καὶ βοηθεῖν οὐκ εἶχεν. ἦν γὰρ ὁ Σφοδρίας ἐκ τῶν διαφόρων τοῦ Ἀγησιλάου. τοῦ δὲ Κλεωνύμου προσελθόντος αὐτῷ, καὶ μετὰ δεήσεως καὶ δακρύων ἐντυχόντος, ὅπως τὸν Ἀγησίλαον εὔνουν παράσχῃ, μάλιστα γὰρ ἐκεῖνον αὐτοῖς φοβερὸν εἶναι, τρεῖς μὲν, ἢ τέσσαρας, ἡμέρας αἰδούμενος τὸν πατέρα καὶ δεδιὼς, σιωπῇ παρηκολούθει· τέλος δὲ, τῆς κρίσεως ἐγγὺς οὔσης, ἐτόλμησεν εἰπεῖν πρὸς τὸν Ἀγησίλαον, ὅτι Κλεώνυμος αὐτοῦ δεηθείη περὶ τοῦ πατρός. ὁ δ' Ἀγησίλαος εἰδὼς ἐρῶντα τὸν Ἀρχίδαμον, οὐκ ἔπαυεν. ἦν γὰρ ὁ Κλεώνυμος εὐθὺς ἐκ παίδων ἐπίδοξος, εἴ τις καὶ ἄλλος, ἀνὴρ ἔσεσθαι σπουδαῖος. οὐ μὴν ἐνέδωκέ τι τότε χρηστὸν, ἢ φιλάνθρωπον, ἐλπίσαι δεομένῳ τῷ παιδί· σκέψεσθαι [1] δὲ φήσας, ὅ τι καλῶς ἔχει καὶ πρεπόντως, ἀπῆλθεν. αἰδούμενος οὖν ὁ Ἀρχίδαμος, ἐξέλιπε τὸ [2] προσιέναι τῷ Κλεωνύμῳ, καίπερ εἰωθὼς πολλάκις τοῦτο τῆς ἡμέρας ποιεῖν πρότερον. ἐκ δὲ τούτου κἀκεῖνοι [3] τὰ κατὰ τὸν Σφοδρίαν μᾶλλον ἀπέγνωσαν· ἄχρις [4] οὗ τῶν Ἀγησιλάου φίλων Ἐτυμοκλῆς ἔν τινι κοινολογίᾳ πρὸς αὐτοὺς, ἀπεγύμνωσε τὴν γνώμην τοῦ Ἀγησιλάου· τὸ μὲν γὰρ ἔργον ὡς ἔνι μάλιστα ψέγειν αὐτὸν, ἄλλως γε μὴν ἄνδρα τὸν Σφοδρίαν ἀγαθὸν ἡγεῖσθαι, καὶ τὴν πόλιν ὁρᾶν τοιούτων στρατιωτῶν δεομένην. τούτους γὰρ ὁ Ἀγη-

1 H. Steph. & Br. sic reponendum censuerunt, deditque R. pro vulg. σκέψασθαι. Pro sep. ἔχει SG. ἔχοι.

2 SG. ἐξέλειπε τῷ. Seq. προσιέναι dari voluit H. Steph. deditque R. pro vulg. προσεῖναι.

3 Sphodrias, Cleonymus, Archidamus, & quicunque cum iis facerent. R.

4 SG. ἄχρι. Sic & Junt.

Ἀγησίλαος ἑκάστοτε τοὺς λόγους ἐποιεῖτο περὶ [1] τῆς δίκης, τῷ παιδὶ χαρίζεσθαι βουλόμενος· ὥστε καὶ τὸν Κλεώνυμον εὐθὺς αἰσθάνεσθαι τὴν σπουδὴν τοῦ Ἀρχιδάμου, καὶ τοὺς φίλους τοὺς τοῦ Σφοδρίου θαῤῥοῦντας ἤδη βοηθεῖν. ἦν δὲ καὶ φιλότεκνος ὁ Ἀγησίλαος διαφερόντως, καὶ περὶ ἐκείνου τὸ τῆς παιδιᾶς [2] λέγουσιν, ὅτι μικροῖς τοῖς παιδίοις οὖσι κάλαμον περιβεβηκὼς, ὥσπερ ἵππον, οἴκοι συνέπαιζεν· ὀφθεὶς δὲ ὑπό τινος τῶν φίλων, παρεκάλει μηδενὶ φράσαι, πρὶν ἂν καὶ αὐτὸς πατὴρ παίδων γένηται.

XXVI. Ἀπολυθέντος δὲ τοῦ Σφοδρίου, καὶ τῶν Ἀθηναίων, ὡς ἐπύθοντο πρὸς πόλεμον τραπομένων, σφόδρα κακῶς ὁ Ἀγησίλαος ἤκουσε, δι᾽ ἐπιθυμίαν ἄτοπον καὶ παιδαριώδη δοκῶν ἐμποδὼν γεγονέναι κρίσει δικαίᾳ, καὶ τὴν πόλιν παραίτιον ἀπειργάσθαι παρανομημάτων τηλικούτων εἰς τοὺς Ἕλληνας. ἐπεὶ δὲ τὸν [υἱὸν [3]] Κλεόμβροτον οὐχ ἑώρα πρόθυμον ὄντα πολεμεῖν τοῖς Θηβαίοις, οὕτω δὴ χαίρειν τὸν νόμον ἐάσας, ᾧ πρόσθεν ἐχρῆ-

1 Br. susp. πρὸ τ. δ.

2 R. ad haec: „Agesilaum ut doceant liberorum fuisse amantissimum, perhibent eum consuevisse illud genus ludi exercere, quod vulgo solet in proverbiali locutione pro exemplo puerilium ineptiarum celebrari, nempe arundini longae inequitasse. In τὸ τῆς παιδιᾶς subauditur εἰωθὸς καὶ γνώριμον ἐπίδειγμα καὶ παροιμιῶδες. Nescio tamen, an potius legendum sit τὸ τῆς παροιμίας."

3 Optime huic loco consuluisse mihi videtur R. cum Xylandro, quod hanc vocem, ut alienam, uncis includendam curaverit. Cleombrotus non fuit Agesilai filius, ut ex textu fere colligere licet, & Grynaeus ipse vertit, sed filius Pausaniae, frater Agesipolidis; quo mortuo sine liberis regnum ad eum transiit. Mos. Du s. pro Κλεόμβ. suspicatus est Ἀρχίδαμον, filium Agesilai, quippe cui ab Ephoris delatum fuerit hoc imperium: Cum autem patri filius ad id bellum non satis propensus videretur, ipsum patrem illud in se recepisse.

ἐχρῆτο [1] περὶ τῆς στρατείας, αὐτὸς εἰς Βοιωτίαν ἐνέβαλεν ἤδη, καὶ κακῶς ἐποίει τοὺς Θηβαίους, καὶ πάλιν ἀντέπασχεν· ὥστε καὶ τρωθέντος αὐτοῦ ποτὲ τὸν Ἀνταλκίδαν εἰπεῖν· Ἦ καλὰ διδασκάλια παρὰ Θηβαίων ἀπολαμβάνεις, μὴ βουλομένους αὐτοὺς μηδ' ἐπισταμένους, μάχεσθαι διδάξας. τῷ γὰρ ὄντι Θηβαίους αὐτοὺς ἑαυτῶν πολεμικωτάτους τότε γενέσθαι φασὶ, ταῖς πολλαῖς στρατείαις τῶν Λακεδαιμονίων ἐπ' αὐτοὺς ὥσπερ ἐγγυμνασαμένους. διὸ καὶ Λυκοῦργος ὁ παλαιὸς ἐν ταῖς καλουμέναις τρισὶ ῥήτραις ἀπεῖπε μὴ πολλάκις ἐπὶ τοὺς αὐτοὺς στρατεύειν, ὅπως μὴ πολεμεῖν μανθάνωσιν. ἦν δὲ καὶ τοῖς συμμάχοις τῶν Λακεδαιμονίων ἐπαχθὴς ὁ Ἀγησίλαος, ὡς δι' οὐδὲν ἔγκλημα δημόσιον, ἀλλὰ θυμῷ τινι καὶ φιλονεικίᾳ τοὺς Θηβαίους ἀπολέσαι ζητῶν. οὐδὲν οὖν ἔλεγον δεόμενοι φθείρεσθαι, δεῦρο [2] κἀκεῖσε καθ' ἕκαστον ἐνιαυτὸν ὀλίγοις τοσοῦτοι συνακολουθοῦντες. ἔνθα δὴ [3] λέγεται τὸν Ἀγησίλαον, ἐξελέγξαι βουλόμενον αὐτῶν τὸ πλῆθος, τάδε μηχανήσασθαι. πάντας ἐκέλευσε καθίσαι τοὺς συμμάχους μετ' ἀλλήλων ἀναμεμιγμένους, ἰδίᾳ δὲ τοὺς Λακεδαιμονίους ἐφ' ἑαυτῶν. εἶτ' ἐκήρυττε τοὺς κεραμεῖς ἀνίστασθαι πρότερον [4]. ὡς δ' ἀνέστησαν οὗτοι, δεύτερον ἐκήρυττε τοὺς χαλκεῖς, εἶτα τέκτονας, ἑξῆς καὶ οἰκοδόμους, καὶ τῶν ἄλλων τεχνῶν ἑκάστην. πάντες οὖν ὀλίγου δεῖν ἀνέστησαν οἱ σύμμαχοι, τῶν δὲ Λακεδαιμονίων

1 R. susp. — ἐχρῆτο, τὸν περὶ ἀφέσεως τῆς στρ. aut τὸν περὶ ἐτῶν τῆς στρ. aut ἐχρῆτο, περιεχόμενος τῆς στρατείας αὐτὸς ἤδη.

2 Videndum monet H. Steph. annon φθείρεσθαι sequentibus jungi debeat. Schirach hanc periodum cum praecedenti arcte conjungit, omissis vocibus οὐδὲν — φθείρ. — dass er die Thebaner, ohne eine öffentliche Staatsbeschuldigung gegen sie vorbringen zu können, blos aus Privathass ganz zu Grunde zu richten suchte, und dass sie in grosser Anzahl nur von wenigen Spartanern begleitet alle Jahre herumziehen mussten.

3 SG. ἔνθα δὲ δή.

4 V. πρῶτον. Paulo post id. ἐφεξῆς pro ἑξῆς.

νίων ὐδείς· ἀπείρητο γὰρ αὐτοῖς τέχνην ἐργάζεσθαι καὶ μανθάνειν βάναυσον. οὕτω δὴ γελάσας ὁ Ἀγησίλαος· Ὁρᾶτε, εἶπεν, ὦ ἄνδρες, ὅσῳ πλείονας ὑμῶν στρατιώτας ἐκπέμπομεν ἡμεῖς.

XXVII. Ἐν δὲ Μεγάροις, ὅτε τὴν στρατιὰν [1] ἀπῆγεν ἐκ Θηβῶν, ἀναβαίνοντος αὐτοῦ πρὸς τὸ ἀρχεῖον εἰς τὴν ἀκρόπολιν, σπάσμα καὶ πόνος ἰσχυρὸς [2] ἔλαβε τὸ ὑγιὲς σκέλος· ἐκ δὲ τούτου διογκωθὲν, μεστὸν αἵματος ἔδοξε γεγονέναι [3], καὶ Φλεγμονὴν ὑπερβάλλουσαν παρεῖχεν. ἰατροῦ δέ τινος Συρακουσίου τὴν ὑπὸ τῷ σφυρῷ φλέβα χάσαντος, αἱ μὲν ἀλγηδόνες ἔληξαν, αἵματος δὲ πολλοῦ φερομένου καὶ ῥέοντος ἀνεπισχέτως, λειποψυχία [4] πολλὴ καὶ κίνδυνος ὀξὺς ἀπ' αὐτῆς περιέστη τὸν Ἀγησίλαον. οὐ μὴν ἀλλὰ τότε γε τὴν φορὰν τοῦ αἵματος ἔπαυσε, καὶ κομισθεὶς εἰς Λακεδαίμονα, πολὺν χρόνον ἔσχεν ἀῤῥώστως, καὶ πρὸς τὰς στρατείας ἀδυνάτως. ἐν δὲ τῷ χρόνῳ τούτῳ πολλὰ συνέβη πταίσματα τοῖς Σπαρτιάταις καὶ κατὰ γῆν καὶ κατὰ θάλατταν· ὧν ἦν τὸ περὶ Λεῦκτρα [5] μέγιστον, ὅπου πρῶτον ἐκ παρατάξεως κρατηθέντες ὑπὸ Θηβαίων ἡττήθησαν. ἔδοξεν οὖν πᾶσι θέσθαι πρὸς πάντας εἰρήνην· καὶ συνῆλθον ἀπὸ τῆς

1 SG. στρατείαν, Sic & Junt. Ald. Crat. — Correxit Steph.

2 πόνον ἰσχυρὸν in SG. & Junt. — ἔλαυε in Crat.

3 V. γενέσθαι. — Paulo post ὑπερβάλλουσαν. Id. cod. Συῤῥακουσίου pro Συρακ.

4 SG. λιποψυχία. V. λειποθυμία.

5 Teste Palmerio, alii codd. habent Τεγύρας, quod idem probat, cum haec dicantur multo ante Leuctricam pugnam, quo tempore Epaminondas adhuc privatus fuerit. Codd. Steph. eandem exhibent lectionem; V. ὧν ἦν καὶ τὸ περὶ τέτρας. SG. λεῦκτραν: Sic & Junt. Schirach cum Dacerio vulgatam tuetur, cum pugna Tegyrensis non dici possit ἐκ παρατάξεως facta, nec μέγιστον πταῖσμα. Kind est ex partibus Palmerii. Meo sensu haec constructio est mera parenthesis, sive a Plutarcho nulla temporis ratione habita inserta, sive a librario e scholio cujusdam in textum intrusa.

τῆς Ἑλλάδος πρέσβεις εἰς Λακεδαίμονα ποιησόμενοι τὰς διαλύσεις. ὧν εἷς ἦν Ἐπαμεινώνδας, ἀνὴρ ἔνδοξος ἐπὶ παιδείᾳ καὶ φιλοσοφίᾳ, στρατηγίας δὲ πεῖραν οὔπω δεδωκώς. οὗτος ὁρῶν τοὺς ἄλλους ἅπαντας ὑποκατακλινομένους τῷ Ἀγησιλάῳ, μόνος ἐχρήσατο φρονήματι παῤῥησίαν ἔχοντι, καὶ διεξῆλθε λόγον, οὐχ ὑπὲρ Θηβαίων, ἀλλ' ὑπὲρ τῆς Ἑλλάδος ὁμοῦ κοινόν [1]· τὸν μὲν πόλεμον ἀποδεικνύων αὔξοντα τὴν Σπάρτην, ἐξ ὧν ἅπαντες οἱ λοιποὶ κακῶς πάσχουσι, τὴν δ' εἰρήνην ἰσότητι καὶ τῷ δικαίῳ κτᾶσθαι κελεύων· οὕτω γὰρ ἂν αὐτὴν διαμένειν, ἴσων ἁπάντων γενομένων.

XXVIII. Ὁρῶν οὖν ὁ Ἀγησίλαος ὑπερφυῶς ἀγαμένους καὶ προσέχοντας αὐτῷ τοὺς Ἕλληνας, ἠρώτησεν, εἰ νομίζοι δίκαιον εἶναι καὶ ἴσον, αὐτονομεῖσθαι τὴν Βοιωτίαν. ἀντερωτήσαντος δὲ τοῦ Ἐπαμεινώνδου ταχὺ καὶ τεθαῤῥηκότως, εἰ κἀκεῖνος οἴεται δίκαιον εἶναι αὐτονομεῖσθαι τὴν Λακωνικὴν [2], ἀναπηδήσας ὁ Ἀγησίλαος μετ' ὀργῆς, ἐκέλευσε λέγειν σαφῶς αὐτὸν, εἰ τὴν Βοιωτίαν ἀφίησιν [3] αὐτόνομον. τὸ δὲ αὐτὸ τοῦτο πάλιν τοῦ Ἐπαμεινώνδου φήσαντος, εἰ τὴν Λακωνικὴν ἀφίησιν αὐτόνομον, οὕτω τραχέως ἔσχεν ὁ Ἀγησίλαος, καὶ τὴν πρόφασιν ἠγάπησεν, ὡς εὐθὺς ἐξαλεῖψαι τὸ τῶν Θηβαίων ὄνομα τῆς εἰρήνης, καὶ προειπεῖν [4] πόλεμον αὐτοῖς· τοὺς δ' ἄλλους Ἕλληνας διαλλαγέντας ἐκέλευσεν ἀπιέναι, τὰ μὲν ἀκεστὰ τῆς εἰρήνης, τὰ δ' ἀνήκεστα τοῦ πολέμου ποι-

1 Teste H. Steph. in nonnullis exempl. post h. v. inveniuntur haec verba καὶ πρὸς τὴν Ἑλλάδα.

2 Teste H. Steph. legitur etiam τοὺς Ἕλληνας. Sic V.

3 V. ἀφιᾶσιν.

4 V. προσειπεῖν.

ποιῦντας [1]. ἔργον γὰρ ἦν πάσας ἐκκαθῆραι [2] καὶ διαλῦσαι τὰς ἀμφιλογίας. ἔτυχε δὲ κατ' ἐκεῖνον τὸν χρόνον ἐν Φωκεῦσιν ὢν ὁ Κλεόμβροτος μετὰ δυνάμεως. εὐθὺς οὖν ἔπεμπον οἱ ἔφοροι κελεύοντες αὐτὸν ἐπὶ Θηβαίους ἄγειν τὸ στράτευμα· καὶ τοὺς συμμάχους περιπέμποντες ἤθροιζον, ἀπροθύμους μὲν ὄντας καὶ βαρυνομένους τὸν πόλεμον, οὔπω δὲ θαῤῥοῦντας ἀντιλέγειν, οὐδ' ἀπειθεῖν τοῖς Λακεδαιμονίοις. πολλῶν δὲ σημείων μοχθηρῶν γενομένων, ὡς ἐν τῷ περὶ Ἐπαμεινώνδου γέγραπται, καὶ Προθόου τοῦ Λάκωνος ἐναντιουμένου πρὸς τὴν στρατείαν, οὐκ ἀνῆκεν ὁ Ἀγησίλαος, ἀλλ' ἐξέπραξε τὸν πόλεμον, ἐλπίζων αὐτοῖς μὲν, αὐτονόμου τῆς Ἑλλάδος ὅλης ὑπαρχούσης, ἐκσπόνδων δὲ τῶν Θηβαίων γενομένων [3], καιρὸν εἶναι δίκην λαβεῖν παρ' αὐτῶν. δηλοῖ δὲ τὸ σὺν ὀργῇ μᾶλλον, ἢ λογισμῷ, γενέσθαι τὴν στρατείαν ἐκείνην ὁ καιρός. τῇ γὰρ τετράδι ἐπὶ δέκα τοῦ Σκιροφοριῶνος μηνὸς ἐποιήσαντο τὰς σπονδὰς ἐν Λακεδαίμονι, τῇ δὲ πέμπτῃ τοῦ Ἑκατομβαιῶνος ἡττήθησαν ἐν Λεύκτροις, ἡμερῶν εἴκοσι διαγενομένων. ἀπέθανον δὲ χίλιοι Λακεδαιμονίων, καὶ Κλεόμβροτος ὁ βασιλεὺς, καὶ περὶ αὐτὸν οἱ κράτιστοι τῶν Σπαρτιατῶν. ἐν οἷς καὶ Κλεώνυμόν φασι τὸν Σφοδρίου, τὸν καλὸν, τρὶς πεσόντα [4] πρὸ τοῦ βασιλέως, καὶ τοσαυτάκις ἐξαναστάντα, καὶ μαχόμενον τοῖς Θηβαίοις, ἀποθανεῖν.

XXIX. Συμβάντος δὲ τοῖς Λακεδαιμονίοις πταίσματος ἀπροσδοκήτου, καὶ τοῖς Θηβαίοις πρὸς δόξαν εὐτυχήματος, οἷον οὐ γέγονεν ἄλλοις Ἕλλησι πρὸς Ἕλληνας

1 *Labes emendabiles paci, medicinam respuentes bello imputare*, illas in beneficiis pacis, has in malis e bello necessario existentibus. R. De hoc loco Br. susp. ita legendum *ποιοῦντας ἔργον· οὐ γάρ*.

2 V. *ἐκκαθῆναι*. An fuit *ἐξιαθῆναι*? Pro *ἀμφιλ.* Id. *ἀμφιβολίας*. Post *ἔτυχε δὲ* inserit idem *καί*.

3 V. *γεγονότων*.

4 SG. *περιπεσόντα*.

λήνας ἀγωνισαμένοις, οὐδὲν ἄν τις ἧττον ἐζήλωσε τῆς ἀρετῆς καὶ ἠγάσθη τὴν ἡττημένην πόλιν, ἢ τὴν νικῶσαν. ὁ μὲν γὰρ Ξενοφῶν φησι [1], τῶν ἀγαθῶν ἀνδρῶν ἔχειν τι καὶ τὰς ἐν οἴνῳ καὶ παιδιᾷ φωνὰς καὶ διατριβὰς ἀξιομνημόνευτον· ὀρθῶς λέγων. ἔστι δ' οὐχ ἧττον, ἀλλὰ καὶ μᾶλλον ἄξιον κατανοεῖν καὶ θεᾶσθαι τῶν ἀγαθῶν, ἃ παρὰ [2] τὰς τύχας πράττουσι καὶ λέγουσι διευσχημονοῦντες. ἔτυχε μὲν γὰρ ἡ πόλις ἑορτὴν ἄγουσα, καὶ ξένων οὖσα μεστή. γυμνοπαιδιαὶ γὰρ ἦσαν ἀγωνιζομένων χορῶν ἐν τῷ θεάτρῳ [3]. παρῆσαν δ' ἀπὸ Λεύκτρων οἱ τὴν συμφορὰν ἀπαγγέλλοντες. οἱ δ' ἔφοροι, καίπερ εὐθὺς ὄντος καταφανοῦς, ὅτι διέφθαρται τὰ πράγματα, καὶ τὴν ἀρχὴν ἀπολωλέκασιν, οὔτε χορὸν ἐξελθεῖν εἴασαν, οὔτε τὸ σχῆμα τῆς ἑορτῆς μεταβαλεῖν τὴν πόλιν· ἀλλὰ κατ' οἰκίαν τῶν τεθνεώτων τοῖς προσήκουσι τὰ ὀνόματα πέμψαντες, αὐτοὶ τὰ περὶ τὴν θέαν καὶ τὸν ἀγῶνα τῶν χορῶν ἔπραττον. ἅμα δ' ἡμέρᾳ φανερῶν ἤδη γεγονότων πᾶσι τῶν τε σωζομένων καὶ τῶν τεθνεώτων, οἱ μὲν τῶν τεθνεώτων πατέρες καὶ κηδεσταὶ καὶ οἰκεῖοι καταβαίνοντες εἰς ἀγορὰν, ἀλλήλους ἐδεξιοῦντο λιπαροὶ τὰ πρόσωπα [4], φρονήματος μεστοὶ καὶ γήθους [5]. οἱ δὲ τῶν σωζομένων ὥσπερ ἐπὶ πένθει, μετὰ τῶν γυναικῶν οἴκοι διέτριβον. εἰ δέ τις ὑπ' ἀνάγκης προέλθοι, καὶ σχήματι καὶ φωνῇ καὶ βλέμματι ταπεινὸς ἐφαίνετο καὶ συνεσταλμένος. ἔτι δὲ μᾶλλον τῶν γυναικῶν ἰδεῖν ἦν καὶ πυθέσθαι, τὴν μὲν ζῶντα προσδεχομένην υἱὸν ἀπὸ τῆς μάχης, κατηφῆ καὶ σιωπηλήν· τὰς δὲ τῶν



1 Initio Sympofii.

2 Junt. Ald. Crat. περί. Steph. correxit.

3 R. fufp. fic leg. — μεστὴ, καὶ (γυμνοπαιδιαὶ γὰρ ἦσαν) ἀγωνιζομένων χορῶν, urbs erat plena, & peregrinis, & choris in theatro certantibus. Gymnopaedlae enim tum erant.

4 Tefte H. Steph. legitur etiam λιπαροὶ τά τε σώματα καὶ τὰ πρόσωπα. Verba minime addenda, eodem judice.

5 Vox infolentior, Mof. Duf. monente. V. ἤθους.

τῶν [1] πεπτωκέναι λεγομένων, ἔν τε τοῖς ἱεροῖς εὐθὺς ἀναστρεφομένας, καὶ πρὸς ἀλλήλας ἱλαρῶς καὶ φιλοτίμως βαδιζούσας.

XXX. Οὐ μὴν ἀλλὰ τοῖς πολλοῖς, ὡς ἀφίσταντο μὲν οἱ σύμμαχοι, προσεδοκᾶτο δὲ νενικηκὼς Ἐπαμεινώνδας καὶ μεγαλοφρονῶν [2] ἐμβαλεῖν εἰς Πελοπόννησον, ἔννοια τῶν χρησμῶν ἐνέπεσε τότε, πρὸς τὴν χωλότητα τοῦ Ἀγησιλάου, καὶ δυσθυμία πολλή, καὶ πτοία πρὸς τὸ θεῖον, ὡς διὰ τοῦτο πραττούσης κακῶς τῆς πόλεως, ὅτι τὸν ἀρτίποδα τῆς βασιλείας ἐκβαλόντες, εἵλοντο χωλὸν καὶ πεπηρωμένον· ὃ παντὸς μᾶλλον αὐτοὺς ἐδίδασκε φράζεσθαι καὶ φυλάττεσθαι τὸ δαιμόνιον. διὰ δὲ τὴν ἄλλην δύναμιν αὐτοῦ καὶ ἀρετὴν [3] καὶ δόξαν οὐ μόνον ἐχρῶντο βασιλεῖ καὶ στρατηγῷ [τῶν [4]] κατὰ πόλεμον, ἀλλὰ καὶ τῶν πολιτικῶν ἀποριῶν ἰατρῷ καὶ διαιτητῇ, τοῖς [5] ἐν τῇ μάχῃ καταδειλιάσασιν, οὓς αὐτοὶ τρέσαντας ὀνομάζουσιν, ὀκνοῦντες τὰς ἐκ τῶν νόμων ἀτιμίας [6] προσάγειν, πολλοῖς οὖσι καὶ δυνατοῖς, φοβούμενοι νεωτερισμὸν ἀπ' αὐτῶν. οὐ γὰρ μόνον ἀρχῆς ἀπείργονται πάσης, ἀλλὰ καὶ δοῦναί τινι τούτων γυναῖκα καὶ λαβεῖν ἄδοξόν ἐστι. παίει δὲ ὁ βουλόμενος αὐτοὺς τῶν ἐντυγχανόντων· οἱ δὲ καρτεροῦσι περιϊόντες αὐχμηροὶ καὶ ταπεινοί, τρίβωνάς τε προσερραμμένους χρώματος βαπτοῦ φοροῦσι, καὶ ξυρῶνται μέρος τῆς ὑπήνης, μέρος δὲ τρέφουσι. δεινὸν οὖν ἦν τοιούτους ἐν τῇ πόλει περιορᾶν πολλοὺς

1 τῶν deest Juntinae.

2 SG. μεγαλοφρονεῖν.

3 V. τὴν ἀρετήν.

4 R. τῶν uncis inclusit. Junt. τῷ, quod, eodem monente, vitiosa est iteratio extremae syllabae vocis στρατηγῷ.

5 R. addendum censet τε. Dativus ab ἐχρῶντο tum pendet — *& Agesilao utebantur, & illis in pugna pavidis.*

6 H. Steph. cod. αἰτίας. Hinc Mos. Dus. αἰκίας scriptum fuisse arbitratur.

λὲς, ἐκ ὀλίγων δεομένῃ [1] ϛρατιωτῶν. καὶ νομοθέτην αἱρῆσθαι τὸν Ἀγησίλαον. ὁ δὲ μήτε προθείς τι, μήτ' ἀφελὼν, μήτε μεταγράψας, εἰσῆλθεν εἰς τὸ πλῆθος τῶν Λακεδαιμονίων· καὶ φήσας, ὅτι τὰς νόμας δεῖ σήμερον ἐᾷν καθεύδειν, ἐκ δὲ τῆς σήμερον ἡμέρας κυρίας εἶναι πρὸς τὸ λοιπὸν, ἅμα τούς τε νόμας τῇ πόλει καὶ τὰς ἄνδρας ἐπιτίμας ἐφύλαξε. βαλόμενος ἂν τὴν παρᾶσαν ἀθυμίαν καὶ κατήφειαν ἀφελεῖν τῶν νέων, ἐνέβαλεν εἰς Ἀρκαδίαν, καὶ μάχην μὲν ἰχυρῶς ἐφυλάξατο συνάψαι τοῖς ἐναντίοις [2], ἑλὼν δὲ πολίχνην [3] τινὰ τῶν Μαντινέων, καὶ τὴν χώραν ἐπιδραμὼν, ἐλαφροτέραν ἐποίησε ταῖς ἐλπίσι καὶ ἡδίω τὴν πόλιν, ὡς ἐ παντάπασιν ἀπεγνωσμένην.

XXXI. Ἐκ δὲ τάτα παρῆν εἰς τὴν Λακωνικὴν ὁ Ἐπαμεινώνδας μετὰ τῶν συμμάχων, ἐκ ἐλάττονας ἔχων τετρακισμυρίων ὁπλιτῶν. πολλοὶ δὲ καὶ ψιλοὶ [4] καὶ ἄοπλοι πρὸς ἁρπαγὴν συνηκολέθων· ὥϛε μυριάδας ἑπτὰ τᾶ σύμπαντος ὄχλα συνεισβαλεῖν [5] εἰς τὴν Λακωνικήν. ἦν μὲν δὴ χρόνος ἐκ ἐλάττων ἐτῶν ἑξακοσίων, ἀφ' ἇ κατῴκαν τὴν Λακεδαίμονα Δωριεῖς. ἐν δὲ τάτῳ ἅπαντι, τότε πρῶτον ὤφθησαν ἐν τῇ χώρᾳ πολέμιοι, πρότερον δ' ἐδεὶς ἐτόλμησεν· ἀλλ' ἀδήωτον καὶ ἄθικτον ἆσαν [6] ἐμβαλόντες ἐπυρπόλων καὶ διήρπαζον ἄχρι τᾶ ποταμᾶ, [καὶ [7]] τῆς πόλεως μηδενὸς ἐπεξιόντος. ὁ γὰρ Ἀγη-



1 Sic cum V. legendum censuit Mos. Dus. deditque R. ut ad πόλει referatur, pro vulg. δεομένας.

2 V. πολεμίοις.

3 Hujus urbeculae nomen fuisse Εὐταία, monet Palmer. ex Xenoph. l. VI.

4 V. φίλοι. Pro ἄοπλοι SG. ἄνοπλοι.

5 Pro hac voce V. dat καὶ καταβαίνειν.

6 R. susp. ἦσαν Ἴέως, Θηβαῖοι νῦν ἐμβαλόντες.

7 Hanc partic. R. uncis inclusit, locumque aliter distinxit, ac est in vulgatis — ad urbem nondum accedebant, ad quam acce-

Ἀγησίλαος οὐκ εἴα πρὸς τοσοῦτον, ὥς φησι Θεόπομπος, ῥεῦμα καὶ κλύδωνα πολέμου μάχεσθαι τοὺς Λακεδαιμονίους [1], ἀλλὰ τα μέσα τῆς πόλεως [2] καὶ κυριώτατα τοῖς ὁπλίταις περιεσπειραμένος [3], ἐκαρτέρει τὰς ἀπειλὰς καὶ τὰς μεγαλαυχίας τῶν Θηβαίων, προκαλουμένων ἐκεῖνον ὀνομαστὶ, καὶ διαμάχεσθαι περὶ τῆς χώρας κελευόντων, ὃς τῶν κακῶν αἴτιός ἐστιν, ἐκκαύσας τὸν πόλεμον. οὐχ ἧττον δὲ τούτων ἐλύπουν τὸν Ἀγησίλαον οἱ κατὰ τὴν πόλιν θόρυβοι καὶ κραυγαὶ καὶ διαδρομαὶ τῶν πρεσβυτέρων δυσανασχετούντων τὰ γινόμενα, καὶ τῶν γυναικῶν οὐ δυναμένων ἡσυχάζειν, ἀλλὰ παντάπασιν ἐκφρόνων οὐσῶν πρός τε τὴν κραυγὴν καὶ τὸ πῦρ τῶν πολεμίων. ἠνία δὲ καὶ τὸ τῆς δόξης αὐτὸν, ὅτι τὴν πόλιν μεγίστην παραλαβὼν καὶ δυνατωτάτην, ἑώρα συνεσταλμένον αὐτῆς τὸ ἀξίωμα, καὶ τὸ καύχημα [4] κεκολουμένον, ᾧ καὶ αὐτὸς ἐχρήσατο πολλάκις, εἰπὼν, ὅτι γυνὴ Λάκαινα καπνὸν οὐχ ἑώρακε πολέμιον. λέγεται δὲ καὶ Ἀνταλκίδα [5], Ἀθηναίου τινὸς ἀμφισβητοῦντος ὑπὲρ ἀνδρείας πρὸς αὐτὸν, καὶ εἰπόντος· Ἡμεῖς μέντοι πολλάκις ὑμᾶς ἀπὸ

τοῦ

accedi non poterat, fluvio non trajecto: id quod postmodum fiebat. Sententia est: *nemine ex urbe exeunte.* Vulgo post κ. τ. πόλ datur comma

1 Palmer ex Polyaeno ad historiae complementum addi vult: *καὶ λογοποιοὺς καθῆκεν, ὡς ἄρα χρησμὸν εἴη, τοὺς προτέρους τὸν ποταμὸν διαβάντας ἡττᾶσθαι.*

2 SG. invertit: *τῆς πολεως τὰ μέσα.*

3 Hanc lect. e Junt. Ald Crat. revocavit R. a verbo *περισπειρᾶν* perf. part. pass. pro vulg. *περισπειράμενος*, quod esset a *περισπείραν.* Idem est, ac si dixisset *ἐσπειραμένος περὶ τὰ μέσα*, *cum partes urbis medias cohortibus dispositis amplexus esset, vel sepsisset.*

4 SG. *αὔχημα.* Post *κεκολουμένον* R. videtur deesse *γενομένου τούτου.* Ad *ἐχρήσατο*, eodem monente, subaud. *πρὸς ἀπόδειξιν τοῦ Σπάρτης ἀξιώματος.*

5 SG. *Ἀνταλκιάδας.* Id. lin. seq. cum Junt. *ἀνδρίας* pro *ἀνδρείας.*

τȣ̃ Κηφισȣ̃ ἐδιώξαμεν· ὑποτυχεῖν [1]. Ἀλλ' ἡμεῖς γ' ȣ̓δέποτε ὑμᾶς ἀπὸ τȣ̃ Εὐρώτα. παραπλησίως δὲ καὶ πρὸς τὸν Ἀργεῖον ἀπεκρίνατο τῶν ἀσημοτέρων τις Σπαρτιατῶν. ὁ μὲν γὰρ εἶπε· Πολλοὶ ὑμῶν ἐν τῇ Ἀργολίδι κεῖνται· ὁ δ' ἀπήντησεν· Ὑμῶν δέ γ' ȣ̓δεὶς ἐν τῇ Λακωνικῇ.

XXXII. Ἔνιοι μέντοι τὸν [2] Ἀνταλκίδαν φασὶν ἔφορον ὄντα τȣ̀ς παῖδας εἰς Κύθηρα ὑπεκθέσθαι [3], περίφοβον γενόμενον. ὁ δ' Ἀγησίλαος, ἐπιχειρȣ́ντων διαβαίνειν τὸν ποταμὸν τῶν πολεμίων, καὶ βιάζεσθαι πρὸς τὴν πόλιν, ἐκλιπὼν τὰ λοιπὰ, παρετάξατο πρὸ τῶν μέσων καὶ ὑψηλῶν. ἐῤῥύη δὲ πλεῖστος ἑαυτȣ̃ καὶ μέγιστος τότε ὁ Εὐρώτας, χιόνων γενομένων· καὶ τὸ ῥεῦμα μᾶλλον ὑπὸ ψυχρότητος, ἢ τραχύτητος, ἐγίνετο σκληρὸν καὶ χαλεπὸν τοῖς Θηβαίοις. πορευόμενον δὲ πρῶτον τῆς φάλαγγος τὸν Ἐπαμεινώνδαν [4] ἐδείκνυσάν τινες τῷ Ἀγησιλάῳ· κἀκεῖνος, ὡς λέγεται, πολὺν χρόνον ἐμβλέψας αὐτῷ, καὶ συμπαραπέμψας τὴν ὄψιν, ȣ̓δὲν, ἢ τοσȣ̃τον μόνον, εἶπεν· Ὦ τȣ̃ μεγαλοπράγμονος ἀνθρώπȣ. ἐπεὶ δὲ φιλοτιμȣ́μενος ὁ Ἐπαμεινώνδας ἐν τῇ πόλει μάχην συνάψαι καὶ στῆσαι τρόπαιον, ȣ̓κ ἴσχυσεν ἐξαγαγεῖν, ȣ̓δὲ προκαλέσασθαι τὸν Ἀγησίλαον, ἐκεῖνος μὲν ἀναζεύξας, πάλιν ἐπόρθει τὴν χώραν· ἐν δὲ Λακεδαίμονι τῶν πάλαι τινὲς ὑπȣ́λων καὶ πονηρῶν, ὡς διακόσιοι, συστραφέντες, κατελάβοντο τὸ Ἰσσώριον, ȣ̃ τὸ τῆς Ἀρτέμιδος ἱερόν ἐστιν, εὐερκῆ καὶ δυσεκβίαστον τόπον. ἐφ' ȣ̃ς βȣλομένων εὐθὺς ὠθεῖσθαι τῶν Λακεδαιμονίων, φοβηθεὶς τὸν νεωτερισμὸν ὁ Ἀγησίλαος, ἐκέ-



[1] V. ὑπὸ τύχην. Pro seq. ἡμεῖς SG. ὑμεῖς, & paulo post ἡμᾶς pro ὑμᾶς.

[2] Junt. ἔνιοι μὲν τὸν. Ald. & Crat. τότε μὲν τὸν. SG. τότε μέντοι τὸν.

[3] Legi etiam ὑπεκπέμψαι, testatur H. Steph. Sic & V.

[4] In quibusdam addi διὰ τȣ̃ Εὐρώτα, testatur H. Steph.

ἐκέλευσε τὰς μὲν ἄλλας ἡσυχίαν ἄγειν· αὐτὸς δ' ἐν ἱματίῳ καὶ μεθ' ἑνὸς οἰκέτε προσῄει βοῶν, ἄλλως ἀκηκοέναι τε προστάγματος αὐτὰς· ε γὰρ ἐνταῦθα κελεῦσαι συνελθεῖν, εδὲ πάντας, ἀλλὰ τὰς μὲν ἐκεῖ (δείξας ἕτερον τόπον) τὰς δ' ἀλλαχόσε τῆς πόλεως. οἱ δ' ἀκέσαντες ἥσθησαν, οἰόμενοι λανθάνειν· καὶ διαςάντες ἐπὶ τὰς τόπας, ὰς ἐκεῖνος ἐκέλευσεν, ἀπεχώρεν. ὁ δὲ τὸ μὲν Ἰσσώριον εὐθὺς μεταπεμψάμενος ἑτέρας κατέσχε· τῶν δὲ συςάντων ἐκείνων περὶ πεντεκαίδεκα τινὰς συλλαβὼν, νυκτὸς ἀπέκτεινεν. ἄλλη δὲ μείζων ἐμηνύθη συνωμοσία καὶ σύνοδος ἀνδρῶν Σπαρτιατῶν, ἐπὶ πράγμασι νεωτέροις εἰς οἰκίαν κρύφα συνερχομένων· ὰς καὶ κρίνειν ἄπορον ἦν ἐν ταραχῇ τοσαύτῃ, καὶ περιορᾶν ἐπιβελεύοντας. ἀπέκτεινεν ἂν καὶ τέτας μετὰ τῶν ἐφόρων βελευσάμενος ὁ Ἀγησίλαος ἀκρίτας, ἐδενὸς δίχα δίκης τεθανατωμένε πρότερον Σπαρτιατῶν. ἐπεὶ δὲ πολλοὶ τῶν τεταγμένων [1] εἰς τὰ ὅπλα περιοίκων καὶ εἱλώτων ἀπεδίδρασκον ἐκ τῆς πόλεως πρὸς τὰς πολεμίας, καὶ τῦτο πλείςην ἀθυμίαν παρεῖχεν, ἐδίδαξε τὰς ὑπηρέτας περὶ ὄρθρον ἐπιφοιτᾶν ταῖς ςιβάσι, καὶ τὰ ὅπλα τῶν ἀποκεχωρηκότων λαμβάνειν καὶ ἀποκρύπτειν, ὅπως ἀγνοῆται τὸ πλῆθος. ἀναχωρῆσαι δὲ τὰς Θηβαίας ἐκ τῆς Λακωνικῆς οἱ μὲν ἄλλοι λέγεσι, χειμώνων γενομένων, καὶ τῶν Ἀρκάδων ἀρξαμένων ἀπιέναι καὶ διαῤῥεῖν ἀτάκτως· οἱ δὲ τρεῖς μῆνας ἐμμεμενηκότας ὅλας, καὶ τὰ πλεῖςα τῆς χώρας διαπεπορθηκότας· Θεόπομπος δέ φησιν, ἤδη τῶν Βοιωταρχῶν ἐγνωκότων ἀπαίρειν, ἀφικέσθαι πρὸς αὐτὰς Φρίξον, ἄνδρα Σπαρτιάτην, παρ' Ἀγησιλάε δέκα τάλαντα κομίζοντα, τῆς ἀναχωρήσεως μισθόν· ὥςε τὰ πάλαι δεδογμένα πράττεσιν αὐτοῖς ἐφόδιον παρὰ τῶν πολεμίων προσπεριγενέσθαι [2].

XXXIII.

1 V. συντεταγμένων.
2 V. προσγενέσθαι.

XXXIII. Τῦτο μὲν ῦν ῦκ οἶδα ὅπως ἠγνόησαν οἱ ἄλλοι, μόνος δὲ Θεόπομπος ᾔσθετο. τῦ δὲ σωθῆναι τὴν Σπάρτην τότε, πάντες αἴτιον ὁμολογῦσι γενέσθαι τὸν Ἀγησίλαον, ὅτι τῶν ἐμφύτων αὐτῷ παθῶν, φιλονεικίας καὶ φιλοτιμίας, ἀποςὰς, ἐχρήσατο τοῖς πράγμασιν ἀσφαλῶς. ῦ μέντοι τήν γε δύναμιν καὶ τὴν δόξαν ἐδυνήθη τῆς πόλεως ἀναλαβεῖν ἐκ τῦ πτώματος [1]. ἀλλ' ὥσπερ σώματος ὑγιεινῦ, λίαν δ' ἀκριβεῖ καὶ κατησκημένῃ κεχρημένῦ διαίτῃ παρὰ [2] πάντα τὸν χρόνον, ἁμαρτία μία καὶ ῥοπὴ τὴν πᾶσαν ἔκλινεν εὐτυχίαν τῆς πόλεως, ῦκ ἀλόγως. πρὸς γὰρ εἰρήνην καὶ ἀρετὴν καὶ ὁμόνοιαν ἄριςα συντεταγμένῳ πολιτεύματι προσάγοντες [3] ἀρχὰς καὶ δυναςείας βιαίῦς, ὧν ῦδενὸς ἡγεῖτο δεῖσθαι πόλιν εὐδαιμόνως βιωσομένην ὁ Λυκῦργος, ἐσφάλησαν. αὐτὸς [4] ῦν ὁ Ἀγησίλαος ἤδη πρὸς τὰς ςρατείας ἀπειρήκει διὰ τὸ γῆρας· Ἀρχίδαμος δ', ὁ υἱὸς αὐτῦ, τὴν ἐκ Σικελίας ἥκῦσαν παρὰ τῦ τυράννῦ βοήθειαν ἔχων, ἐνίκησεν Ἀρκάδας τὴν λεγομένην ἄδακρυν [5] μάχην. ῦδεὶς γὰρ ἔπεσε τῶν μετ' αὐτῦ, συχνῦς δὲ τῶν ἐναντίων ἀνεῖλεν. αὕτη μάλιςα τὴν ἀσθένειαν ἤλεγξεν ἡ νίκη τῆς πόλεως. πρότερον μὲν γὰρ ῦτω σύνηθες ἡγῦντο καὶ προσῆκον ἔργον αὐτοῖς εἶναι, τὸ νικᾶν τῦς πολεμίῦς, ὥςε μήτε θύειν τοῖς θεοῖς, πλὴν ἀλεκτρυόνα νικητήριον ἐν τῇ πόλει, μήτε μεγαληγορεῖν τῦς ἀγωνιζομένῦς, μήτε ὑπερχαίρειν τῦς πυθομένῦς. ἀλλὰ καὶ τῆς

H 5

1 Scriptum esse in vet. codd. πτώσματος, testis est H. Steph. Ita quoque dant V. Anon. SG.

2 Hanc praepos. cum V. & Mur. dari voluit Br. deditque R. Vulgo abest. Junt. eam quidem exhibet, sed omittit πάντα.

3 V. προσαγαγόντες. Id. lin. seq. ἡγεῖται pro ἡγεῖτο.

4 SG. addit post h. v. μὲν.

5 Junt. Ald. Crat. ἄδακρυ. Seq. γὰρ omittit Junt.

τῆς ἐν Μαντινείᾳ [1] μάχης γινομένης, ἣν Θουκυδίδης γέγραφε, τῷ πρώτῳ Φράσαντι τὴν νίκην οἱ ἄρχοντες ἐκ Φιδιτίου κρέας ἔπεμψαν εὐαγγέλιον, ἄλλο δ' οὐδέν. τότε δὲ [2] τῆς μάχης ἀγγελθείσης, καὶ τοῦ Ἀρχιδάμου προσιόντος, οὐδεὶς ἐκαρτέρησεν, ἀλλὰ πρῶτός τε [3] ὁ πατὴρ ἀπήντα [4] δακρύων ὑπὸ χαρᾶς, καὶ μετ' ἐκεῖνον τὰ ἀρχεῖα· τῶν δὲ πρεσβυτέρων καὶ τῶν γυναικῶν τὸ πλῆθος ἐπὶ τὸν ποταμὸν κατήει, τάς τε χεῖρας ὀρεγόντων καὶ θεοκλυτούντων, ὥσπερ ἀπεωσμένης [5] τὰ παρ' ἀξίαν ὀνείδη τῆς Σπάρτης, καὶ λαμπρὸν αὖθις ἐξ ἀρχῆς τὸ Φῶς ὁρώσης. ἐπεὶ πρότερόν γε Φασὶν οὐδὲ ταῖς γυναιξὶν ἀντιβλέπειν [6] τοὺς ἄνδρας, αἰχυνομένους ἐφ' οἷς ἔπταισαν.

XXXIV. Οἰκιζομένης δὲ Μεσσήνης ὑπὸ τῶν περὶ τὸν Ἐπαμεινώνδαν, καὶ τῶν ἀρχαίων πολιτῶν πανταχόθεν εἰς αὐτὴν συμπορευομένων [7], διαμάχεσθαι μὲν οὐκ ἐτόλμων, οὐδὲ κωλύειν ἐδύναντο· χαλεπῶς δὲ καὶ βαρέως πρὸς τὸν Ἀγησίλαον εἶχον, ὅτι χώραν, οὔτε πλήθει τῆς Λακωνικῆς ἐλάσσονα, ἀλλὰ καὶ πρωτεύουσαν ἀρετῇ τῆς Ἑλληνικῆς ἔχοντες, καὶ καρπούμενοι χρόνον τοσοῦ-

1 SG. Μαντινίᾳ. Idem quoque γενομένης pro γιν. Sequentia ἣν Θουκ. γέγ. adnotat R. dedita opera quasi monitum addidisse Plutarchum, ne quis esset lector paulo imprudentior, qui de pugna Laced. ad Mantineam legens, & victores inde redeuntes Lacedaemonios, miraretur, Plutarchumque erroris accusaret, quem fugisset, Lacedaemonios ad Mantineam a Thebanis caesos fuisse. Hoc loco agitur de antiquiore atque ignobiliore pugna, a Thucydide commemorata.

2 Cum pugna esset pugnata illa sic dicta lacrymarum expers, R. Pro ἀγγελθ. V. ἀπαγγελείσης.

3 τε omittunt Junt. Ald. Crat. SG.

4 Junt. Ald. Crat. ὑπήντα.

5 SG. ἀπωσμένης. Sic & Junt.

6 R. post h. v. videtur deesse καρτερῆσαι, vel tale quid.

7 Teste H. Steph. in vet. codd. extat quoque συνοικιζομένων. Sic & V.

τοσῦτον, ἐπὶ τῆς ἐκείνου βασιλείας ἀπολωλέκασι. διὸ καὶ προτεινομένην ὑπὸ τῶν Θηβαίων τὴν εἰρήνην ὁ Ἀγησίλαος οὐκ ἐδέξατο. μὴ βουλόμενος δὲ τῷ λόγῳ προέσθαι τοῖς ἔργῳ [1] κρατοῦσι τὴν χώραν, ἀλλὰ φιλονεικῶν, ἐκείνην μὲν οὐκ ἀπέλαβε, μικροῦ δὲ τὴν Σπάρτην προσαπέβαλε [2] καταστρατηγηθείς. ἐπεὶ γὰρ οἱ Μαντινεῖς αὖθις ἀπέστησαν τῶν Θηβαίων, καὶ μετεπέμποντο τοὺς Λακεδαιμονίους, αἰσθόμενος ὁ [3] Ἐπαμεινώνδας τὸν Ἀγησίλαον ἐξεστρατευμένον μετὰ τῆς δυνάμεως καὶ προσιόντα, λαθὼν τοὺς Μαντινεῖς ἀνέζευξε νυκτὸς ἐκ Τεγέας, ἄγων ἐπ' αὐτὴν τὴν Λακεδαίμονα τὸ στράτευμα, καὶ μικρὸν ἐδέησε, παραλλάξας τὸν Ἀγησίλαον, ἔρημον ἐξαίφνης καταλαβεῖν τὴν πόλιν. Εὐθύνου [4] δὲ Θεσπιέως, ὡς Καλλισθένης φησὶν, ὡς δὲ Ξενοφῶν, Κρητός τινος, ἐξαγγείλαντος τῷ Ἀγησιλάῳ, ταχὺ προπέμψας ἱππέα τοῖς ἐν τῇ πόλει φράσοντα, μετ' οὐ πολὺ καὶ αὐτὸς παρῆλθεν εἰς τὴν Σπάρτην. ὀλίγῳ δ' ὕστερον οἱ Θηβαῖοι διέβαινον τὸν Εὐρώταν, καὶ προσέβαλλον τῇ πόλει, μάλα ἐῤῥωμένως τοῦ Ἀγησιλάου καὶ παρ' ἡλικίαν ἐπαμύνοντος. οὐ γὰρ, ὡς πρότερον, ἀσφαλείας ἑώρα τὸν καιρὸν ὄντα καὶ φυλακῆς, ἀλλὰ μᾶλλον ἀπονοίας καὶ τόλμης, οἷς τὸν ἄλλον χρόνον οὐδέποτε πιστεύσας, οὐδὲ χρησάμενος, τότε μόνοις ἀπεώσατο τὸν κίνδυνον, ἐκ τῶν χειρῶν τοῦ Ἐπαμεινώνδου τὴν πόλιν ἐξαρπάσας, καὶ στήσας τρόπαιον, καὶ τοῖς παισὶ καὶ ταῖς γυναιξὶν ἐπιδείξας τὰ κάλλιστα τροφεῖα τῇ πατρίδι τοὺς Λακεδαιμονίους ἀποδιδόντας· ἐν δὲ πρώτοις τὸν Ἀρχίδαμον ἀγωνιζόμενον ὑπερηφάνως, τῇ τε ῥώμῃ τῆς ψυχῆς καὶ τῇ κουφότητι τοῦ σώματος ὀξέως ἐπὶ τὰ θλιβόμενα τῆς μάχης διαθέοντα διὰ τῶν στενωπῶν, καὶ παν-

1 V. SG. ἔργοις.
2 SG. ἀπέβαλε.
3 deest articulus Junt. Ald. Crat. & SG.
4 Teste H. Steph. etiam legitur Εὐώνου. Sic V.

πανταχῦ μετ' ὀλίγων ἀντερείδοντα τοῖς πολεμίοις.' Ἰσάδαν δὲ [1], τὸν Φοιβίδου υἱὸν, οὐ τοῖς πολίταις μόνον, ἀλλὰ καὶ τοῖς πολεμίοις [2] θέαμα φανῆναι καλὸν καὶ ἀγαστόν. ἦν μὲν γὰρ εὐπρεπὴς τὸ εἶδος, καὶ τὸ μέγεθος τοῦ σώματος, ὥραν δ', ἐν ᾗ τὸ ἥδιστον ἀνθοῦσιν ἄνθρωποι παριόντες εἰς [3] ἄνδρας ἐκ παίδων, εἶχε. γυμνὸς δὲ καὶ ὅπλων τῶν σκεπόντων καὶ ἱματίων, λίπα χρισάμενος [4] τὸ σῶμα, καὶ τῇ μὲν ἔχων χειρὶ λόγχην, τῇ δὲ ξίφος, ἐξήλατο τῆς οἰκίας, καὶ διὰ μέσων τῶν μαχομένων ὠσάμενος, ἐν τοῖς πολεμίοις ἀνεστρέφετο, παίων τὸν προστυχόντα καὶ καταβάλλων. ἐτρώθη δ' ὑπ' οὐδενὸς, εἴτε θεοῦ δι' ἀρετὴν φυλάττοντος αὐτὸν, εἴτε μεῖζόν τι καὶ κρεῖττον ἀνθρώπου φανεὶς τοῖς ἐναντίοις. ἐπὶ τούτῳ δὲ λέγεται τοὺς ἐφόρους στεφανώσαντας αὐτὸν, εἶτα χιλίων δραχμῶν ἐπιβαλεῖν ζημίαν, ὅτι χωρὶς ὅπλων διακινδυνεύειν ἐτόλμησεν.

XXXV. Ὀλίγαις δὲ ὕστερον ἡμέραις περὶ τὴν Μαντίνειαν ἐμαχέσαντο [5], καὶ τὸν Ἐπαμεινώνδαν, ἤδη κρατοῦντα τῶν πρώτων, ἔτι δ' ἐγκείμενον καὶ κατασπεύδοντα τὴν δίωξιν, Ἀντικράτης Λάκων ὑποστὰς ἔπαισε δόρατι μὲν, ὡς Διοσκουρίδης ἱστόρηκε. Λακεδαιμόνιοι δὲ Μαχαιρίωνας ἔτι νῦν τοὺς ἀπογόνους τοῦ Ἀντικράτους καλοῦσιν, ὡς μαχαίρᾳ πατάξαντος. οὕτω γὰρ ἐθαύμασαν καὶ ὑπερηγάπησαν [6] αὐτὸν φόβῳ τοῦ Ἐπαμεινώνδου ζῶντος, ὥστε τιμὰς

1 Haec est Aldinae lectio. Junt. sic dat: Ἰσίδαν δοκῶ τὸν. Ita quoque est in SG.

2 In ind. var. ἐναντίοις, tacito auctore. Pro seq. καλὸν V. καινὸν, quod & H. Steph. in suis codd. legit.

3 abest εἰς a SG.

4 SG. χρησάμενος. Sic & Junt.

5 In Junt. & SG. verba sic structa leguntur: ὀλίγαις δὲ περὶ τὴν μαντ. ὕστερ. ἡμέρ. ἐμαχέσαντο.

6 Teste H. Steph. in vetustis codd. sic legitur: οὕτω γὰρ ἠγάπησαν καὶ ὑπερεθαύμασαν αὐτόν. Ita quoque V.

μὰς μὲν ἐκείνῳ καὶ δωρεὰς ψηφίσασθαι, τῷ [1] γένει δ' ἀτέλειαν, ἣν ἔτι καὶ καθ' ἡμᾶς ἔχει Καλλικράτης, εἷς τῶν Ἀντικράτους ἀπογόνων. μετὰ δὲ τὴν μάχην καὶ θάνατον τοῦ Ἐπαμεινώνδου, γενομένης εἰρήνης τοῖς Ἕλλησι πρὸς αὐτοὺς, ἀπήλαυνον οἱ περὶ τὸν Ἀγησίλαον τοῦ ὅρκου [2] τοὺς Μεσσηνίους, ὡς πόλιν οὐκ ἔχοντας. ἐπεὶ δ' οἱ λοιποὶ πάντες ἐδέχοντο, καὶ τοὺς ὅρκους ἐλάμβανον παρ' αὐτῶν, ἀπέστησαν οἱ Λακεδαιμόνιοι, καὶ μόνοις αὐτοῖς πόλεμος ἦν, ἐλπίζουσιν ἀναλήψεσθαι τὴν Μεσσηνίαν. βίαιος οὖν ἐδόκει καὶ ἀτενὴς [3] καὶ πολέμων ἄπληστος ὁ Ἀγησίλαος εἶναι, τὰς μὲν κοινὰς διαλύσεις πάντα τρόπον ὑπορύττων καὶ ἀναβάλλων [4], πάλιν δ' ὑπὸ χρημάτων ἀπορίας ἀναγκαζόμενος ἐνοχλεῖν τοῖς κατὰ πόλιν φίλοις [5], καὶ δανείζεσθαι καὶ συνερανίζεσθαι, δέον ἀπηλλάχθαι κακῶν εἰς τοῦτο περιήκοντι τῶν καιρῶν [6], καὶ μὴ τὴν ἅπασαν ἀρχὴν τοσαύτην [7] γενομένην ἀφεικότα, καὶ πόλεις καὶ γῆν καὶ θάλατταν, ὑπὲρ τῶν ἐν Μεσσήνῃ κτημάτων καὶ προσόδων σφαδάζειν.

XXXVI. Ἔτι δὲ μᾶλλον ἠδόξησε, Τάχῳ, τῷ Αἰγυπτίων [8] στρατηγῷ, ἐπιδοὺς ἑαυτόν. οὐ γὰρ ἠξίουν ἄνδρα τῆς Ἑλλάδος ἄριστον κεκριμένον, καὶ δόξης ἐμπεπληκότα τὴν οἰκουμένην [9], ἀποστάτῃ βασιλέως, ἀνθρώ-

πῳ

1 abeſt τῷ a SG. item a Junt. Ald. Crat. dedit Steph.

2 V. e Junt. τοῦ οἴκου.

3 Teſte H. Steph. extat quoque ἀπηνὴς; minime tamen vulgatam rejiciendam cenſet. V. idem exhibet.

4 R. ſuſp. καταβάλλων. V. διαβάλλων.

5 Moſ. Duſ. legi vult τοὺς — φίλους, cum ἐνοχλεῖν non conjungi ſoleat cum tertio caſu.

6 Sic R. de ſuo dedit pro vulg. τῷ καιρῷ. Moſ. Duſ. voluit τοῦ καιροῦ ſcribi. Pro περιήκ. Junt. Ald. Crat. περιίκοντι.

7 SG. Junt. Ald. Crat. τοιαύτην. Pro ἀφεικ. SG. ἀφηκότα.

8 Sic R. de ſuo dedit pro vulg. Αἰγυπτίῳ.

9 Teſte H. Steph. in vetuſtis codd. non τὴν οἰκουμένην, ſed duntaxat τὴν πόλιν dicitur δόξης ἐμπεπληκέναι.

πῳ βαρβάρῳ, χρῆσαι τὸ σῶμα, καὶ τοὔνομα καὶ τὴν δόξαν ἀποδόσθαι χρημάτων, ἔργα μισθοφόρου καὶ ξεναγοῦ [1] διαπραττόμενον. καὶ γὰρ εἰ ὑπὲρ [2] ὀγδοήκοντα γεγονὼς ἔτη, καὶ πᾶν ὑπὸ τραυμάτων τὸ σῶμα κατακεκομμένος, ἐκείνην αὖθις ἀνεδέξατο [3] τὴν καλὴν καὶ περίβλεπτον ἡγεμονίαν ὑπὲρ τῆς [4] Ἑλλήνων ἐλευθερίας, οὐ πάμπαν ἄμεμπτον εἶναι τὴν ὥραν [5] καὶ τὴν φιλοτιμίαν. τοῦ γὰρ καλοῦ καὶ καιρὸν δεῖν [6] οἰκεῖον εἶναι καὶ ὥραν, μᾶλλον δ' ὅλως τὰ καλὰ τῶν αἰσχρῶν τῷ μετρίῳ διαφέρειν. οὐ μὴν ἐφρόντιζε τούτων ὁ Ἀγησίλαος, οὐδ' ᾤετο παρ' ἀξίαν εἶναι λειτούργημα δημόσιον οὐδέν, ἀλλὰ μᾶλλον ἀνάξιον ἑαυτοῦ τὸ ζῆν ἄπρακτος [7] ἐν τῇ πόλει, καὶ καθῆσθαι περιμένων τὸν θάνατον. ὅθεν ἀθροίσας [8] μισθοφόρους, ἀφ' ὧν ὁ Τάχως αὐτῷ χρημάτων ἔπεμψε, καὶ πλοῖα πληρώσας ἀνήχθη, τριάκοντα συμβούλους ἔχων μεθ' ἑαυτοῦ Σπαρτιάτας, ὡς πρότερον [9]. ἐπεὶ δὲ κατέπλευσεν εἰς τὴν Αἴγυπτον, εὐθὺς οἱ πρῶτοι τῶν βασιλικῶν ἡγεμόνων καὶ διοικητῶν ἐβάδιζον ἐπὶ ναῦν, θεραπεύον-

1 SG. ξεναγοῦ.

2 Sic R. dedit partim de suo, partim e Junt. In hac est, uti & in SG. & V. καὶ γὰρ ὑπὲρ; Ald. εἰ γὰρ ὑπὲρ; unde εἰ ex hac, καὶ ex illa sumens, conflavit novam hanc lectionem.

3 V. ἀνεδείξαντο.

4 V. SG. ὑπὲρ τῆς τῶν Ἑ.

5 R. susp. τὴν ὁρμὴν, vel τὴν φορὰν, aut εἶναι τὴν ἄωρον φιλοτιμίαν.

6 Ita sola extat in R. Omnes priores edd. habent δεῖ. Consulto tamen sic dedisse R. censeo, nec esse mendam typographicam, quamvis nullam subjiciat correctionis notam, ut cohaereat cum praecedenti infinitivo εἶναι, & cum insequenti διαφέρειν. Pro hac ipsa voce Mos. Dus. διαφέρει dari voluit, uti antea legatur δεῖ.

7 Sic R. dedit pro vulg. ἄπρακτον, cum paulo post recepit lectionem Junt. Ald. & Crat. περιμένων pro vulg. περιμένοντα.

8 Junt. Ald. Crat. SG. ἤθροισε.

9 Cum scilicet in Asiam proficisceretur ad bellandum cum Persis. R.

πεύοντες [1] αὐτόν. ἦν δὲ καὶ τῶν ἄλλων Αἰγυπτίων σπουδή τε μεγάλη καὶ προσδοκία διὰ τοὔνομα καὶ τὴν δόξαν τοῦ Ἀγησιλάου· καὶ συνετρόχαζον ἅπαντες ἐπὶ τὴν θέαν. ὡς δ' ἑώρων λαμπρότητα μὲν καὶ κατασκευὴν οὐδεμίαν, ἄνθρωπον δὲ πρεσβύτην κατακείμενον ἔν τινι πόᾳ παρὰ τὴν θάλασσαν, εὐτελῆ καὶ μικρὸν τὸ σῶμα, τραχὺ [2] καὶ φαῦλον ἱμάτιον ἀμπεχόμενον, σκώπτειν αὐτοῖς καὶ γελωτοποιεῖν ἐπῄει· καὶ λέγειν· ὅτι τοῦτ' ἦν τὸ μυθολογούμενον· ὠδίνειν ὄρος, εἶτα μῦν ἀποτεκεῖν. ἔτι δὲ μᾶλλον αὐτοῦ τὴν ἀτοπίαν ἐθαύμασαν, ὅτε, ξενίων προσκομισθέντων καὶ προσαχθέντων ἄλευρα μὲν καὶ μόσχους καὶ χῆνας ἔλαβε, τραγήματα δὲ καὶ πέμματα καὶ μύρα διωθεῖτο· καὶ βιαζομένων [3] λαβεῖν καὶ λιπαρούντων, ἐκέλευσε τοῖς εἵλωσι διδόναι κομίζοντας. τῇ μέντοι στεφανώτριδι [4] βίβλῳ φησὶν αὐτὸν ἡσθέντα Θεόφραστος, διὰ τὴν λιτότητα τῶν στεφάνων, αἰτήσασθαι καὶ λαβεῖν, ὅτ' ἀπέπλει παρὰ τοῦ βασιλέως.

XXXVII. Τότε δὲ συμμίξας τῷ Τάχῳ παρασκευαζομένῳ πρὸς τὴν στρατείαν, οὐχ ὥσπερ ἤλπιζεν, ἁπάσης στρατηγὸς ἀπεδείχθη τῆς δυνάμεως, ἀλλὰ τῶν μισθοφόρων μόνων· τοῦ δὲ ναυτικοῦ Χαβρίας ὁ Ἀθηναῖος, ἡγεμὼν δὲ [5] συμπάντων αὐτὸς ἦν ὁ Τάχως. καὶ τοῦτο πρῶτον ἠνίασε τὸν Ἀγησίλαον· ἔπειτα τὴν ἄλλην ἀλαζονείαν καὶ κενοφροσύνην τοῦ Αἰγυπτίου βαρυνόμενος ἠναγκάζετο φέρειν· καὶ συνεξέπλευσεν ἐπὶ τοὺς Φοίνικας

1 Anon. & Mur. θεραπεύσοντες, quod probat Mos. Dus.

2 Suspecta est haec vox Mosi Dus. cum φαῦλον conjuncta. Suspic. παχὺ.

3 V. προσβιαζομένων.

4 Sic ex Ald. at in Junt. V. SG. στεφαντώριδι. R. susp. τῇ στεφανωτρίᾳ β. cum a στεφανωτὴς derivari videatur aut στεφανωτρία (in prima declin.) aut στεφανωτὶς (in tert.) ut a πολίτης non fit πολίτρις, sed πολῖτις.

5 omittit δὲ Juntina. Pro Τάχως SG. Τάχος.

κας αὐτῷ, παρὰ τὴν ἀξίαν τὴν ἑαυτȣ̃ καὶ τὴν φύσιν ὑπείκων καὶ καρτερῶν, ἄχρις [1] ȣ̃ καιρὸν ἔλαβε. Νεκτάναβις γὰρ, ἀνεψιὸς ὢν τȣ̃ [2] Τάχω, καὶ μέρος ἔχων ὑφ' ἑαυτῷ τῆς δυνάμεως, ἀπέστη· καὶ βασιλεὺς ὑπὸ τῶν Αἰγυπτίων ἀναγορευθεὶς, διεπέμπετο πρὸς τὸν Ἀγησίλαον, ἀξιῶν αὐτῷ βοηθεῖν. τὰ δ' αὐτὰ καὶ τὸν Χαβρίαν παρεκάλει, μεγάλας ὑπισχνέμενος ἀμφοτέροις δωρεάς. αἰσθομένȣ δὲ ταῦτα τȣ̃ Τάχω, καὶ τραπομένȣ πρὸς δέησιν αὐτῶν, ὁ μὲν Χαβρίας ἐπειρᾶτο καὶ τὸν Ἀγησίλαον ἐν τῇ φιλίᾳ τȣ̃ Τάχω πείθων καὶ παραμυθȣ́μενος κατέχειν· ὁ δ' Ἀγησίλαος εἶπεν· Ὅτι σοὶ μὲν, ὦ Χαβρία, κατὰ σεαυτὸν ἀφιγμένῳ, χρῆσθαι τοῖς σεαυτȣ̃ [3] λογισμοῖς ἔξεστιν· ἐγὼ δ' ὑπὸ τῆς πατρίδος ἐδόθην Αἰγυπτίοις στρατηγός. ȣ̓́κȣν ἂν ἔχοι μοι [4] καλῶς, οἷς ἐπέμφθην σύμμαχος πολεμεῖν, ἐὰν μὴ πάλιν ἡ πατρὶς κελεύσῃ. ταῦτα δ' εἰπὼν ἔπεμψεν εἰς Σπάρτην [5] ἄνδρας, οἳ τȣ̃ μὲν Τάχω κατηγορεῖν [6], ἐπαινέσεσθαι δὲ τὸν Νεκτάναβιν ἔμελλον. ἔπεμψαν δὲ κἀκεῖνοι, δεόμενοι τῶν Λακεδαιμονίων, ὁ μὲν ὡς πάλαι σύμμαχος γεγονὼς καὶ φίλος, ὁ δ' ὡς εὔνȣς καὶ προθυμότερος [7] περὶ τὴν πόλιν ἐσόμενος. ἀκȣ́σαντες ȣ̓̃ν οἱ Λακεδαιμόνιοι, τοῖς μὲν Αἰγυπτίοις ἀπεκρίναντο φανερῶς, Ἀγησιλάῳ περὶ τȣ́των μελήσειν· ἐκείνῳ δ' ἀπέστει-

1 SG. ἄχρι. Nomen Νεκτάναβις, quod ſequitur, varie ſcriptum invenitur. Junt. Ald. Crat. Νεκτένιβις. Apud Cornel. Nectanebis. Diod. vero Sic. Νεκτοναβώς.

2 R. τȣ̃ e Junt. Ald. Crat. reſtituit pro vulg. τῷ.

3 SG. ἑαυτȣ̃.

4 Sic Moſ. Duſ. legendum cenſuit, deditque R. pro vulg. ἔχοιμι. Pro ἐπέμφθην SG. & Junt. ἐπέμφθη.

5 Duo vocabula εἰς Σπ. deſunt Junt. Ald. Crat. In V. dantur poſt ἄνδρας.

6 SG. κατηγορῆσαν.

7 R. mavult aut εὔνȣς καὶ πρόθυμος; aut εὐνȣ́στατος καὶ προθυμότατος.

σειλαν [1], ὁρᾷν κελεύοντες, ὅπως πράξῃ τὸ τῇ Σπάρτῃ συμφέρον. οὕτω δὴ λαβὼν τοὺς μισθοφόρους ὁ Ἀγησίλαος, ἀπὸ τοῦ Τάχω μετέστη πρὸς τὸν Νεκτάναβιν, ἀτόπου καὶ ἀλλοκότου πράγματος παρακαλύμματι τῷ συμφέροντι τῆς πατρίδος χρησάμενος. ἐπεὶ, ταύτης γε τῆς προφάσεως ἀφαιρεθείσης, τὸ δικαιότατον ὄνομα τῆς πράξεως ἦν προδοσία. Λακεδαιμόνιοι δὲ τὴν πρώτην τοῦ καλοῦ μερίδα τῷ τῆς πατρίδος συμφέροντι διδόντες, οὔτε μανθάνουσιν, οὔτ᾽ ἐπίστανται δίκαιον ἄλλο, πλὴν ᾧ [2] τὴν Σπάρτην αὔξειν νομίζουσιν.

XXXVIII. Ὁ μὲν οὖν Τάχως ἐρημωθεὶς τῶν μισθοφόρων ἔφυγεν, ἐκ δὲ Μένδητος ἕτερος ἐπανίσταται τῷ Νεκτανάβιδι [3], βασιλεὺς ἀναγορευθείς· καὶ συναγαγὼν δέκα μυριάδας [4], ἐπῄει. θαρσύνοντος δὲ τοῦ Νεκτανάβιδος τὸν Ἀγησίλαον, καὶ λέγοντος, ὅτι πολλοὶ μὲν εἰσιν οἱ πολέμιοι, μιγάδες δὲ καὶ βάναυσοι, καὶ δι᾽ ἀπειρίαν εὐκαταφρόνητοι· Καὶ μὴν οὐ τὸ πλῆθος αὐτῶν, ὁ Ἀγησίλαος εἶπεν, ἀλλὰ τὴν ἀπειρίαν φοβοῦμαι καὶ τὴν ἀμαθίαν, ὡς δυσεξαπάτητον. αἱ γὰρ ἀπάται τὸ παράδοξον [5] ἐπάγουσι τοῖς πρὸς ἄμυναν ὑπονοοῦσι καὶ προσδοκῶσι τρεπομένοις· ὁ δὲ μὴ προσδοκῶν, μηδ᾽ ὑπονοῶν

1 SG. ἐπίστειλαν.

2 SG. ὅ.

3 Junt. & SG. Νεκτάναβι. Pro seq. ἀναγορ. Junt. Ald. Crat. SG. simplex ἀγορευθείς.

4 SG. post h. v. addit ἀνθρώπων. Id. paulo post θρασύναντος pro θαρσύνοντος.

5 Mos. Dus. legi vult τὸ παράλογον. Pro seq. ἄμυναν SG. ἄνοιαν; pro ὑπονοοῦσι Junt. V. SG. ἀνιοῦσι. R. sic legendum h. l. susp. αἱ γὰρ ἀπάται τῷ παρὰ δόξαν (aut si mavis τῷ παραδόξῳ) ἐπαίρουσι τοὺς πρὸς ἄμυναν ὠνὑπονοοῦσι καὶ πρ. τρεπομένους — *fraudes enim ipsa novitate rerum baud exspectatarum ad levitatem atque temeritatem impellunt eos, qui sese ad depulsionem eorum periculorum compararunt, quae suspicantur atque exspectant* —

νοῶν μηδὲν, οὐ δίδωσι τῷ παραλογιζομένῳ λαβὴν, ὥσπερ οὐδὲ τῷ παλαίοντι ῥοπὴν ὁ μὴ κινούμενος. ἐκ τούτου καὶ ὁ Μενδήσιος ἔπεμπε πειρῶν τὸν Ἀγησίλαον. ἔδεισεν οὖν ὁ Νεκτάναβις, καὶ κελεύοντος αὐτοῦ διαμάχεσθαι τὴν ταχίστην, καὶ μὴ χρόνῳ πολεμεῖν πρὸς ἀνθρώπους ἀπείρους ἀγῶνος, πολυχειρίᾳ δὲ περιελθεῖν καὶ περιταφρεῦσαι, καὶ φθάσαι πολλὰ καὶ προλαβεῖν δυναμένους, ἔτι μᾶλλον ἐν ὑποψίᾳ καὶ φόβῳ γενόμενος πρὸς αὐτὸν, ἀπεχώρησεν εἰς πόλιν εὐερκῆ καὶ μέγαν ἔχουσαν περίβολον. ὁ δ' Ἀγησίλαος ἠγανάκτει μὲν ἀπιστούμενος, καὶ βαρέως ἔφερεν· αἰσχυνόμενος δὲ καὶ πάλιν [1] μεταστῆναι πρὸς τὸν ἕτερον καὶ τελέως ἀπελθεῖν ἄπρακτος, ἠκολούθησε, καὶ συνεισῆλθεν εἰς τὸ τεῖχος.

XXXIX. Ἐπελθόντων δὲ τῶν πολεμίων καὶ περιταφρευόντων τὴν πόλιν, αὖθις αὖ δείσας τὴν πολιορκίαν ὁ Αἰγύπτιος ἐβούλετο μάχεσθαι, καὶ τοὺς Ἕλληνας μάλα συμπροθυμουμένους εἶχεν. οὐ γὰρ ἦν ἐν τῷ χωρίῳ σῖτος. ὁ δ' Ἀγησίλαος οὐκ ἐῶν, ἀλλὰ κωλύων, ἤκουε μὲν ἔτι μᾶλλον κακῶς, ἢ πρότερον, ὑπὸ τῶν Αἰγυπτίων, καὶ προδότης ἀπεκαλεῖτο τοῦ βασιλέως. ἔφερε δὲ πρᾳότερον ἤδη τὰς διαβολὰς, καὶ προσεῖχε τῷ καιρῷ τοῦ στρατηγήματος. ἦν δὲ τοιόνδε. τάφρον ἔξωθεν ἀνῆγον [2] οἱ πολέμιοι περὶ τὸ τεῖχος βαθεῖαν, ὡς παντάπασιν ἀποκλείσοντες αὐτούς. ὡς οὖν ἐγγὺς ἦσαν αἱ τελευταὶ τοῦ ὀρύγματος, ἀπαντῶντος αὐτῷ [3] καὶ περιϊόντος ἐν κύκλῳ τὴν πόλιν, ἑσπέραν ἀναμείνας γενέσθαι, καὶ [4] κελεύσας ἐξοπλίζεσθαι τοὺς Ἕλληνας, ἔλεγεν ἐλθὼν πρὸς [5] τὸν Αἰγύπτιον· Ὁ μὲν τῆς σωτηρίας, ὦ νεανία, καιρὸς

ῥὸς

1 καὶ omittit Junt. cum Ald. & Crat. Eaedem edd. paulo post pro συνεισῆλθεν dant συνῆλθεν.

2 SG. ἦγον.

3 Br. legendum videtur αὐτῷ; H. Steph. autem αὐτοῦ.

4 deest καὶ Junt. Ald. Crat. & SG.

5 V. εἰς.

ρὸς οὗτός ἐστιν, ὃν ἐγὼ διαφθεῖραι μὴ βουλόμενος [1], οὐκ ἔφραζον, πρὶν ἐλθεῖν. ἐπεὶ δ' ὑμῖν οἱ πολέμιοι τὴν ἀσφάλειαν αὐτοὶ διὰ τοῦ πλήθους [2] τῶν χειρῶν παρεσκευάκασι, τοσαύτην ὀρυξάμενοι τάφρον, ἧς τὸ μὲν ἐξειργασμένον ἐκείνοις ἐμποδών ἐστι, τὸ δὲ διαλεῖπον ἡμῖν δίδωσιν ἴσῳ καὶ δικαίῳ μέτρῳ διαμάχεσθαι πρὸς αὐτούς, φέρε, νῦν προθυμηθεὶς ἀνὴρ ἀγαθὸς γενέσθαι, καὶ μεθ' ἡμῶν ἐπισπωμενος [3] δρόμῳ, σῶζε σεαυτὸν ἅμα καὶ τὴν στρατιάν [4]. ἡμᾶς γὰρ οἱ μὲν κατὰ στόμα τῶν πολεμίων οὐχ ὑπομενοῦσιν, οἱ δ' ἄλλοι διὰ τὴν τάφρον οὐ βλάψουσιν. ἐθαύμασεν οὖν ὁ Νεκτάναβις τοῦ Ἀγησιλάου τὴν δεινότητα, καὶ δοὺς ἑαυτὸν εἰς μέσα τὰ τῶν Ἑλλήνων ὅπλα, καὶ προσπεσὼν, ἐτρέψατο ῥᾳδίως τοὺς ἀντιστάντας [5]. ὡς δ' ἅπαξ ἔλαβε πειθόμενον αὐτῷ τὸν Νεκτάναβιν ὁ Ἀγησίλαος, αὖθις ἐπῆγε τὸ αὐτὸ στρατήγημα, καθάπερ πάλαισμα, τοῖς πολεμίοις. τὰ μὲν γὰρ ὑποφεύγων καὶ ὑπάγων, τὰ δ' ἀντιπεριχωρῶν [6], ἐμβάλλει τὸ πλῆθος αὐτῶν εἰς τόπον ἔχοντα [7] διώρυχα βαθεῖαν ἐξ ἑκατέρας πλευρᾶς παραρρέουσαν [8]. ὧν τὸ μέσον ἐμφράξας, καὶ καταλαβὼν τῷ μετώπῳ τῆς φάλαγγος, ἐξίσωσε πρὸς τοὺς μαχομένους τῶν πολεμίων τὸ πλῆθος [9], οὐκ ἔχοντας περιδρομὴν καὶ κύκλωσιν. ὅθεν



1 Teste H. Steph. quidam codd. pro *μὴ βουλόμ.* habent *φοβούμενος*. Sic & SG.

2 Haec vocabula in vulg. paulo infra post *ἐμποδών ἐστι* leguntur. R. ea ad ordinem reduxit primigenium.

3 Mos. Dus. cum Mur. legi vult *ἐπισπόμενος*.

4 SG. *στρατείαν*. Sic & Junt. Ald. Crat.

5 V. *τοὺς ἄνδρας*.

6 R. susp. *ἀντιπροσχωρῶν*, *ex inverso rursus ad eos adversus*, vel *infestus procedens*.

7 Junt. Ald. Crat. *ἔχον*.

8 V. *περιέχουσαν*.

9 R. susp. *τὸ ἑαυτοῦ πλῆθος*, quanquam ipsi planius dictum videretur *πρὸς τοὺς παρ' ἑαυτῷ μαχομένους τῶν πολεμίων τὸ ἀρ-*

γὸν

ἐ πολὺν χρόνον ἀντιςάντες ἐτράποντο· καὶ πολλοὶ μὲν ἀνῃρέθησαν, οἱ δὲ φεύγοντες ἐσκεδάσθησαν καὶ διεῤῥύησαν.

XL. Ἐκ δὲ τέτε καλῶς μὲν εἶχε τὰ πράγματα καὶ βεβαίως τῷ Αἰγυπτίῳ πρὸς ἀσφάλειαν· ἀγαπῶν δὲ καὶ φιλοφρονέμενος, ἐδεῖτο μεῖναι καὶ συνδιαχειμάσαι μετ' αὐτῦ τὸν Ἀγησίλαον. ὁ δ' ὥρμητο πρὸς τὸν οἴκοι πόλεμον, εἰδὼς χρημάτων δεομένην τὴν πόλιν καὶ ξενοτροφῦσαν. πρέπεμψεν ἔν αὐτὸν ἐντίμως καὶ μεγαλοπρεπῶς, ἄλλας τε λαβόντα τιμὰς καὶ δωρεὰς, καὶ πρὸς τὸν πόλεμον ἀργυρίε διακόσια καὶ τριάκοντα τάλαντα. χειμῶνος δ' ὄντος ἤδη, τῆς γῆς ἐχόμενος ταῖς ναυσὶ, καὶ παρὰ τὴν Λιβύην εἰς χωρίον ἔρημον κομισθεὶς [1], ὃ καλῦσι Μενελάε λιμένα, ἀποθνήσκει, βιώσας μὲν ὀγδοήκοντα καὶ τέσσαρα ἔτη [2], βασιλεύσας δὲ τῆς Σπάρτης, ἑνὶ τῶν τεσσαράκοντα πλέον, καὶ τέτων ὑπὲρ τριάκοντα πάντων μέγιςος καὶ δυνατώτατος γενόμενος, καὶ σχεδὸν ὅλης τῆς Ἑλλάδος ἡγεμὼν καὶ βασιλεὺς νομισθεὶς, ἄχρι τῆς ἐν Λεύκτροις μάχης. ἔθυς δ' ὄντος Λακωνικῦ, τῶν μὲν ἄλλων ἐπὶ ξένης ἀποθανόντων, αὐτῦ [3] τὰ σώματα κηδεύειν καὶ ἀπολείπειν, τὰ δὲ τῶν βασιλέων οἴκαδε κομίζειν, οἱ παρόντες Σπαρτιᾶται κηρὸν ἐπιτήξαντες τῷ νεκρῷ, μέλιτος ἐ παρόντος, ἀπῆγον εἰς Λακεδαίμονα. τὴν δὲ βασιλείαν Ἀρχίδαμος, ὁ υἱὸς αὐτῦ, παρέλαβε, καὶ διέμεινε τῷ γένει μέχρις Ἄγιδος, ὃν ἐπιχειρῦντα τὴν πάτριον ἀναλαβεῖν πολι-

γὸν πλῆθος, effecit, ut paucitati fuorum, quos a pugna nihil impediebat, haud effet praeferenda hoftium incredibilis multitudo, fed iners & a facultate pugnandi exclufa. Mavult idem in feq. ἔχον pro ἔχοντας, ut ad πλῆθος τῶν πολεμίων referatur, cum non circumveniendus, fed circumvenire contendens, negetur ἔχειν κύκλωσιν.

1 abeft a SG. Lin. feq. V. θνήσκει pro ἀποθν.

2 V. ἐνιαυτὲς. Id. lin. feq. πλείω pro πλέον.

3 *ibidem loci*, ubi quisque mortuus eft. R. Junt. αὐτῶν.

πολιτείαν, απέκ]ειν8 Λεωνίδας, πέμπ]ον ἀπ' Ἀγησιλάȣ γεγονότα.

# ΠΟΜΠΗΙΟΣ.

Πρὸς δὲ [1] Πομπήϊον ἔοικε τȣ̃το παθεῖν ὁ Ῥωμαίων δῆμος εὐθὺς ἐξ ἀρχῆς, ὅπερ ὁ Αἰσχύλȣ Προμηθεὺς [2] πρὸς τὸν Ἡρακλέα, σωθεὶς ὑπ' αὐτȣ̃, καὶ λέγων·

Ἐχθρȣ̃ πατρός μοι τȣ̃το φίλτατον τέκνον.

ȣ̃τε γὰρ μῖσος ȣ̃τως ἰσχυρὸν καὶ ἄγριον ἐπεδείξαντο Ῥωμαῖοι πρὸς ἕτερον στρατηγὸν, ὡς τὸν Πομπηΐȣ πατέρα Στράβωνα, ζῶν]ος μὲν αὐτȣ̃ φοβȣ́μενοι τὴν ἐν τοῖς ὅπλοις δύναμιν· (ἦν γὰρ ἀνὴρ πολεμικώτατος) ἐπεὶ δ' ἀπέθανε κεραυνωθεὶς, ἐκκομιζόμενον τὸ σῶμα κατασπάσαντες ἀπὸ τȣ̃ λέχȣς καὶ καθυβρίσαντες· ȣ̃τε μὴν εὔνοιαν αὖ πάλιν σφοδροτέραν, ἢ θᾶσσον ἀρξαμένην, ἢ μᾶλλον εὐτυχȣ̃ντι συνακμάσασαν, ἢ π]αίσαντι [3] παραμείνασαν βεβαιότερον, ἄλλος ἔσχε Ῥωμαίων, ἢ Πομπήϊος. αἰτία δὲ τȣ̃ μὲν μίσȣς ἐκείνῳ μία, χρημάτων ἄπληστος ἐπιθυμία· τȣ́τῳ δὲ πολλαὶ τȣ̃ ἀγαπᾶσθαι, σωφροσύνη περὶ δίαιταν, ἄσκησις ἐν ὅπλοις, πιθανότης λόγȣ, πίστις ἤθȣς, εὐαρμοστία πρὸς ἔντευξιν, ὡς μηδενὸς [4] ἀλυ-



1 δὲ deest Junt. Ald. Crat.

2 Deperdita est haec Aeschyli fabula, cui nomen erat Προμηθεὺς λυόμενος.

3 Junt. Ald. Crat. παίσαντι.

4 R. susp. ὡς μηδένα μηδενὸς, *ut nemo unquam minore cum taedio & molestia quicquam quemquam rogarit*, quam qui Pompejum rogarunt, si quae rogarent. Sequens ἀλυπότ. Idem restituit e Juntina. Vulg. ex Ald. ἀλυπηρότερον, quod ipsi graecum non videtur. Anon. ὡς μηδενὸς πρότερον. Interim variant in hoc loco Interpretes, Tudertinus ita: unde absque tristitia neminem rogavit, absque alacritate nemini obsecutus. Ad

ἀλυπότερον δεηθῆναι, μηδ' ἥδιον ὑπεργῆσαι δεομένῳ. προσῆν γὰρ αὐτῷ ταῖς χάρισι καὶ τὸ ἀνεπαχθὲς διδόντος, καὶ τὸ σεμνὸν λαμβάνοντος.

II. Ἐν ἀρχῇ δὲ καὶ τὴν ὄψιν ἔχεν ἐ μετρίως συνδημαγωγῆσαν καὶ προεντυγχάνεσαν αὐτῷ τῆς Φωνῆς. τὸ γὰρ ἐράσμιον, ἀξιωματικὸν ἦν Φιλανθρώπως, καὶ τῷ νεαρῷ [1] καὶ ἀνθῦντι διέφαινεν εὐθὺς ἡ ἀκμὴ [2] τὸ γεραρὸν καὶ τὸ βασιλικὸν τῷ ἤθες. ἦν δέ τις καὶ ἀναςολὴ τῆς κόμης ἀτρέμα [3], καὶ τῶν περὶ τὰ ὄμματα ῥυθμῶν ὑγρότης [4], τῷ προσώπῳ ποιῶσα μᾶλλον λεγομένην, ἢ Φαινομένην, ὁμοιότητα πρὸς τὰς Ἀλεξάνδρε τῷ βασιλέως εἰκόνας. ᾗ καὶ τὔνομα πολλῶν ἐν ἀρχῇ συνεπιΦερόντων ὲκ ἔΦυγεν ὁ Πομπήϊος· ὥςε καὶ χλευάζοντας αὐτὸν ἐνίες ἤδη καλεῖν Ἀλέξανδρον. διὸ καὶ Λεύκιος Φίλιππος, ἀνὴρ ὑπατικὸς, συνηγορῶν αὐτῷ, μηδὲν ἔΦη ποιεῖν παράλογον [5], εἰ, Φίλιππος ὤν, Φιλαλέξανδρος ἐςί. Φλώραν δὲ, τὴν ἑταίραν, ἔΦασαν ἤδη πρεσβυτέραν ἔσαν ἐπιεικῶς ἀεὶ μνημονεύειν τῆς γενομένης αὐτῇ πρὸς τὸν [6] Πομπήϊον ὁμιλίας, λέγεσαν, ὡς

Ad hunc accedit Kind: indem Niemand andern mit Bitten weniger beſchwerlich fiel, und Niemand andern ihre Bitte lieber gewährte, als er. Legere videntur hi ὡς μηδένα λυπηρότερον δεηθῆναι, μηδένα &c. Nec fateri dubito, mihi hunc ſenſum Plutarcheae dictionis probari, cum alter, quem alii ſecundum vulgatam adſtruere ſolent, & R. ſua conjectura illuſtravit, aliquid tautologiae continere mihi videatur. Etiam in ſequenti ſermo eſt non ſolum de dante, ſed & de accipiente.

1 Ante τῷ νε. R. deeſſe cenſet aut ἅμα, aut ὁμῶ, aut σύν.

2 Anon. & Mur. ἐν ἀκμῇ, quod probat Moſ. Duſ.

3 R. quaerit, num ἀτρεμαία, ab adj. ἀτρεμαῖος?

4 Docente Xyl. per ῥυθμὲς h. l. intelligendi ſunt concinni motus oculorum; ὑγρότης autem mollitiem facilitatemque motus ſignificat. R. quaerit, num καὶ τῷ π. τ. ὄ. ῥυθμῷ ὑγρότης τῷ προσώπῳ, ποιῶσα?

5 Junt. ſola περὶ λόγον.

6 abeſt τὸν a SG.

ὡς ὐκ ἦν ἐκείνῳ συναναπαυσαμένην [1] ἀδήκτως ἀπελθεῖν. πρὸς δὲ τούτοις διηγεῖσθαι τὴν Φλώραν, ἐπιθυμῆσαι τινὰ τῶν Πομπηΐου συνήθων αὐτῆς, Γεμίνιον, καὶ πράγματα πολλὰ παρέχειν [2] πειρῶντα· αὐτῆς δὲ φαμένης, ὐκ ἂν ἐθελῆσαι διὰ Πομπήϊον, ἐκείνῳ τὸν Γεμίνιον διαλέγεσθαι· τὸν ὖν Πομπήϊον ἐπιτρέψαι μὲν τῷ Γεμινίῳ, μηκέτι δ' αὐτὸν ἅψασθαι τὸ παράπαν, μηδ' ἐντυχεῖν αὐτῇ, καίπερ ἐρᾷν δοκῦντα. τῦτο δ' αὐτὴν ὐχ ἑταιρικῶς ἐνεγκεῖν, ἀλλὰ πολὺν ὑπὸ λύπης καὶ πόθυ χρόνον νοσῆσαι. καίτοι τὴν Φλώραν ὕτω λέγυσιν ἀνθῆσαι καὶ γενέσθαι περιβόητον, ὥστε Καικίλιον [3] Μέτελλον ἀνδριάσι καὶ γραφαῖς κοσμῦντα τὸν νεὼν τῶν Διοσκύρων, κἀκείνης εἰκόνα γραψάμενον ἀναθεῖναι διὰ τὸ κάλλος. Πομπήϊος δὲ καὶ τῇ Δημητρίῳ τῦ ἀπελευθέρυ γυναικὶ, πλεῖστον ἰσχύσαντος παρ' αὐτῷ, καὶ τετρακισχιλίων ταλάντων ἀπολιπόντος ὐσίαν, ἐχρῆτο, παρὰ τὸν ἑαυτῦ [4] τρόπον ὐκ ἐπιεικῶς, ὐδ' ἐλευθερίως, φοβηθεὶς τὴν εὐμορφίαν αὐτῆς, ἄμαχόν τινα καὶ περιβόητον ὖσαν, ὡς μὴ φανείη κεκρατημένος [5]. ὕτω δὲ πάνυ πόῤῥωθεν εὐλαβὴς ὢν πρὸς τὰ τοιαῦτα καὶ πεφυλαγμένος, ὅμως ὐ διέφευγε τῶν ἐχθρῶν τὸν ἐπὶ τύτῳ ψόγον, ἀλλ' ἐπὶ ταῖς γαμεταῖς ἐσυκοφαντεῖτο, πολλὰ τῶν κοινῶν παριδεῖν καὶ προέσθαι χαριζόμενος ἐκείναις. τῆς δὲ περὶ τὴν δίαιταν εὐκολίας καὶ λιτότητος, [ἓν [6]] ἀπομνημόνευμα λέ-



1 *non potuisse ab eo discedere sine morsu*, h. e. (ut R. adnotat) dulcedine quadam subamara, cum meminisset suavitatis, quam ab ejus consuetudine percepisset, & rursus cogitaret, ab eo sibi fuisse discedendum, cujus desiderium impatienter ferret.

2 R. mavult παραχεῖν.

3 SG. καὶ κίλιον; Id. lin. seq. νεὼ pro νεών.

4 SG. αὐτῦ. Sic & Junt. — in Ald. & Crat. αὐτῦ, uti & in reliquis. Br. ἑαυτῦ.

5 scil. ὑπ' αὐτῆς.

6 Pro hac voce Junt. Ald. Crat. exhibent καὶ. Utrumque, ἓν & καὶ, R. e littera ultima vocabuli proximi λιτότητος ortum

λέγεται τοιῦτον. ἰατρὸς αὐτῷ νοσοῦντι καὶ κακῶς ἔχοντι πρὸς τὰ σιτία κίχλην προσέταξε λαβεῖν. ὡς δὲ ζητοῦντες οὐχ εὗρον ὤνιον, (ἦν γὰρ παρ' ὥραν) ἔφη δέ τις εὑρεθήσεσθαι παρὰ Λουκόλλῳ [1] δι' ἔτους τρεφομένας· Εἶτ', εἶπεν, εἰ μὴ Λούκουλλος ἐτρύφα, Πομπήϊος οὐκ ἂν ἔζησε; καὶ χαίρειν ἐάσας τὸν ἰατρὸν, ἔλαβέ τι τῶν εὐπορίστων. ταῦτα μὲν οὖν ὕστερον.

III. Ἔτι δὲ μειράκιον ὢν παντάπασι, καὶ τῷ πατρὶ συστρατευόμενος ἀντιτεταγμένῳ πρὸς Κίνναν, Λεύκιόν τινα Τερέντιον εἶχεν ἑταῖρον καὶ σύσκηνον. οὗτος ὑπὸ Κίννα πεισθεὶς χρήμασιν, αὐτὸς μὲν ἔμελλε Πομπήϊον ἀποκτενεῖν [2], ἕτεροι δὲ τὴν σκηνὴν ἐμπρήσειν τοῦ στρατηγοῦ. μηνύσεως δὲ τῷ Πομπηΐῳ περὶ δεῖπνον ὄντι προσπεσούσης, οὐδὲν διαταραχθεὶς, ἀλλὰ καὶ πιὼν προθυμότερον καὶ φιλοφρονησάμενος τὸν Τερέντιον, ἅμα τῷ τραπέσθαι πρὸς ἀνάπαυσιν ὑπεκρυεὶς τῆς σκηνῆς ἔλαθε, καὶ τῷ πατρὶ φρουρὰν περιστήσας ἡσύχαζεν. ὁ δὲ Τερέντιος, ὡς ἐνόμιζε καιρὸν εἶναι, σπασάμενος τὸ ξίφος ἀνέστη, καὶ τῇ στιβάδι τοῦ Πομπηΐου προσελθὼν, ὡς κατακειμένου, πολλὰς ἐνεφόρει πληγὰς τοῖς στρώμασιν. ἐκ δὲ τούτου γίνεται μέγα κίνημα μίσει τοῦ στρατηγοῦ, καὶ πρὸς ἀπόστασιν ὁρμὴ τῶν στρατιωτῶν, τάς τε σκηνὰς ἀνασπώντων, καὶ τὰ ὅπλα λαμβανόντων. ὁ μὲν οὖν στρατηγὸς οὐ προῄει [3], δεδιὼς τὸν θόρυβον· ὁ δὲ Πομπήϊος ἐν μέσοις ἀναστρεφόμενος καὶ δακρύων ἱκέτευε· τέλος δὲ ῥίψας ἑαυτὸν ἐπὶ στόμα πρὸ τῆς πύλης τοῦ χάρακος, ἐμποδὼν ἔκειτο κλαίων, καὶ πατεῖν κελεύων τοὺς ἐξιόντας· ὥστε ἕκαστον ἀναχωρεῖν ὑπ' αἰδοῦς, καὶ

tum esse, & delendum censet. Seq. τοιοῦτον idem cum V. dedit. Vulgo τοιοῦτο.

1 SG. Λευκόλλῳ. Sic & paulo post id. Λεύκολλος. Ita quoque scriptum est in Junt. at in Ald. & Crat. Λεύκουλλος.

2 SG., ἀποκτείνειν.

3 SG. προσῄει. Sic & Junt. Ald. Crat.

καὶ πάντας οὕτω, πλὴν ὀκτακοσίων, μεταβαλέσθαι καὶ διαλλαγῆναι πρὸς τὸν στρατηγόν.

IV. Ἅμα δὲ τῷ τελευτῆσαι τὸν Στράβωνα, δίκην κλοπῆς ἔσχεν ὑπὲρ αὐτοῦ δημοσίων χρημάτων ὁ Πομπήϊος, καὶ τὰ μὲν πλεῖστα φωράσας ἕνα τῶν ἀπελευθέρων νενοσφισμένον ὁ Πομπήϊος [1] Ἀλέξανδρον, ἀπέδειξε τοῖς ἄρχουσιν. αὐτὸς δὲ λίνα θηρευτικὰ [2] καὶ βιβλία τῶν ἐν Ἄσκλῳ ληφθέντων ἔχειν κατηγορεῖτο. ταῦτα δ' [3] ἔλαβε μὲν παρὰ τοῦ πατρὸς ἑλόντος τὸ Ἄσκλον, ἀπώλεσε δὲ, τῶν Κίννα δορυφόρων, ὅτε κατῆλθεν, ὠσαμένων εἰς τὴν οἰκίαν αὐτοῦ καὶ διαρπασάντων. ἐγίνοντο δὲ τῆς δίκης αὐτῷ προάγωνες οὐκ ὀλίγοι πρὸς τὸν κατήγορον. ἐν οἷς ὀξὺς ἅμα καὶ παρ' ἡλικίαν εὐσταθὴς [4] φαινόμενος, δόξαν ἔσχε μεγάλην καὶ χάριν· ὥστ' Ἀντίστιον στρατηγοῦντα, καὶ βραβεύοντα τὴν δίκην ἐκείνην ἐρασθῆναι τοῦ Πομπηΐου, καὶ γυναῖκα δοῦναι τὴν ἑαυτοῦ θυγατέρα, καὶ περὶ τούτου τοῖς φίλοις διαλέγεσθαι. δεξαμένου δὲ Πομπηΐου, καὶ γενομένων ἐν αὐτοῖς ἀποῤῥήτων ὁμολογιῶν, ὅμως οὐκ ἔλαθε τοὺς πολλοὺς τὸ πρᾶγμα διὰ τὴν τοῦ Ἀντιστίου σπουδήν. τέλος δὲ, τὴν γνώμην ἀναγορεύσαντος αὐτοῦ τῶν δικαστῶν ἀπολύουσαν, ὥσπερ ἐκ παραγγέλματος ὁ δῆμος ἐπεφώνησε τοῦτο δὴ τὸ [5] τοῖς γαμοῦσιν ἐπιφωνούμενον ἐξ ἔθους παλαιοῦ, Ταλασίῳ. τὸ δ' ἔθος ἀρχὴν λαβεῖν [6] φασι τοιαύτην. ὅτε τὰς θυγατέρας τῶν Σαβίνων ἐπὶ θέαν ἀγῶνος εἰς Ῥώμην παραγενομένας οἱ πρωτεύοντες ἀρετῇ Ῥωμαίων ἥρπαζον ἑαυτοῖς γυναῖκας, ἄδοξοί τινες αἰγελάται [7] καὶ βοτῆ-



1 SG. ὁ Πομπήϊος νενοσφισμένον Ἀλ.
2 SG. θηρατικά.
3 δ' abest a SG.
4 Legi quoque ἀπαθής, testis est H. Steph.
5 deest τὸ Junt. Ald. Crat.
6 deest λαβεῖν SG.
7 Teste H. Steph. legitur etiam ἀπελάται. Ita SG. Eandem quoque affert V. cum alia ἀγελάται.

βοτῆρες ἀράμενοι κόρην καλὴν καὶ μεγάλην ἐκόμιζον. ὅπως οὖν μὴ[1] προστυχών τις ἀφέληται τῶν κρειττόνων, ἐβόων θέοντες ἅμα, Ταλασίῳ. τῶν δὲ χαριέντων καὶ γνωρίμων τις ἦν ὁ Ταλάσιος· ὥστε τοὺς ἀκούσαντας τοὔνομα, κροτεῖν καὶ βοᾷν, οἷον συνηδομένους καὶ συνεπαινοῦντας. ἐκ τούτου φασὶ (καὶ γὰρ [2] εὐτυχὴς ὁ γάμος ἀπέβη τῷ Ταλασίῳ) ταύτην τὴν ἐπιφώνησιν μετὰ παιδιᾶς γενέσθαι τοῖς γαμοῦσιν. οὗτος ὁ λόγος πιθανώτατός ἐστι τῶν περὶ τοῦ Ταλασίου λεγομένων. ὀλίγαις οὖν [3] ὕστερον ἡμέραις ὁ Πομπήϊος ἠγάγετο τὴν Ἀντιστίαν.

V. Ἐπεὶ δὲ [4] πρὸς Κίνναν εἰς τὸ στρατόπεδον πορευθεὶς, ἐξ αἰτίας τινὸς καὶ διαβολῆς ἔδεισε· καὶ ταχὺ λαθὼν ἐκποδὼν ἐποίησεν ἑαυτόν. οὐκ ὄντος δ' ἐμφανοῦς αὐτοῦ, θροῦς διῆλθεν ἐν τῷ στρατοπέδῳ καὶ λόγος, ὡς ἀνῃρήκει [5] τὸν νεανίσκον ὁ Κίννας. ἐκ δὲ τούτου οἱ πάλαι βαρυνόμενοι καὶ μισοῦντες ὥρμησαν ἐπ' αὐτόν. ὁ δὲ [6] φεύγων καὶ καταλαμβανόμενος ὑπό τινος τῶν λοχαγῶν γυμνῷ τῷ ξίφει διώκοντος, προσέπεσε τοῖς γόνασι [7], καὶ τὴν σφραγῖδα προὔτεινε πολύτιμον οὖσαν. ὁ δὲ καὶ μάλα ὑβριστικῶς εἰπών· Ἀλλ' οὐκ ἐγγύην ἔρχομαι σφραγιούμενος, ἀλλ' ἀνόσιον καὶ παράνομον τιμωρησόμενος τύραννον· ἀπέκτεινεν αὐτόν. οὕτω δὲ τοῦ Κίννα τελευτήσαντος, ἐδέξατο μὲν τὰ πράγματα καὶ συνεῖχε

1 deest μὴ Juntinae.
2 V. ὡς γάρ.
3 V. ὀλίγαις δ' οὖν.
4 H. Steph. monet, aut ἐπεὶ δὲ h. l. pro ἔπειτα δὲ, uti alibi, sumendum esse, aut particulam δὲ post ὄντος vacare, & post ἑαυτὸν punctum, quod datur, utpote sententia adhuc pendente, non esse ponendum.
5 SG. ἀνῃρήκοι.
6 Aliter mortem Cinnae Liv. LXXXVIII. & Appianus describunt. Xyl.
7 SG. γόνασι.

εἶχε Κάρβων, ἐμπληκτότερος ἐκείνου τύραννος. ἐπῄει δὲ Σύλλας τοῖς πλείστοις ποθεινὸς ὑπὸ τῶν παρόντων κακῶν, οὐδὲ δεσπότου μεταβολὴν μικρὸν ἡγουμένοις ἀγαθόν. εἰς τοῦτο προήγαγον αἱ συμφοραὶ τὴν πόλιν, ὡς δουλείαν ἐπιεικεστέραν ζητεῖν, ἀπογνώσει τῆς [1] ἐλευθερίας.

VI. Τότ' οὖν ὁ Πομπήϊος ἐν τῇ Πικηνίδι [2] τῆς Ἰταλίας διέτριβεν, ἔχων μὲν αὐτόθι καὶ χωρία, τὸ δὲ πλέον ταῖς πόλεσιν ἡδόμενος, οἰκείως καὶ φιλικῶς πατρόθεν [3] ἐχούσαις πρὸς αὐτόν. ὁρῶν δὲ τοὺς ἐπιφανεστάτους καὶ βελτίστους τῶν πολιτῶν ἀπολιπόντας τὰ οἰκεῖα, καὶ πανταχόθεν εἰς τὸ Σύλλα στρατόπεδον, ὥσπερ εἰς λιμένα, καταθέοντας, αὐτὸς οὐκ ἠξίωσεν ἀποδρὰς, οὐδ' ἀσύμβολος, οὐδὲ χρῄζων βοηθείας, ἀλλ' ὑπάρξας [4] τινὸς χάριτος, ἐνδόξως καὶ μετὰ δυνάμεως ἐλθεῖν πρὸς αὐτόν. ὅθεν ἐκίνει τοὺς Πικηνοὺς ἀποπειρώμενος. οἱ δ' ὑπήκουον αὐτῷ προθύμως, καὶ τοῖς παρὰ [5] Κάρβωνος ἥκουσιν οὐ προσεῖχον. Οὐϊνδίου [6] δέ τινος εἰπόντος, ὅτι δημαγωγὸς αὐτοῖς ἐκ παιδαγωγείου παραπεπήδηκεν [7] ὁ Πομπήϊος, οὕτως ἠγανάκτησαν, ὥστ' εὐθὺς ἀνελεῖν προσπεσόντες τὸν Οὐΐνδιον. ἐκ τούτου Πομπήϊος ἔτη μὲν τρία καὶ εἴκοσι γεγονὼς, ὑπ' οὐδενὸς δ' ἀνθρώπου ἀποδεδειγμένος στρατη-

1 R. susp. ἀπογνωσθείσης ἐλευθερίας, *servitutem apertam praestare libertati desperatae*, h. e. ei, quam ita tenes, nomine tenus, ut desperes, eam te diutius tueri posse.

2 SG. Πικινίδι. Sic & infra Πικινοὺς pro Πικηνούς.

3 V. πανταχόθεν.

4 Junt. Ald. Crat. ὑπάρξαι.

5 Junt. περὶ.

6 V. Οὐϊδίου, Οὐηδίου; & sic etiam infra Οὐΐδιον, Οὐήδιον; SG. posteriorem exhibet scripturam. R. susp. posse de Vinidio cogitari. Junt. altero loco cum vulg. dat Οὐϊνδίου, altero autem Ἰούδιον. SG. quoque paulo post παιδαγωγίου scribit cum Junt.

7 Br. susp. παρεκπεπήδηκεν.

στρατηγὸς, αὐτὸς ἑαυτὸν δοὺς τῷ ἄρχειν [1], ἐν Αὐξίμῳ πόλει μεγάλῃ βῆμα θεὶς ἐν ἀγορᾷ, καὶ τοὺς πρωτεύοντας αὐτῶν [2] ἀδελφοὺς δύο Οὐεντιδίους ὑπὲρ Κάρβωνος ἀντιπράττοντας, διατάγματι μεταστῆναι τῆς πόλεως κελεύσας, στρατιώτας κατέλεγε [3], καὶ λοχαγοὺς καὶ ταξιάρχους κατὰ κόσμον ἀποδείξας ἑκάστοις, τὰς κύκλῳ πόλεις ἐπῄει τὸ αὐτὸ ποιῶν. ἐξανισταμένων δὲ καὶ ὑποχωρούντων, ὅσοι τὰ Κάρβωνος ἐφρόνουν, τῶν δ' ἄλλων ἀσμένως ἐπιδιδόντων ἑαυτοὺς, οὕτω κατανείμας ἐν ὀλίγῳ χρόνῳ τρία τάγματα τέλεια, καὶ τροφὴν πορίσας καὶ σκευαγωγὰ καὶ ἁμάξας, καὶ τὴν ἄλλην πᾶσαν παρασκευὴν, ἦγε πρὸς Σύλλαν, οὐκ ἐπειγόμενος, οὐδὲ τὸ λαθεῖν ἀγαπῶν, ἀλλὰ διατρίβων καθ' ὁδὸν ἐν τῷ κακῶς ποιεῖν τοὺς πολεμίους, καὶ πᾶν ὅσον ἐπῄει τῆς Ἰταλίας πειρώμενος ἀφιστάναι τοῦ Κάρβωνος.

VII. Ἀνέστησαν οὖν ἐπ' αὐτὸν τρεῖς ἅμα στρατηγοὶ πολέμιοι, Καρίννας, καὶ Κοίλλιος [4], καὶ Βροῦτος, οὐκ ἐναντίοι πάντες, οὐδ' ὁμόθεν, ἀλλὰ κύκλῳ τρισὶ στρατοπέδοις περιχωροῦντες, ὡς ἀναρπασόμενοι. ὁ δ' οὐκ ἔδεισεν, ἀλλὰ πᾶσαν εἰς ταὐτὸ τὴν δύναμιν συναγαγὼν, ὥρμησεν ἐφ' ἓν τὸ τοῦ Βρούτου στράτευμα, τοὺς ἱππεῖς, ἐν οἷς ἦν αὐτὸς, προτάξας. ἐπεὶ δὲ καὶ παρὰ [5] τῶν πολεμίων ἀντεξίππασαν οἱ Κελτοὶ, τὸν πρῶτον αὐτῶν [6] καὶ ῥωμαλεώτατον φθάνει παίσας ἐκ χειρὸς δόρατι καὶ καταβαλών. οἱ δ' ἄλλοι τραπόμενοι καὶ τὸ πεζὸν συνετάραξ-

1 Mof. Duf. fufp. ἑαυτῷ δοὺς τὸ ἄρχειν. Artic. τὸ habet SG.

2 Malim h. l. αὐτῆς, licet haud ignorem, quomodo vulgata fit tuenda. Pro Οὐεντιδ. V. SG. Οὐετιδίους.

3 SG. καταλέγει. Paulo infra id. αὐτοὺς pro ἑαυτοὺς.

4 SG. Κλοίλιος.

5 Junt. περί. Pro ἀντεξίππ. V. SG. ἀντεξίππευσαν. R. fufp. ἀντεξιππάσαντο Κελτοὶ, cum ἱππάζεσθαι tantum in medio ufurpetur.

5 Sic cum Mur. annott. legi voluit Mof. Duf. & dedit R. pro vulg. αὐτόν.

ἐτάραξαν, ὥστε φυγὴν γενέσθαι πάντων. ἐκ δὲ τούτου στασιάσαντες οἱ στρατηγοὶ πρὸς ἀλλήλους ἀνεχώρησαν, ὡς ἕκαστος ἔτυχε. Πομπηΐῳ δὲ προσεχώρουν αἱ πόλεις, ὡς διὰ φόβον ἐσκεδασμένων τῶν πολεμίων. αὖθις δὲ Σκιπίωνος [1] ἐπιόντος αὐτῷ, τοῦ ὑπάτου, πρὶν ἐν ἐμβολαῖς [2] ὑσσῶν γενέσθαι τὰς φάλαγγας, οἱ Σκιπίωνος ἀσπασάμενοι τοὺς Πομπηΐου μετεβάλλοντο· Σκιπίων δ' ἔφυγε. τέλος δὲ Κάρβωνος αὐτοῦ περὶ τὸν Ἄρσιν ποταμὸν ἱππέων συχνὰς ἴλας ἀφέντος [3], εὐρώστως ὑποστὰς καὶ τρεψάμενος, εἰς χαλεπὰ καὶ ἄφιππα χωρία πάντας ἐμβάλλει διώκων. οἱ δὲ τὴν σωτηρίαν ἀνέλπιστον ὁρῶντες, ἐνεχείρισαν [4] αὑτοὺς μετὰ τῶν ὅπλων καὶ τῶν ἵππων.

VIII. Οὔπω δὲ ταῦτα Σύλλας ἐπέπυστο· πρὸς δὲ τὰς πρώτας ἀγγελίας καὶ φήμας ὑπὲρ αὐτοῦ δεδοικώς, ἐν τοσούτοις καὶ τηλικούτοις ἀναστρεφομένου στρατηγοῖς πολεμίοις, ἐδίωκε βοηθήσων. γνοὺς δ' ὁ Πομπήϊος ἐγγὺς ὄντα, προσέταξε τοῖς ἡγεμόσιν ἐξοπλίζειν καὶ διακοσμεῖν τὴν δύναμιν, ὡς καλλίστη τῷ αὐτοκράτορι καὶ λαμπροτάτη φανείη. μεγάλας γὰρ ἤλπιζε παρ' αὐτοῦ τιμάς· ἔτυχε δὲ μειζόνων. ὡς γὰρ εἶδεν αὐτὸν ὁ Σύλλας προσιόντα, καὶ τὴν στρατιὰν [5] παρεστῶσαν, εὐανδρίᾳ τε θαυμαστὴν, καὶ διὰ τὰς κατορθώσεις ἐπηρμένην καὶ ἱλαρὰν, ἀποπηδήσας τοῦ ἵππου, καὶ προσαγορευθεὶς, ὡς εἰκὸς, αὐτοκράτωρ, ἀντιπροσηγόρευσεν αὐτοκράτορα τὸν Πομπήϊον· οὐδενὸς ἂν προσδοκήσαντος ἀνδρὶ νέῳ καὶ μηδέπω βουλῆς μετέχοντι κοινώσασθαι τοὔνομα τοῦτο Σύλλαν, περὶ οὗ Σκιπίωσι καὶ Μαρίοις ἐπολέμει. καὶ τἆλλα δ' ἦν ὁμολογοῦντα ταῖς πρώταις φιλοφροσύναις, ὑπεξανισταμένου

μένου

1 SG. hic & infra Σκηπίωνος. Sic & Junt. & Ald.
2 i. e. συμβολ. R.
3 R. mavult ἐφέντος, scil. in Pompejum.
4 SG. ἐνεχείρησαν.
5 SG. στρατείαν. V. δύναμιν. In seq. SG. εὐανδρίαν pro εὐανδρίᾳ.

μένε τε [1] προσιόντι τῷ Πομπηΐῳ, καὶ τῆς κεφαλῆς ἀπάγοντος τὸ ἱμάτιον· ἃ πρὸς ἄλλον ἐ ῥᾳδίως ἑωρᾶτο ποιῶν, καίπερ ὄντων πολλῶν καὶ ἀγαθῶν περὶ αὐτόν. ἐ μὴν ἐνεφίσθη γε τέτοις ὁ Πομπήϊος, ἀλλ' εὐθὺς εἰς τὴν Κελτικὴν [2] ὑπ' αὐτε πεμπόμενος, ἣν ἔχων ὁ Μέτελλος ἐδόκει μηδὲν ἄξιον πράττειν τῆς παρασκευῆς, ἐ καλῶς ἔφη ἔχειν, πρεσβύτερον καὶ πρἔχοντα δόξῃ στρατηγίας ἀφαιρεῖσθαι· βελομένῳ μέντοι τῷ Μετέλλῳ καὶ κελεύοντι συμπολεμεῖν καὶ βοηθεῖν ἕτοιμος εἶναι. δεξαμένε δὲ τε Μετέλλε, καὶ γράψαντος ἥκειν, ἐμβαλὼν εἰς τὴν Κελτικὴν, αὐτός τε καθ' αὐτὸν [3] ἔργα θαυμαστὰ διεπράττετο, καὶ τε Μετέλλε τὸ μάχιμον καὶ θαρσαλέον ἤδη σβεννύμενον ὑπὸ γήρως αὖθις ἐξεῤῥίπιζε καὶ συνεξεθέρμαινεν, ὥσπερ ὁ ῥέων καὶ πεπυρωμένος χαλκὸς τῷ πεπηγότι καὶ ψυχρῷ περιχυθεὶς, λέγεται τε πυρὸς μᾶλλον ἀνυγραίνειν καὶ συνανατήκειν. ἀλλὰ γὰρ, ὥσπερ ἀθλητε πρωτεύσαντος ἐν ἀνδράσι, καὶ τὲς πανταχε καθελόντος ἐνδόξως ἀγῶνας, εἰς ἐδένα λόγον τὰς παιδικὰς τίθενται νίκας, ἐδ' ἀναγράφεσιν· ἕτως ἃς ἔπραξε τότε πράξεις ὁ Πομπήϊος, αὐτὰς καθ' ἑαυτὰς ὑπερφυεῖς ἔσας, πλήθει τε καὶ μεγέθει τῶν ὑστέρων ἀγώνων καὶ πολέμων [4] καταχεχωσμένας, ἐδεδίειν [5] κινεῖν, μὴ περὶ τὰ πρῶτα πολλῆς διατριβῆς γενομένης, τῶν μεγίστων καὶ μάλιστα δηλέντων τὸ ἦθος ἔργων καὶ παθημάτων τε ἀνδρὸς ἀπολειφθῶμεν.

IX. Ἐπεὶ τοίνυν ἐκράτησε τῆς Ἰταλίας ὁ Σύλλας, καὶ δικτάτωρ ἀνηγορεύθη, τὲς μὲν ἄλλες ἡγεμόνας καὶ στρατηγὲς ἠμείβετο, πλεσίες ποιῶν, καὶ προάγων ἐπ' ἀρχας,

1 SG. δέ.
2 Tudert. in *Celtiberiam*, quasi jam tum missus fuisset Pompejus ad bellum Sertorianum, quod multo post evenit.
3 SG. ἑαυτόν. Sic & Junt. — in Ald. αὐτόν; Crat. αὑτόν.
4 Voces καὶ πολ. absunt a SG.
5 V. δέδια. Seq. κινεῖν abest a SG.

ἀρχὰς, καὶ χαριζόμενος ἀφθόνως καὶ [1] προθύμως, ὧν ἕκαστος ἐδεῖτο· Πομπήϊον δὲ θαυμάζων δι' ἀρετὴν, καὶ μέγα νομίζων ὄφελος εἶναι τοῖς ἑαυτῦ πράγμασιν, ἐσπύδασεν ἀμωσγέπως οἰκειότητι προσθέσθαι. συμβυλομένης δὲ τῆς γυναικὸς αὐτῦ, τῆς Μετέλλης, πείθυσι τὸν Πομπήϊον ἀπαλλαγέντα τῆς Ἀντιςίας, λαβεῖν γυναῖκα τὴν Σύλλα πρόγονον [2] Αἰμιλίαν, ἐκ Μετέλλης καὶ Σκαύρυ γεγεννημένην, ἀνδρὶ δὲ συνοικῦσαν ἤδη, καὶ κύυσαν τότε [3]. ἦν ὖν τυραννικὰ τὰ τῦ γάμυ [4], καὶ τοῖς Σύλλα καιροῖς μᾶλλον, ἢ τῷ Πομπηΐυ βίῳ [5], πρέποντα, τῆς μὲν Αἰμιλίας ἀγομένης ἐγκύμονος παρ' ἑτέρυ πρὸς αὐτὸν, ἐξελαυνομένης δὲ τῆς Ἀντιςίας ἀτίμως καὶ οἰκτρῶς, ἅτε δὴ καὶ τῦ πατρὸς ἔναγχος ἐςερημένης διὰ τὸν ἄνδρα. κατεσφάγη γὰρ ὁ Ἀντίσιος ἐν τῷ βυλευτηρίῳ, δοκῶν τὰ Σύλλα τηρεῖν [6] διὰ Πομπήϊον. ἡ δὲ μήτηρ αὐτῆς ἐπιδῦσα ταῦτα, προήκατο τὸν βίον ἑκυσίως. ὥςε καὶ τῦτο τὸ [7] πάθος τῇ περὶ τὸν γάμον ἐκεῖνον τραγῳδίᾳ προσγενέσθαι, καὶ νὴ Δία τὸ τὴν Αἰμιλίαν εὐθὺς διαφθαρῆναι παρὰ τῷ Πομπηΐῳ τίκτυσαν.

X. Ἐκ τύτυ Σικελίαν ἠγγέλλετο Περπέννας αὐτῷ [8] κρατύνεσθαι, καὶ τοῖς περιῦσιν ἔτι τῆς ἐναντίας ςάσεως ὁρμητήριον παρέχειν τὴν νῆσον, αἰωρυμένυ καὶ Κάρβωνος αὐτόθι ναυτικῷ, καὶ Δομιτίυ Λιβύῃ προσπεπλωκότος, ἄλλων τε πολλῶν ἐπ' ἐκεῖνα [9] μεγάλων ὠθυμένων

1 καὶ deest Juntinae.
2 SG. τὴν ἄλλα πρωτόγονον.
3 SG. ἤδη τότε καὶ κύυσαν.
4 Sic ex Ms. Dacer. & Mur. legi voluit Br. & dedit R. Sic & SG. & jam suasit H. Steph. Vulgo τυραννικὰ τῦ γάμυ.
5 Teste H. Steph. pro his vocabulis quoque legitur τοῖς Πομπηΐυ τρόποις.
6 V. Anon. Steph. & Mur. φρονεῖν, quod probavit Br.
7 τὸ deest Junt.
8 SG. αὐτῷ. Sic & Junt. Ald. Crat.
9 In vulg. ἐπέκεινα. R. divisit in duo vocabula — Subaud. μέρη, *versus illas partes.*

νων φυγάδων, ὅσοι τὰς προγραφὰς ἔφθησαν ἀποδράντες [1]. ἐπὶ τούτους Πομπήϊος ἀπεστάλη μετὰ πολλῆς δυνάμεως. καὶ Περπέννας μὲν εὐθὺς αὐτῷ Σικελίας ἐξέστη, τὰς δὲ πόλεις ἀνελάμβανε τετρυχωμένας, καὶ φιλανθρώπως πάσαις ἐχρῆτο, πλὴν Μαμερτίνων [2] τῶν ἐν Μεσσήνῃ. παραιτουμένων γὰρ αὐτοῦ τὸ βῆμα καὶ τὴν δικαιοδοσίαν, ὡς νόμῳ [3] παλαιῷ Ῥωμαίων ἀπειρημένα· Οὐ παύσεσθε [4], εἶπεν, ἡμῖν ὑπεζωσμένοις ξίφη νόμους ἀναγινώσκοντες; ἔδοξε δὲ καὶ ταῖς Κάρβωνος οὐκ ἀνθρωπίνως ἐνυβρίσαι συμφοραῖς. εἰ γὰρ ἦν ἀναγκαῖον αὐτὸν, ὥσπερ ἦν ἴσως, ἀνελεῖν, εὐθὺς ἔδει λαβόντα, καὶ τοῦ κελεύσαντος ἂν ἦν τὸ ἔργον. ὁ δὲ δέσμιον προαγαγὼν ἄνδρα Ῥωμαῖον [5] τρὶς ὑπατεύσαντα, καὶ πρὸ τοῦ βήματος στήσας, καθεζόμενος αὐτὸς ἀνέκρινεν, ἀχθομένων καὶ βαρυνομένων τῶν παρόντων· εἶτ' ἐκέλευσεν ἀπαγαγόντας ἀνελεῖν. ἀπαχθέντα μέντοι φασὶν αὐτὸν [6], ὡς εἶδεν ἑλκόμενον ἤδη τὸ ξίφος, δεῖσθαι τόπον αὐτῷ καὶ χρόνον βραχὺν, ὡς ὑπὸ κοιλίας ἐνοχλουμένῳ, παρασχεῖν. Γάϊος δὲ Ὄππιος [7], ὁ Καίσαρος ἑταῖρος, ἀπανθρώ-

1 SG. ἀποδράσαντος.

2 Junt. sola Μαμερτίων.

3 V. SG. Junt. νομίμῳ.

4 Junt. Ald. Crat. παύσεσθαι.

5 Sic Anon. (huc enim, monente Mose Duf. referenda est varia ejus lectio, non ad id Ῥωμαίων, quod paucis ante versibus legitur) & Mur. — & sic cum H. Steph. legi voluit Mos. Duf. deditque R. pro vulg. Ῥωμαίων.

6 Ita etiam Valer. Max. l. 9. refert. Cicero Lilybaei occisum tradit; Appianus retractum ex Cossyra insula, in quam ex Sicilia profugerat. Xyl.

7 Sic scribendum censuit Dacer. & ita habet SG. deditque R. Vulgo Ὄπιος. Est is, cujus librum habemus de bello Hispaniensi.

ανθρώπως [1] Φησὶ καὶ Κοΐντῳ Οὐαλερίῳ [2] χρήσασθαι τὸν Πομπήϊον. ἐπιςάμενον γὰρ, ὡς ἐςι Φιλολόγος ἀνὴρ καὶ Φιλομαθὴς ἐν ὀλίγοις ὁ Οὐαλέριος, ὡς ἤχθη πρὸς αὐτὸν, ἐπισπασάμενον [3] καὶ συμπεριπατήσαντα, καὶ πυθόμενον ὧν ἔχρηζε, καὶ μαθόντα, προστάξαι τοῖς ὑπηρέταις εὐθὺς ἀνελεῖν ἀπαγαγόντας. ἀλλ' Ὀππίῳ [4] μὲν, ὅταν περὶ τῶν Καίσαρος πολεμίων, ἢ Φίλων, διαλέγηται, ὀ [5] σφόδρα δεῖ πιςεύειν μετ' εὐλαβείας. Πομπήϊος δὲ τοὺς μὲν ἐν δόξῃ μάλιςα τῶν Σύλλα πολεμίων, καὶ Φανερῶς ἁλισκομένους, ἀναγκαίως ἐκόλαζε· τῶν δ' ἄλλων ὅσους ἐξῆν, περιεώρα λανθάνοντας, ἐνίους δὲ καὶ συνεξέπεμψε [6]. τὴν δ' Ἱμεραίων [7] πόλιν ἐγνωκότος αὐτοῦ κολάζειν, γενομένην μετὰ τῶν πολεμίων, Σθένις, ὁ δημαγωγὸς, αἰτησάμενος λόγον, οὐκ ἔΦη δίκαια ποιήσειν τὸν Πομπήϊον, ἐὰν, τὸν αἴτιον ἀΦεὶς, ἀπολέσῃ τοὺς μηδὲν ἀδικοῦντας. ἐρομένου δ' ἐκείνου, τίνα λέγει τὸν

1 Teste H. Steph. etiam legitur ἀπαθῶς. Ita & V. — Monet tamen R. ibi forsan non sic fuisse exaratum, sed lectionem Junt. a V. esse enotatam quae, per compendium scripturae ἀπαν ῶς, idem dicat atque ἀπανθρώπως.

2 SG. hic & infra Οὐαλλερίῳ. Sic quoque Junt. Ald. Crat. Pro seq. χρήσασθαι V. χρῆσθαι.

3 R. susp. ἀσπασάμενον, cum salutasset eum.

4 V. Ὄπιος.

5 Hanc partic. negativam R. addidit de suo. Equidem eam vix necessariam censeo, cum μετ' εὐλαβείας meo sensu satis exprimat, quae significari vult R., & latinus Interpres, cujus auctoritate quodam modo nititur, exprimit per voces *non temere*.

6 scil. e Sicilia, opera sua cum opera amicorum conjuncta, si qui effugientibus alii amici essent. R.

7 Plut. in praec. reip. ger. habet Μαμερτίνων. Thermitanos eum intelligere, Himerae habitantes, & forsan utrobique scribendum esse Θερμιτανῶν, nequaqum vero Μαμερτίνων, monent Br. & Mos. Dus. Quod autem addit Br. ibidem pro seq. nomine proprio Σθένις melius dari Σθέννιος, equidem non video. In Frft. & apud R. lego Σθένωνα.

τὸν αἴτιον [1], ἑαυτὸν ὁ Σθένις ἔφη, τὰς μὲν φίλας πείσαντα τῶν πολιτῶν, τὰς δ' ἐχθρὰς βιασάμενον. ἀγαθεὶς ἦν τὴν παῤῥησίαν καὶ τὸ φρόνημα τοῦ ἀνδρὸς ὁ Πομπήϊος, ἀφῆκε τῆς αἰτίας πρῶτον ἐκεῖνον, εἶτα καὶ [2] τὰς ἄλλας ἅπαντας. ἀκούων δὲ τὰς στρατιώτας ἐν ταῖς ὁδοιπορίαις ἀτακτεῖν, σφραγῖδα ταῖς μαχαίραις αὐτῶν ἐπέβαλεν, ἣν ὁ μὴ φυλάξας ἐκολάζετο.

XI. Ταῦτα πράττων ἐν Σικελίᾳ καὶ πολιτευόμενος, ἐδέξατο δόγμα συγκλήτου, καὶ γράμματα Σύλλα, κελεύοντα εἰς Λιβύην πλεῖν, καὶ πολεμεῖν Δομιτίῳ κατὰ κράτος [3], ἠθροικότι πολλαπλασίαν δύναμιν, ἧς ἔχων Μάριος οὐ πάλαι διεπέρασεν ἐκ Λιβύης εἰς Ἰταλίαν [4], καὶ συνέχει [5] τὰ Ῥωμαίων πράγματα, τύραννος ἐκ φυγά-

1 Huic voci R. subjicit sequentem notam: „Miror, ejusmodi mendum tot editiones foedare. Recte habent Fl. & Ald. τόν. Vulc. Anon. & Mur. etiam (item SG.) & monuerat jam H. Steph. Vide & Op. Mor. l. c. (Cratandreana prima vitium prodidit, quod deinceps in reliquas insecutas dimanavit.)" — Observes velim, L. B. ea, quae in parenthesi data hic legas, a R. ipso esse inserta, reliqua autem Bryani annotationem exhibere. At quanta oscitantia! Primo quidem Bryani nota plane non ad hoc τὸν αἴτιον, quod in omnibus edd. perspicue extat, referenda est, sed ad id, quod paulo ante praecessit, ubi in ipsa Bryanea, sicuti vulgo, extat τὸ αἴτιον. Deinde, minime Br. sua in nota testatur, Aldinam recte habere τόν, sed solius Juntinae mentionem facit. Tertio, eodem in loco non est vitium Cratandreanae, sed Aldinae, quam omnes reliquae male sunt secutae. Denique Bryanus ipse Anonymum citat temere pro lectione recipienda. Nulla saltim extat Anon. nota in Catt. var. sed solius Vulcobii.

2 καὶ R. addidit de suo.

3 SG. uno vocabulo hic, & cum Junt. Ald. Crat. infra c. 12. κατακράτος.

4 Veterum codd. auctoritate H. Steph. dederat Σικελίαν, cum priores edd. habuerant Ἰταλίαν. Hanc ipsam lectionem, quam SG. Anon. & Mur. exhibent, restituendam censuit Br. deditque R.

5 Br. leg. videtur συνέχει.

φυγάδος καταστάς. ὀξέως οὖν ἅπαντα παρασκευασάμενος ὁ Πομπήϊος, Σικελίας μὲν ἄρχοντα Μέμμιον [1] κατέλιπε, τὸν ἄνδρα τῆς ἀδελφῆς· αὐτὸς δ' ἀνήγετο ναυσὶ μὲν μακραῖς ἑκατὸν εἴκοσι, φορτηγοῖς δὲ σῖτον καὶ βέλη καὶ χρήματα καὶ μηχανὰς κομιζούσαις ὀκτακοσίαις. καταχόντι δ' αὐτῷ ταῖς μὲν εἰς Ἰτύκην [2] ναυσί, ταῖς δ' εἰς Καρχηδόνα, τῶν πολεμίων ἀποστάντες ἑπτακισχίλιοι [3] προσεχώρησαν. αὐτὸς δ' ἦγεν ἓξ ἐντελῆ τάγματα. συμβῆναι δ' αὐτῷ πρᾶγμα γελοῖον ἱστοροῦσι. στρατιῶται γάρ τινες, ὡς ἔοικε, θησαυρῷ περιπεσόντες ἔλαβον συχνὰ χρήματα. τοῦ δὲ πράγματος γενομένου φανεροῦ, ἔδοξε τοῖς ἄλλοις πᾶσι [4] χρημάτων μεστὸν εἶναι τὸν τόπον, ἐν ταῖς ποτὲ τύχαις τῶν Καρχηδονίων ἀποτιθεμένων. οὐδὲν οὖν ὁ Πομπήϊος εἶχε χρῆσθαι τοῖς στρατιώταις ἐπὶ πολλὰς ἡμέρας θησαυροὺς [5] ζητοῦσιν, ἀλλὰ περιῄει γελῶν καὶ θεώμενος ὁμοῦ μυριάδας τοσαύτας ὀρυσσούσας καὶ στρεφούσας τὸ πεδίον· ἕως ἀπειπόντες ἐκέλευον αὐτοὺς ἄγειν, ὅπη βούλεται τὸν Πομπήϊον, ὡς δίκην ἱκανὴν τῆς ἀβελτερίας δεδωκότας.

XII. Ἀντιτεταγμένου δὲ τοῦ Δομιτίου, καὶ χαράδραν τινὰ προβεβλημένου χαλεπὴν περάσαι καὶ τραχεῖαν, ὄμβρος ἅμα πνεύματι πολὺς ἕωθεν ἀρξάμενος κατεῖχεν· ὥστ' ἀπογνόντα τῆς ἡμέρας ἐκείνης μαχέσασθαι τὸν Δομίτιον ἀναζυγὴν παραγγεῖλαι. Πομπήϊος δὲ τοῦτον ἑαυτοῦ [5] ποιούμενος τὸν καιρὸν, ὀξέως ἐπῄει καὶ διέ-

K 2

1 Sic Xyl. legi voluit, & exhibent Anon. & Mur. & dedit R. In SG. Junt. Ald. Crat. & Steph. est Μόμμιον. Sola Frst. (non Steph. uti R. voluit) dedit Μέμμιον, quam secutus est Br.

2 V. Ἰτυίκην.

3 Teste H. Steph. est in antiquis exempl. ὀκτακισχίλιοι.

4 Teste H. Steph. etiam legitur: δόξα τοῖς ἄλλοις παρέστη πᾶσι.

5 V. θησαυρόν.

6 SG. αὐ οὖ. Junt. Ald. Crat. αὐτοῦ. Steph. ἑαυτοῦ.

διέβαινε τὴν χαράδραν. οἱ δ' ἀτάκτως, καὶ θορυβούμενοι, καὶ οὐ πάντες, οὐδ' ὁμαλῶς ὑφίσαντο· καὶ τὸ πνεῦμα περιῄει, τὴν ζάλην αὐτοῖς προσβάλλον ἐναντίαν. οὐ μὴν ἀλλὰ καὶ τοὺς Ῥωμαίους ὁ χειμὼν ἐτάραξεν, οὐ καθορῶντας ἀλλήλους ἀκριβῶς· αὐτός τε Πομπήϊος ἐκινδύνευσεν ἀγνοηθεὶς ἀποθανεῖν, ἐρωτῶντι στρατιώτῃ τὸ σύνθημα βράδιον [1] ἀποκρινάμενος. ὠσάμενοι δὲ [2] πολλῷ φόνῳ τοὺς πολεμίους (λέγονται γὰρ ἀπὸ δισμυρίων τρισχίλιοι διαφυγεῖν) αὐτοκράτορα τὸν Πομπήϊον ἠσπάσαντο. φήσαντος δ' ἐκείνου μὴ δέχεσθαι τὴν τιμὴν, ἕως ὀρθὸν ἕστηκε τὸ στρατόπεδον τῶν πολεμίων, εἰ δ' αὐτὸν ἀξιοῦσι ταύτης τῆς προσηγορίας, ἐκεῖνο χρῆναι πρότερον καταβαλεῖν, ὥρμησαν εὐθὺς ἐπὶ τὸν χάρακα· καὶ Πομπήϊος ἄνευ κράνους ἠγωνίζετο, δεδοικὼς [3] τὸ πρότερον πάθος. ἁλίσκεται δὲ τὸ στρατόπεδον, καὶ ἀποθνήσκει Δομίτιος. τῶν δὲ πόλεων αἱ μὲν εὐθὺς ὑπήκουον, αἱ δὲ κατὰ κράτος ἐλήφθησαν. εἷλε δὲ καὶ τῶν βασιλέων Ἰάρφαν [4], τὸν συμμαχήσαντα Δομιτίῳ, τὴν δὲ βασιλείαν Ἰάμψᾳ παρέδωκε. χρώμενος δὲ τῇ τύχῃ, καὶ τῇ ῥύμῃ [5] τοῦ στρατεύματος, εἰς τὴν Νομαδικὴν ἐνέβαλε [6]. καὶ πολλῶν ὁδὸν ἡμερῶν ἐλάσας, καὶ πάντων κρατήσας, οἷς ἐνέτυχε, καὶ τὸ πρὸς Ῥωμαίους δέος ἤδη τῶν βαρβάρων ἐξεῤῥυηκὸς, αὖθις ἰσχυρὸν καὶ φοβερὸν καταστήσας [7], οὐδὲ τὰ θηρία δεῖν ἔφη τὰ τὴν Λιβύην κατοικοῦντα τῆς τῶν Ῥωμαίων ἄπειρα ῥώμης καὶ τύχης [8] ἀπο-

1 V. βραδύτερον.

2 abest δὲ a SG.

3 SG. καὶ δεδοικώς.

4 Junt. Ald Crat. Ἰάρφαν. Anon. & Mur. Ἰάρβαν, quod Br. probat. V. & SG. Ἰάρφθαν. Sic & in lin. seq. Anon. & Mur. Ἰέμψᾳ, pro Ἰάμψᾳ, idque mavult Br.

5 Ita susp. Br. & dedit R. pro vulg. ῥώμῃ.

6 Sola Br. quam R. sequitur, ἐνέβαλλε. Hinc non dubitavi, priorem lectionem, quam & SG. exhibet, restituere.

7 R. susp. ἐγκαταστήσας.

8 V. τόλμης καὶ τύχης. SG. ῥώμης καὶ τόλμης.

ἀπολιπεῖν. ὅθεν ἐν θήραις λεόντων καὶ ἐλεφάντων ἡμέρας διέτριψεν ὀ πολλάς· ταῖς δὲ πάσαις, ὥς φασι, τεσσαράκοντα, τὰς πολεμίους συνεῖλε, καὶ Λιβύην ἐχειρώσατο, καὶ διῄτησε τὰ τῶν βασιλέων, ἔτος ἄγων ἐκεῖνο τέταρτον καὶ εἰκοστόν.

XIII. Ἐπανελθόντι [1] δ' εἰς Ἰτύκην αὐτῷ γράμματα κομίζεται Σύλλα, προστάττοντος ἀφιέναι μὲν τὴν ἄλλην στρατιὰν [2], αὐτὸν δὲ μεθ' ἑνὸς τάγματος περιμένειν αὐτόθι τὸν διαδεξόμενον [3] στρατηγόν. ἐπὶ τούτοις ἀδήλως μὲν αὐτὸς ἤχθετο, καὶ βαρέως ἔφερεν, ἐμφανῶς δ' ὁ στρατὸς ἠγανάκτει· καὶ δεηθέντος τοῦ Πομπηΐου προελθεῖν, τόν τε Σύλλαν κακῶς ἔλεγον, κἀκεῖνον οὐκ ἔφασαν προήσεσθαι χωρὶς αὐτῶν, οὐδ' εἴων πιστεύειν τῷ τυράννῳ. τὸ μὲν οὖν πρῶτον ὁ Πομπήϊος ἐπειρᾶτο πραΰνειν καὶ παρηγορεῖν αὐτούς· ὡς δ' οὐκ ἔπειθε, καταβὰς ἀπὸ τοῦ βήματος, ἐπὶ τὴν σκηνὴν ἀπῄει δεδακρυμένος. οἱ δὲ συλλαβόντες αὐτὸν, αὖθις ἐπὶ τοῦ βήματος κατέστησαν, καὶ πολὺ μέρος τῆς ἡμέρας ἀνηλώθη, τῶν μὲν μένειν καὶ ἄρχειν κελευόντων, τοῦ δὲ πείθεσθαι δεομένου, καὶ μὴ στασιάζειν· ἄχρις οὗ [4] προσλιπαρούντων καὶ καταβοώντων, ὤμοσεν ἀναιρήσειν ἑαυτὸν, εἰ βιάζοιντο· καὶ μόλις ἐπαύσαντο οὕτω. τῷ δὲ Σύλλᾳ πρώτη μὲν ἦλθεν ἀγγελία, τὸν Πομπήϊον ἀφεστάναι, καὶ πρὸς τοὺς φίλους εἶπεν [5], ὡς ἄρα πεπρωμένον ἦν αὐτῷ γενομένῳ γέροντι παίδων ἀγῶνας ἀγωνίζεσθαι, διὰ τὸ καὶ Μάριον αὐτῷ νέον ὄντα κομιδῇ πλεῖστα πράγματα παρασχεῖν, καὶ εἰς τοὺς ἐσχάτους περιστῆσαι κινδύνους. πυθόμενος δὲ τἀληθῆ, καὶ πάντας ἀνθρώπους αἰσθανόμενος δέχεσθαι



1 Junt. Ald. Crat. ἐπανελθόντα.
2 Sic legend. susp. Br. & dedit R. Vulgo στρατείαν.
3 V. διαδεξάμενον.
4 SG. ἄχρι οὗ. (Sic & Junt.) Idem cod. paulo post οὕτως pro οὕτω.
5 V. SG. εἰπών.

χεσθαι καὶ παραπέμπειν τὸν Πομπήϊον ὡρμημένους μετ' εὐνοίας, ἔσπευδεν ὑπερβαλέσθαι· καὶ προελθὼν ἀπήντησεν αὐτῷ, καὶ δεξιωσάμενος ὡς ἐνῆν προθυμότατα, μεγάλῃ φωνῇ Μάγνον ἠσπάσατο, καὶ τοὺς παρόντας οὕτως ἐκέλευσε προσαγορεῦσαι. σημαίνει δὲ μέγαν ὁ Μάγνος. ἕτεροι δέ φασιν ἐν Λιβύῃ πρῶτον [1] ἀναφώνημα τοῦτο τοῦ στρατοῦ παντὸς γενέσθαι, κράτος δὲ λαβεῖν καὶ δύναμιν, ὑπὸ Σύλλα βεβαιωθέν. αὐτὸς μέντοι πάντων [2] ὕστατος καὶ μετὰ πολὺν χρόνον εἰς Ἰβηρίαν ἀνθύπατος ἐκπεμφθεὶς ἐπὶ Σερτώριον, ἤρξατο γράφειν ἑαυτὸν ἐν ταῖς ἐπιστολαῖς καὶ τοῖς διατάγμασι Μάγνον Πομπήϊον. οὐκ ἔτι γὰρ ἦν ἐπίφθονον τοὔνομα, σύνηθες γενόμενον. ὅθεν εἰκότως ἂν ἀγασθείη καὶ θαυμάσειεν ἄν τις τοὺς πάλαι Ῥωμαίους, οἳ ταῖς τοιαύταις ἐπικλήσεσι [3] καὶ προσωνυμίαις οὐ τὰς πολεμικὰς ἠμείβοντο καὶ στρατιωτικὰς κατορθώσεις μόνον, ἀλλὰ καὶ τὰς πολιτικὰς πράξεις καὶ ἀρετὰς ἐκόσμουν. δύο γοῦν Μαξίμους, ὅπερ ἐστὶ μεγίστους, ἀνηγόρευσεν ὁ δῆμος. Οὐαλέριον μὲν, ἐπὶ τῷ διαλλάξαι στασιάζουσαν αὐτῷ [4] τὴν σύγκλητον· Φάβιον δὲ Ῥοῦλλον, ὅτι πλουσίους τινὰς ἐξ ἀπελευθέρων γεγονότας καὶ κατειλεγμένους [5] εἰς τὴν σύγκλητον ἐξέβαλεν.

XIV. Ἐκ τούτου θρίαμβον ᾔτει Πομπήϊος, ἀντέλεγε δὲ Σύλλας. ὑπάτῳ γὰρ, ἢ στρατηγῷ μόνῳ, ἄλλῳ δ' οὐδενὶ δίδωσιν ὁ νόμος. διὸ καὶ Σκιπίων ὁ πρῶτος, ἀπὸ μειζόνων καὶ κρειττόνων ἀγώνων ἐν Ἰβηρίᾳ Καρ-

1 R. monente, h. l. non est adjectivum, sed adverbium, *primum, primo tempore, zum erstenmale.*

2 Sic in omnibus edd. Stephanica prioribus extitit, &, probante Br. dedit R. pro vulg. πάντως.

3 Junt. Ald. Crat. SG. κλήσεσι.

4 Verunt Schirach & Kind: *den Senat, der mit sich selbst uneins geworden war.* Male. Refert idem Cic. in Bruto.

5 V. SG. καταλελεγμένους.

Καρχηδονίων κρατήσας, ὐκ ᾔτησε θρίαμβον. ὕπατος γὰρ ὐκ ἦν, ὐδὲ ϛρατηγός. εἰ δὲ Πομπήϊος ὔπω πάνυ [1] γενειῶν εἰσελᾷ θριαμβεύων εἰς τὴν πόλιν, ᾧ βυλῆς διὰ τὴν ἡλικίαν ὐ μέτεϛι, παντάπασιν ἐπίφθονον ἔσεσθαι καὶ τὴν ἀρχὴν ἑαυτῷ, καὶ τὴν τιμὴν ἐκείνῳ. ταῦτα πρὸς Πομπήϊον ὁ Σύλλας ἔλεγεν, ὡς ὐκ ἐάσων, ἀλλ' ἐνϛησόμενος αὐτῷ, καὶ κωλύσων [2] τὸ φιλόνεικον ἀπειθῦντος. ὁ δὲ Πομπήϊος ὐχ ὑπέπτηξεν, ἀλλ' ἐννοεῖν ἐκέλευε τὸν Σύλλαν, ὅτι τὸν ἥλιον ἀνατέλλοντα πλείονες, ἢ δυόμενον, προσκυνῦσιν· ὡς αὐτῷ μὲν αὐξανομένης, μειυμένης δὲ καὶ μαραινομένης ἐκείνῳ τῆς δυνάμεως. ταῦτα ὁ Σύλλας [ὐκ [3]] ἀκριβῶς ἀκύσας, ὁρῶν δὲ τὺς ἀκύσαντας ἀπὸ τῦ προσώπυ καὶ τῦ σχήματος ἐν θαύματι ποιυμένυς, ἤρετο, τί τὸ λεχθὲν εἴη. πυθόμενος δὲ, καὶ καταπλαγεὶς τῦ Πομπηΐυ τὴν τόλμαν, ἀνεβόησε δὶς ἐφεξῆς· Θριαμβευσάτω. πολλῶν δὲ δυσχεραινόντων καὶ ἀγανακτύντων, ἔτι μᾶλλον αὐτὺς, ὥς φασι, βυλόμενος ἀνιᾶν ὁ Πομπήϊος, ἐπεχείρησεν ἅρματι ἐλεφάντων [4] τεττάρων ἐπιβὰς εἰσελαύνειν. ἤγαγε γὰρ ἐκ Λιβύης τῶν βασιλικῶν συχνὺς αἰχμαλώτυς· ἀλλὰ τῆς πύλης ϛενωτέρας ὔσης, ἀπέϛη, καὶ μετῆλθεν ἐπὶ τὺς ἵππυς. ἐπεὶ δ' οἱ ϛρατιῶται μὴ τυχόντες, ἡλίκων προσεδόκησαν, ἐνοχλεῖν ἐβύλοντο καὶ θορυβεῖν, ὐδὲν ἔφη φροντίζειν, ἀλλ' ἀφήσειν μᾶλλον [φησὶ [5]] τὸν



1 V. σφόδρα. Id. pro θριαμβεύων dat θρίαμβον.

2 Mos. Dus. leg. censet κολύσων.

3 Hanc partic. quae Junt. deest, sed ex Ald. in reliquas transiit, R. uncis inclusit, ut sit sententia: *Sulla, quamvis Pompeji dictum probe intellexisset, tamen simulabat non audisse, cernens in circumstantium vultu habituque vel gestu admirationem; quapropter interrogabat, ecquid Pompejus dixisset.* Schirach vulgatam sequitur. Pro ἀκύσας V. ἐξακύσας; & pro ἤρετο SG. εἴρετο.

4 SG. invertit ἐλεφ. ἅρμ. Id. paulo post ϛενοτέρας.

5 V. omittit φησι; quod probat Br. R. uncis inclusit.

τὸν θρίαμβον, ἢ κολακεύσειν [1] ἐκείνους. ὅτε δὴ καὶ Σερουΐλιος, ἀνὴρ ἐπιφανὴς, καὶ μάλιστα πρὸς τὸν θρίαμβον ἐνστὰς τοῦ Πομπηΐου, νῦν ἔφη τὸν Πομπήϊον ὁρᾷν καὶ μέγαν ἀληθῶς καὶ ἄξιον τοῦ θριάμβου. δῆλον δ' ἐστὶν, ὅτι καὶ βουλῆς ἂν ἐθελήσας τότε ῥᾳδίως ἔτυχεν. ἀλλ' οὐκ ἐσπούδασεν, ὡς λέγουσι, τὸ ἔνδοξον ἐκ τοῦ παραδόξου θηρώμενος. οὐ γὰρ ἦν θαυμαστὸν, εἰ πρὸ ἡλικίας ἐβούλευε Πομπήϊος, ἀλλ' ὑπέρλαμπρον, ὅτι μηδέπω βουλεύων ἐθριάμβευε. τοῦτο δ' αὐτῷ καὶ πρὸς εὔνοιαν ὑπῆρχε τῶν πολλῶν οὐ μικρόν. ἔχαιρε γὰρ ὁ δῆμος αὐτῷ μετὰ θρίαμβον ἐν τοῖς ἱππικοῖς ἐξεταζομένῳ.

XV. Σύλλας δ' ἠνιᾶτο μὲν, ὁρῶν, εἰς ὅσον δόξης πρόεισι καὶ δυνάμεως, αἰσχυνόμενος δὲ κωλύειν, ἡσυχίαν ἦγε· πλὴν ὅτε [2] βίᾳ καὶ ἄκοντος αὐτοῦ Λέπιδον εἰς ὑπατείαν κατέστησε συναρχαιρεσιάσας, καὶ τὸν δῆμον τῇ πρὸς αὐτὸν εὐνοίᾳ ἐκείνῳ σπουδάζοντα παρασχὼν, θεασάμενος αὐτὸν ἀπιόντα μετὰ πλήθους δι' ἀγορᾶς ο Σύλλας· Ὁρῶ σ', εἶπεν, ὦ νεανία, χαίροντα τῇ νίκῃ. πῶς γὰρ οὐχὶ γενναῖα ταῦτα καὶ καλὰ, Κάτλου, τοῦ πάντων ἀρίστου, Λέπιδον, τὸν πάντων κάκιστον, ἀποδειχθῆναι πρότερον ὕπατον, σοῦ τὸν δῆμον οὕτω παρασκευάσαντος; ὥρα μέντοι σοι μὴ καθεύδειν, ἀλλὰ προσέχειν τοῖς πράγμασιν· ἰσχυρότερον γὰρ τὸν ἀνταγωνιστὴν σεαυτῷ [3] παρεσκεύασας. ἐδήλωσε δὲ μάλιστα Σύλλας, ὅτι πρὸς Πομπήϊον οὐκ εὐμενῶς εἶχε, ταῖς διαθήκαις, ἃς ἔγραψεν. ἑτέροις γὰρ φίλοις δωρεὰν [4] ἀπολιπὼν,

καὶ

1 V. κολακεύειν.

2 SG. ὅτι. Sic & Junt.

3 In edd. Stephanica prioribus σεαυτοῦ, quod ad ἰσχυρότερον referendum est. Steph. auctoritate veterum codd. dedit σεαυτῷ, ut intelligatur ἰσχυρότερον quam antea. Idem pro παρασκεύ. legi quoque testatur κατεσκεύακας. Ex V. enotatum est παρεσκεύακας, κατεσκεύακας; SG. παρεσκεύακας; Junt. παρασκευάσας; Ald. & Crat. παρεσκευάσαι.

4 SG. δωρεάς.

καὶ τῦ παιδὸς ἀποδείξας ἐπιτρόπυς, τὸν Πομπήϊον ὅλως παρῆλθεν. ἤνεγκε μέντοι τῦτο μετρίως πάνυ καὶ πολιτικῶς ἐκεῖνος· ὥςε Λεπίδυ [1] καί τινων ἄλλων ἐνισαμένων μὴ ταφῆναι τὸν νεκρὸν ἐν τῷ πεδίῳ, μηδὲ δημοσίᾳ τὴν ἐκφορὰν γενέϑαι, βοηθῆσαι, καὶ παραχεῖν δόξαν ἅμα ταῖς ταφαῖς καὶ ἀσφάλειαν.

XVI. Ἐπεὶ δὲ [2] ταχὺ τῦ Σύλλα τελευτήσαντος εἰς φῶς παρήει τὰ μαντεύματα, καὶ Λέπιδος εἰσποιῶν ἑαυτὸν εἰς τὴν ἐκείνυ δύναμιν, ὐ κύκλῳ περιϊὼν, ὐδὲ μετὰ σχήματος, ἀλλ᾽ εὐθὺς ἐν τοῖς ὅπλοις ἦν, τὰ πάλαι νοσῦντα καὶ διαφυγόντα τὸν Σύλλαν ὑπολείμματα τῶν ςάσεων αὖθις ἀνακινῶν καὶ περιβαλλόμενος· ὁ δὲ συνάρχων αὐτῦ Κάτλος, ᾧ τὸ καθαρὸν καὶ ὑγιαῖνον μάλιςα τῆς βυλῆς καὶ τῦ δήμυ προσεῖχεν, ἦν μὲν ἐν ἀξιώματι σωφροσύνης καὶ δικαιοσύνης μέγιςος [3] τῶν τότε Ῥωμαίων, ἐδόκει δὲ πολιτικῆς ἡγεμονίας μᾶλλον, ἢ ςρατιωτικῆς, οἰκεῖος εἶναι· τῶν πραγμάτων [4] αὐτῶν ποθύντων τὸν Πομπήϊον, ὐ διεμέλλησεν, ὅπη τράπηται, προθεὶς δὲ τοῖς ἀρίςοις ἑαυτὸν, ἀπεδείχθη ςρατεύματος ἡγεμὼν ἐπὶ τὸν Λέπιδον, ἤδη πολλὰ τῆς Ἰταλίας νενικηκότα, καὶ τὴν ἐντὸς Ἄλπεων Γαλατίαν κατέχοντα διὰ Βρύτυ ςρατεύματι. τῶν μὲν ὖν ἄλλων ἐκράτησε ῥᾳδίως ἐπελθὼν ὁ Πομπήϊος, ἐν δὲ Μυτίνῃ [5] τῆς Γαλατίας ἀντεκάθητο τῷ Βρύτῳ συχνὸν χρόνον. ἐν ᾧ Λέπιδος ἐπὶ τὴν Ῥώμην ῥυεὶς [6] καὶ προσκαθήμενος ἔξωθεν, ὑπατείαν



1 SG. Λέπιδος. Junt. ſeq. vocem ἐνισαμένων omittit.

2 Steph. monente, hic quoque ἐπεὶ δὲ pro ἔπειτα δὲ accipiendum eſt; vel periodus usque ad ὐ διεμέλλησεν ſuſpendenda.

3 R. quaerit, num μεγίςης, an μεγίςῳ? an denique ad genitivos addendum ſit δόξῃ?

4 Moſ. Duſ. voluit τῶν ὖν πραγ. Integra autem eſſe omnia & plena, monet R. Pro διεμέλλ. SG. διεμέλησεν.

5 Junt. Μοντίνῃ. In SG. Μουρίνῃ. Sed, teſte Br. litera non facile perſpicitur, vocabulo omnino fere deleto.

6 Junt. ῥυθεὶς.

τείαν ᾔτει δευτέραν, ὄχλῳ πολλῷ δεδιττόμενος τοὺς ἔνδον. ἔλυσε δὲ τὸν φόβον ἐπιστολὴ παρὰ Πομπηΐου κομισθεῖσα, κατωρθωκότος ἄνευ μάχης τὸν πόλεμον. ὁ γὰρ Βροῦτος, εἴτε παραδοὺς τὴν δύναμιν αὐτὸς, εἴτε προδοθεὶς μεταβαλλομένης ἐκείνης [1], ἐνεχείρισε τῷ Πομπηΐῳ τὸ σῶμα, καὶ λαβὼν ἱππεῖς προπομποὺς, ἀπεχώρησεν εἰς πολίχνιόν τι τῶν περὶ τὸν Πάδον· ὅπου [2] μεθ' ἡμέραν μίαν ἐπιπέμψαντος αὐτῷ τοῦ Πομπηΐου Γεμίνιον, ἀνῃρέθη· καὶ πολλὴν ἔσχεν ἀπὸ τούτου Πομπήϊος αἰτίαν. γεγραφὼς γὰρ εὐθὺς ἐν ἀρχῇ τῆς μεταβολῆς πρὸς τὴν σύγκλητον, ὡς ἑκὼν αὐτῷ πρόσθοιτο Βροῦτος, ἑτέρας αὖθις ἔπεμψεν ἐπιστολὰς ἀνῃρημένου τοῦ ἀνθρώπου κατηγορούσας. τούτου τοῦ [3] Βροῦτος ἦν υἱος, ὁ Καίσαρα σὺν Κασσίῳ [4] κτείνας, ἀνὴρ ὁμοίως τῷ πατρὶ μήτε πολεμήσας, μήτ' ἀποθανὼν, ὡς ἐν τοῖς περὶ ἐκείνου γέγραπται. Λέπιδος μὲν οὖν εὐθὺς ἐκπεσὼν τῆς Ἰταλίας, ἀπέδρασεν εἰς Σαρδόνα· κἀκεῖ νοσήσας, ἐτελεύτησε δι' ἀθυμίαν, οὐ τῶν πραγμάτων, ὥς φασιν, ἀλλὰ γραμματίῳ περιπεσὼν, ἐξ οὗ μοιχείαν τινὰ τῆς γυναικὸς κατεφώρασε [5].

XVII. Λεπίδῳ δ' οὐδὲν ὅμοιος στρατηγὸς Ἰβηρίαν κατέχων Σερτώριος, ἐπῃωρεῖτο Ῥωμαίοις φοβερὸς, ὥσπερ ἔσχατον [6] νόσημα, τῶν ἐμφυλίων πολεμίων ὡς τοῦτον

1 V. αὐτῆς.
2 V. ὅπως.
3 artic. τοῦ R. de suo addidit.
4 SG. Κασίῳ. Sic & in Junt. Ald. & Grat. Pro ὁμοίως SG. ὅμοιος
5 V. & SG. ἐφώρασε.
6 Vulgo ἐπ' ἔσχ. SG. & omnes Stephanica priores edd. hac praepositione carent. Eam delevit R. monetque, ἔσχατον νόσ. esse nominativos non accusativos, & Sertorium appellari *ultimam labem.* Idem ex iisdem restituit πολεμίων pro vulg. πολέμων, quod Steph. dedit. Non civilia bella, sed hostes Romae intestini, domestici, ad Sertorium confluxerant. Idem pro vulg. εἰς de suo dedit ὡς.

του τὸν ἄνδρα συνεῤῥυηκότων, πολλὰς μὲν ἤδη τῶν ἐλαττόνων ϛρατηγῶν ἀνῃρηκότα, Μετέλλῳ δὲ Πίῳ [1] τότε συμπεπλεγμένον, ἀνδρὶ λαμπρῷ μὲν καὶ πολεμικῷ, δοκοῦντι δ' ἀργότερον ὑπὸ γήρως ἕπεσθαι τοῖς καιροῖς τοῦ πολέμου, καὶ ἀπολείπεσθαι τῶν πραγμάτων, ἁρπαζομένων ὀξύτητι καὶ τάχει τοῦ Σερτωρίου, παραβόλως καὶ λῃϛρικώτερον αὐτῷ προσφερομένου [2], καὶ ταράττοντος ἐνέδραις καὶ περιδρομαῖς ἄνδρα νομίμων [3] ἀθλητὴν ἀγώνων, καὶ δυνάμεως ϛασίμου καὶ βαρείας ἡγεμόνα. πρὸς ταῦτα Πομπήϊος ἔχων ϛρατιὰν [4] ὑφ' ἑαυτῷ, διεπράττετο Μετέλλῳ πεμφθῆναι βοηθός· καὶ Κάτλου κελεύοντος [5] οὐ διέλυεν, ἀλλ' ἐν τοῖς ὅπλοις ἦν περὶ τὴν πόλιν, ἀεί τινας ποιούμενος προφάσεις, ἕως ἔδωκαν αὐτῷ τὴν ἀρχὴν, Λευκίου Φιλίππου γνώμην εἰπόντος. ὅτε καί φασιν, ἐν συγκλήτῳ πυθομένου τινὸς, καὶ θαυμάζοντος, εἰ Πομπήϊον ἀνθύπατον οἴεται δεῖν ἐκπεμφθῆναι Φίλιππος· Οὐκ ἔγωγε, φάναι τὸν Φίλιππον, ἀλλ' ἀνθ' ὑπάτων [6]. ὡς ἀμφοτέρους τοὺς τότε ὑπατεύοντας οὐδενὸς ἀξίους ὄντας.

XVIII.

1 Sic cum Xyl. Anon. & Mur. dandum cenfuit Br. & dedit R. pro vulg. Ἀππίῳ.

2 Junt. Ald. Crat. προσφερομένους.

3 Sic cum V. dari voluit Mof Duf. & dedit R. pro vulg. νόμιμον. Anon. & Mur. μονίμων. Cratandreanam jam vitium optime correxiffe, & νομίμων dediffe, quod a nemine adhuc obfervatum fit, miror.

4 Junt. Ald. Crat. ϛρατείαν. SG. τὴν ϛρατείαν.

5 fcil. διαλύειν τὴν ϛρατιὰν — tametfi Catulus auctor effet Pompejo, ut copias dimitteret.

6 H. Steph. notante in editt. ea, quam ipfe curaverat, prioribus datur ἀνθυπάτων. Eft ita quidem in Junt. & Ald. — non in Cratandreana, quae, uti poftea Steph. dederat, perfpicue exhibet ἀνθ' ὑπάτων. De verfionibus Xylandri & Cruferii Idem prolixius judicans, dubitat, an prius ἀνθύπατον in ἀνθ' ὑπάτου mutandum cenfuerint, cum non *proconfulem*, fed

pro

XVIII. Ἐπεὶ δὲ τῆς Ἰβηρίας ἁψάμενος ὁ Πομπήϊος, οἷα φιλεῖ πρὸς νέου δόξαν ἡγεμόνος, ἑτέρους ταῖς ἐλπίσιν ἐποίησε τοὺς ἀνθρώπους, καὶ τὰ μὴ πάνυ βεβαίως τῷ Σερτωρίῳ συνεστῶτα τῶν ἐθνῶν ἐκινεῖτο καὶ μετεβάλλετο, λόγους ὑπερηφάνους ὁ Σερτώριος κατὰ τοῦ Πομπηΐου διέσπειρε, καὶ σκώπτων ἔλεγε νάρθηκος ἂν [1] αὐτῷ δεῆσαι καὶ σκύτους ἐπὶ τὸν παῖδα τοῦτον, εἰ μὴ τὴν γραῦν ἐκείνην ἐφοβεῖτο, λέγων τὸν Μέτελλον. ἔργῳ μέντοι φυλαττόμενος σφόδρα καὶ δεδοικὼς τὸν Πομπήϊον, ἀσφαλέστερον ἐστρατήγει. καὶ γὰρ ὁ Μέτελλος, ὅπερ οὐκ ἄν τις ᾠήθη, διετέθρυπτο τῷ βίῳ κομιδῇ πρὸς τὰς ἡδονὰς ἐνδεδωκώς· καὶ μεγάλη τις εἰς ὄγκον καὶ πολυτέλειαν ἐξαίφνης ἐγεγόνει μεταβολὴ περὶ αὐτόν· ὥστε τῷ Πομπηΐῳ καὶ τοῦτο θαυμαστὴν εὔνοιαν ἅμα τῇ [2] δόξῃ φέρειν, ἐπιτείνοντι τὴν εὐτέλειαν τῆς διαίτης οὐ πολλῆς ἐπιτηδεύσεως δεομένην. φύσει γὰρ ἦν σώφρων καὶ τεταγμένος ἐν ταῖς ἐπιθυμίαις. τοῦ δὲ πολέμου πολλὰς ἰδέας ἔχοντος, ἠνίασε μάλιστα τὸν Πομπήϊον ἡ Λαύρωνος ἅλωσις ὑπὸ Σερτωρίου. κυκλοῦσθαι γὰρ αὐτὸν οἰηθεὶς, καί τι μεγαληγορήσας, αὐτὸς ἐξαίφνης ἀνεφάνη περιεχόμενος κύκλῳ· καὶ διὰ τοῦτο κινεῖσθαι δεδιὼς, ἐπεῖδε καταπιμπραμένην τὴν πόλιν, αὐτοῦ παρόντος. Ἑρέννιον [3] δὲ καὶ Περπένναν, ἄνδρας ἡγεμονικοὺς τῶν πρὸς Σερτώριον καταπεφευγότων καὶ στρατηγούντων ἐκείνῳ, νικήσας περὶ Οὐαλεντίαν, ὑπὲρ μυρίους ἀπέκτεινεν.

XIX.

*pro consule* verterint, an potius, ut dicti hujus festivitatem apertiorem redderent, ita interpretati sint. Equidem utrumque ad Ciceronem pro lege Manil. c. 21. eadem ipsa referentem respexisse puto.

1 deest ἂν Junt. Ald. Crat. Eaedem paulo post ἔργα pro ἔργῳ.

2 τῇ deest Junt. Ald. Crat. SG.

3 SG. Ἑῤῥένιον. Junt. sola paulo post καὶ πεφευγ. pro καταπεφ. & Οὐαλεντίναν pro Οὐαλεντίαν.

XIX. Ἐπαρθεὶς δὲ τῇ πράξει [1] καὶ μέγα φρονῶν, ἐπ' αὐτὸν ἔσπευδε Σερτώριον, ὡς μὴ μετάσχοι τῆς νίκης Μέτελλος. περὶ δὲ Σουκρῶνι ποταμῷ, τῆς ἡμέρας ἤδη τελευτώσης, συνέβαλλον τὰς δυνάμεις, δεδιότες μετελθεῖν τὸν Μέτελλον, ὁ μὲν ὡς μόνος, ὁ δ' ὡς μόνῳ διαγωνίσαιτο. τὸ μὲν οὖν τέλος ἀμφίδοξον ἔσχεν ὁ ἀγών· ἑκατέρου γὰρ θάτερον κέρας ἐνίκησε. τῶν δὲ στρατηγῶν πλέον ἠνέγκατο Σερτώριος· ἐτρέψατο γὰρ τὸ καθ' αὑτὸν ἐκεῖνος ἀντιταχθείς. Πομπηΐῳ δ' ἀνὴρ μέγας ἱππότῃ [2] πεζὸς ἐφώρμησε· συμπεσόντων δ' [αὐτῶν [3]] εἰς τὸ αὐτὸ, καὶ γενομένων ἐν λαβαῖς, ἀπέσκηψαν αἱ πληγαὶ τῶν ξιφῶν εἰς τὰς χεῖρας ἀμφοῖν, οὐχ ὁμοίως· ἐτρώθη μὲν γὰρ ὁ Πομπήϊος μόνον, ἐκείνου δ' ἀπέκοψε τὴν χεῖρα. πλειόνων δὲ συνδραμόντων ἐπ' αὐτὸν, ἤδη τῆς τροπῆς γεγενημένης, ἀνελπίστως διέφυγε, προέμενος τὸν ἵππον τοῖς πολεμίοις, φάλαρα χρυσᾶ καὶ κόσμον ἄξιον πολλοῦ περικείμενον. ταῦτα γὰρ διανεμόμενοι, καὶ περὶ τούτων μαχόμενοι πρὸς ἀλλήλους, ἀπελείφθησαν. ἅμα δ' ἡμέρᾳ παρετάξαντο μὲν ἀμφότεροι πάλιν, ἐκβεβαιούμενοι τὸ νίκημα. Μετέλλου δὲ προσιόντος, ἀνεχώρησεν [4] ὁ Σερτώριος σκεδασθέντι τῷ στρατῷ. τοιαῦται γὰρ ἦσαν αἱ διαλύσεις, καὶ πάλιν συνδρομαὶ τῶν ἀνθρώπων, ὥστε πολλάκις μόνον πλανᾶσθαι τὸν Σερτώριον, πολλάκις δ' αὖθις ἐπιέναι μυριάσι [5] πεντεκαίδεκα στρατιᾶς, ὥσπερ

1 SG. τῇ δόξῃ.

2 In hoc casu cum Mur. dandum censult Mos. Duf. deditque R. pro vulg. ἱππότης. Ex Anon. enotatum est ἱππόθῃ.

3 R. uncis inclusit, ut supervacaneum, & a Junt. Ald. Crat. & SG. omissum.

4 R. susp. συνανεχώρησεν.

5 Junt. & SG. μυρίας. R. susp. ἐπιέναι μυριάδας ἔχοντα (vel ἐπαγόμενον) πεντ. & monet, huic lectioni melius respondere insequentia ὥσπερ χειμάῤῥουν: nam si vulgata servetur, legendum esse aut χειμάῤῥῳ & πιμπλαμένῳ, ut accommodetur dati-

ὥσπερ χειμάῤῥȣν ἐξαίφνης πιμπλάμενον. ὁ δ' ȣ̃ν Πομπήϊος, ἐπεὶ μετὰ τὴν μάχην ἀπήντα τῷ Μετέλλῳ, καὶ πλησίον ἀλλήλων ἦσαν, ἐκέλευσεν ὑφεῖναι τὰς ῥάβδȣς, θεραπεύων ὡς πρȣ́χοντα τιμῇ [1] τὸν Μέτελλον. ὁ δὲ καὶ τȣ̃το διεκώλυσε, καὶ τἄλλα χρηςὸς ἦν ἀνὴρ περὶ αὐτὸν, ἐδὲν ὡς ὑπατικῷ καὶ πρεσβυτέρῳ νέμων ἑαυτῷ πλέον, ἀλλ' ἢ τὸ σύνθημα, κοινῇ ςρατοπεδευόντων, εἰς ἅπαντας ἐξεπέμπετο παρὰ Μετέλλȣ· τὰ πολλὰ δὲ χωρὶς ἐςρατοπεδεύοντο [2]. διέκοπτε γὰρ αὐτȣ̀ς καὶ διίςη ποικίλος ὢν ὁ πολέμιος, καὶ δεινὸς ἐν βραχεῖ πολλαχȣ̃ περιφανῆναι, καὶ μεταγαγεῖν ἀπ' ἄλλων εἰς ἄλλȣς ἀγῶνας. τέλος δὲ, περικόπτων [3] μὲν ἀγορὰς, ληϊζόμενος δὲ τὴν χώραν, ἐπικρατῶν δὲ τῆς θαλάσσης, ἐξέβαλεν ἀμφοτέρȣς [4] τῆς ὑφ' ἑαυτὸν Ἰβηρίας, ἀναγκαθέντας εἰς ἀλλοτρίας καταφυγεῖν ἐπαρχίας, ἀπορίᾳ τῶν ἐπιτηδείων.

XX. Πομπήϊος δὲ τὰ πλεῖςα τῶν ἰδίων ἐξανηλωκὼς καὶ κατακεχρημένος εἰς τὸν πόλεμον, ᾔτει χρήματα τὴν σύγκλητον, ὡς ἀφιξόμενος εἰς Ἰταλίαν μετὰ τῆς δυνάμεως, εἰ μὴ πέμποιεν. ὑπατεύων δὲ Λεύκȣλλος [5] τότε, καὶ Πομπηΐῳ μὲν ὢν διάφορος, μνώμενος δ' ἑαυτῷ τὸν Μιθριδατικὸν πόλεμον, ἔσπευσεν ἀποςαλῆναι τὰ χρήματα· φοβȣ́μενος αἰτίαν Πομπηΐῳ παρασχεῖν δεομένῳ Σερτώριον ἀφεῖναι, καὶ πρὸς Μιθριδάτην

dativo μυριάσι, aut χειμάῤῥȣ & πιμπλαμένȣ, ut accommodetur genitivo ςρατιᾶς. SG. cum Junt. Ald. Crat. ςρατείας; Id. cod. χειμάῤῥȣ.

1 V. τῇ τιμῇ.

2 SG. ἐςρατεύοντο.

3 fcil. Sertorius. Seq. μὲν deeft Junt. Ald. Crat.

4 fcil. Metellum & Pompejum. V. in feq. τȣ̃ς ὑφ' ἑαυτὸν. R. videtur ibi fuiffe αὐτȣ̀ς ὑφ' ἑαυτὸν, ut indicetur, ita legi in Juntina. Sed nefcio, quid haec fibi velint. τῆς quidem abeft a Junt. quod Ald. recte addidit; fed αὐτȣ̀ς nusquam in Junt. cernitur.

5 SG. Λεύκολλος. Sic & Junt.

τὴν τραπέσθαι, λαμπρὸν μὲν εἰς δόξαν, εὐμεταχείριστον δὲ φαινόμενον ἀνταγωνιστήν. ἐν τούτῳ δὲ θνήσκει Σερτώριος, ὑπὸ τῶν φίλων δολοφονηθείς· ὧν Περπέννας ὁ κορυφαιότατος ἐπεχείρησεν ἐκείνῳ τὰ αὐτὰ ποιεῖν, ἀπὸ [1] τῶν αὐτῶν μὲν ὁρμώμενος δυνάμεων καὶ παρασκευῶν, τὸν δὲ χρώμενον αὐταῖς ὁμοίως οὐκ ἔχων λογισμόν. εὐθὺς οὖν ὁ Πομπήϊος ἐπεξελθών, καὶ ῥεμβόμενον ἐν τοῖς πράγμασι τὸν Περπένναν καταμαθών, δέλεαρ αὐτῷ δέκα σπείρας ὑφῆκεν εἰς τὸ πεδίον, διασπαρῆναι κελεύσας. τραπομένου δὲ πρὸς ταύτας ἐκείνου [2] καὶ διώκοντος, ἄθρους ἐπιφανεὶς καὶ συνάψας μάχην, ἐκράτησε πάντων. καὶ διεφθάρησαν οἱ πλεῖστοι τῶν ἡγεμόνων ἐν τῇ μάχῃ· τὸν δὲ Περπένναν ἀχθέντα πρὸς αὐτὸν ἀπέκτεινεν, οὐκ ἀχάριστος, οὐδ' ἀμνήμων γενόμενος τῶν περὶ Σικελίαν, ὡς ἐγκαλοῦσιν ἔνιοι, μεγάλῃ δὲ διανοίᾳ καὶ σωτηρίῳ τῶν ὅλων γνώμῃ χρησάμενος. ὁ γὰρ Περπέννας τῶν Σερτωρίου γραμμάτων γεγονὼς κύριος, ἐδείκνυεν ἐπιστολὰς τῶν ἐν Ῥώμῃ δυνατωτάτων ἀνδρῶν, οἳ τὰ παρόντα κινῆσαι βουλόμενοι πράγματα, καὶ μεταστῆσαι τὴν πολιτείαν, ἐκάλουν τὸν Σερτώριον εἰς τὴν Ἰταλίαν. φοβηθεὶς οὖν ὁ [3] Πομπήϊος ταῦτα, μὴ μείζονας ἀναστήσῃ τῶν πεπαυμένων πολέμων, τόν τε [4] Περπένναν ἀνεῖλε, καὶ τὰς ἐπιστολάς, οὐδ' ἀναγνούς, κατέκαυσεν.

XXI. Ἐκ δὲ τούτου παραμείνας χρόνον ὅσον τὰς μεγίστας κατασβέσαι ταραχάς, καὶ τὰ φλεγμαίνοντα μάλιστα καταστῆσαι καὶ διαλῦσαι τῶν πραγμάτων, ἀπῆγεν εἰς Ἰταλίαν τὸν στρατόν, ἀκμάζοντι τῷ δουλικῷ πολέμῳ κατὰ τύχην φερόμενος [5]. διὸ καὶ Κράσσος ὁ στρα-

1 V. pro ἀπὸ dat ἀλλά.
2 abeſt ἐκείνου a SG.
3 Artic. ſe ex Ald. & Junt. reſtituiſſe monet R. At ſola ex Br. exciderat. In omnibus rell. datur.
4 Junt. Ald. Crat. τότε.
5 R. ſuſp. συμφερόμενος.

στρατηγὸς κατήπειξε [1] παραβόλως τὴν μάχην, καὶ κατευτύχησε, δισχιλίους τριακοσίους ἐπὶ μυρίοις κτείνας. οὐ μὴν ἀλλὰ καὶ τούτῳ τὸν Πομπήϊον εἰσποιοῦσης ἀμωσγέπως τῷ κατορθώματι τῆς τύχης, πεντακισχίλιοι Φεύγοντες ἐκ τῆς μάχης ἐνέπεσον εἰς [2] αὐτὸν, οὓς ἅπαντας διαφθείρας, ἔγραψε πρὸς τὴν σύγκλητον ὑποφθάσας, ὡς Κράσσος μὲν ἐκ παρατάξεως νενίκηκε τοὺς μονομάχους, αὐτὸς δὲ τὸν πόλεμον ἐκ ῥιζῶν παντάπασιν ἀνῄρηκε. καὶ ταῦτα βουλομένοις ἦν δι' εὔνοιαν ἀκροᾶσθαι καὶ λέγειν τοῖς Ῥωμαίοις. Ἰβηρίαν δὲ καὶ Σερτώριον οὐδὲ παίζων ἄν τις εἶπεν ἑτέρου, καὶ μὴ Πομπηΐου, τὸ πᾶν ἔργον εἶναι. ἐν τοσαύτῃ δὲ τιμῇ καὶ προσδοκίᾳ τοῦ ἀνδρὸς ὅμως ἐνῆν τις ὑποψία καὶ δέος, ὡς οὐ προησομένου τὸ στράτευμα [3], βαδιουμένου δὲ δι' ὅπλων καὶ μοναρχίας ἄντικρυς ἐπὶ τὴν Σύλλα πολιτείαν. ὅθεν οὐκ ἐλάττονες ἦσαν τῶν δι' εὔνοιαν τρεχόντων, καὶ Φιλοφρονουμένων καθ' ὁδὸν, οἱ φόβῳ ταῦτα ποιοῦντες. ἐπεὶ δὲ καὶ ταύτην ἀνεῖλε τὴν ὑπόνοιαν ὁ Πομπήϊος, προειπὼν ἀφήσειν τὸ στράτευμα μετὰ τὸν θρίαμβον, ἓν αἰτιᾶσθαι τοῖς βασκαίνουσι περιῆν ὑπόλοιπον [4], ὅτι τῷ δήμῳ προσνέμει μᾶλλον ἑαυτὸν, ἢ τῇ βουλῇ, καὶ τὸ τῆς δημαρχίας ἀξίωμα, Σύλλα καταβαλόντος, ἔγνωκεν ἀνιστὰς καταχαρίζεσθαι [5] τοῖς πολλοῖς, ὅπερ ἦν ἀληθές. οὐ γάρ ἐστιν, οὗτινος ἐμμανέστερον ὁ Ῥωμαίων ἠράσθη δῆμος, καὶ μᾶλλον ἐπόθησεν, ἢ τὴν ἀρχὴν [6] αὖθις ἐπιδεῖν

1 SG. ἤπειξε.

2 SG. πρὸς. Seq. l. V. ὅτι pro ὡς.

3 V. στρατεύματος.

4 V. τὸ ὑπόλοιπον.

5 Locum hunc de ſuo ſic dedit R. qui in vulgatis ita legitur καὶ τὸ τοῦ δήμου ἀξίωμα Σύλ. κατ., ἔγν. ἀνιστᾶν καὶ χαρίζεσθαι. Junt. pro τῆς δημαρχ. habet τῆς βουλῆς. Sic etiam V. & SG. Ex Ald. profecta eſt lectio τοῦ δήμου. Pro ἀνιστὰς SG. ἀνιστάναι.

6 Praemiſſam partic. ἢ omittunt Junt. & Crat. Tribunitiam pote-

δεῖν ἐκείνην. ὥςε καὶ Πομπήϊον εὐτύχημα ποιεῖσθαι μέγα, τὸν τῦ πολιτεύματος καιρόν· ὡς ἐκ ἂν εὑρόντα χάριν ἄλλην, ἢ τὴν εὔνοιαν ἀμείψεται τῶν πολιτῶν, εἰ ταύτην ἕτερος προέλαβε.

XXII. Ψηφισθέντος ἐν αὐτῷ [1] δευτέρε θριάμβε καὶ ὑπατείας, ἐ διὰ ταῦτα θαυμαςὸς ἐδόκει καὶ μέγας· ἀλλ' ἐκεῖνο τεκμήριον ἐποιῦντο τῆς λαμπρότητος, ὅτι Κράσσος, ἀνὴρ τῶν τότε [2] πολιτευομένων πλεσιώτατος, καὶ δεινότατος εἰπεῖν, καὶ μέγιςος, αὐτόν τε Πομπήϊον ὑπερφρονῶν καὶ τὲς ἄλλες ἅπαντας, ἐκ ἐθάρσησεν ὑπατείαν μετιέναι πρότερον, ἢ Πομπηΐε δεηθῆναι. καὶ μέντοι Πομπήϊος ἠγάπησε, πάλαι δεόμενος χρείας τινὸς ὑπάρξαι καὶ φιλανθρωπίας πρὸς αὐτόν· ὥςε καὶ δεξιῦσθαι προθύμως, καὶ παρακαλεῖν τὸν δῆμον, ἐπαγγελλόμενος χάριν ἕξειν ἐκ ἐλάττονα [3] τῦ συνάρχοντος, ἢ τῆς ἀρχῆς. ἐ μὴν ἀλλ' ἀποδειχθέντες ὕπατοι διεφέροντο πάντα καὶ προσέκρεον ἀλλήλοις· καὶ ἐν μὲν τῇ βελῇ μᾶλλον ἴσχυεν ὁ Κράσσος, ἐν δὲ τῷ δήμῳ μέγα

potestatem intelligi, quae a Sylla imminuta fuerat, sed non sublata, monet Mos. Dus. & susp. vocem aliquam hic excidisse. In textu jam correctiori nil desiderabis.

1 V. σὺν αὐτῷ.

2 Teste H. Steph. etiam legitur τῶν πώποτε πολιτευ. Quae mutatio si cui accipienda videtur, eo monente, dandum est πολιτευσαμένων vel πεπολιτευμένων. A SG. πολιτευομένων abest, sed post τότε superscripta est haec nota: Fortasse librarius hoc verbum in corpore, seu contextu, praetermissum, in margine apponere omisit. Ego (addit Collector Lect. var. cod. SG.) a Plutarcho non esse profectum censeo. In seq. V. πλεσιώτατος εἰπεῖν: an omissis καὶ δεινότ. haud liquet. Id. paulo post cum SG. ἐθάῤῥησεν pro ἐθάρσ.

3 R. sic dedit de suo — *se populo gratiam collegae haud minorem, quam magistratus, esse habiturum*, h. e. non minore in beneficio esse habiturum, atque populo in acceptis relaturum, quod Crassum sibi collegam consulatus dedisset, quam quod se consulem creasset. Vulgo ἐκ ἔλαττον αὐτῦ συνάρχοντος.

γα τὸ Πομπηΐυ κράτος ἦν. καὶ γὰρ ἀπέδωκε την δημαρχίαν αὐτῷ, καὶ τὰς δίκας περιεῖδεν αὖθις εἰς τὰς ἱππέας νόμῳ μεταφερομένας. ἥδιστον δὲ θέαμα τῷ δήμῳ παρέχεν αὐτὸς ἑαυτὸν, τὴν στρατείαν [1] παραιτύμενος. ἔθος γάρ ἐστι Ῥωμαίων τοῖς ἱππεῦσιν, ὅταν στρατεύσωνται τὸν νόμιμον χρόνον, ἄγειν εἰς ἀγορὰν τὸν ἵππον ἐπὶ τὰς δύο ἄνδρας, ὓς τιμητὰς καλῦσι· καὶ καταριθμησαμένυς [2] τῶν στρατηγῶν καὶ αὐτοκρατόρων ἕκαστον, ὑφ' οἷς ἐστρατεύσαντο, καὶ διδόντας εὐθύνας τῆς στρατείας, ἀφίεσθαι. νέμεται δὲ καὶ τιμὴ καὶ ἀτιμία προσήκυσα τοῖς βίοις ἑκάστων. τότε δὴ προεκάθηντο μὲν οἱ τιμηταὶ, Γέλλιος καὶ [3] Λέντλος, ἐν κόσμῳ, καὶ πάροδος ἦν τῶν ἱππέων ἐξεταζομένων. ὤφθη δὲ Πομπήϊος ἄνωθεν ἐπ' ἀγορὰν κατερχόμενος, τὰ μὲν ἄλλα παράσημα τῆς ἀρχῆς ἔχων, αὐτὸς δὲ διὰ χειρὸς ἄγων [4] τὸν ἵππον. ὡς δ' ἐγγὺς ἦν καὶ καταφανὴς ἐγεγόνει, κελεύσας διαχεῖν τὺς ῥαβδοφόρυς, τῷ βήματι προσήγαγε τὸν ἵππον. ἦν δὲ τῷ δήμῳ θαῦμα καὶ σιωπὴ πᾶσα [5], τὺς τ' ἄρχοντας αἰδὼς ἅμα καὶ χαρὰ πρὸς τὴν ὄψιν ἔχεν. εἶτα ὁ μὲν πρεσβύτερος ἠρώτησε [6]. Πυνθάνομαί συ, ὦ Πομπήϊε Μάγνε, εἰ πάσας ἐστράτευσαι τὰς κατὰ νόμον στρατείας; Πομπήϊος δὲ μεγάλῃ φωνῇ· Πάσας, εἶπεν, ἐστράτευμαι καὶ πάσας ὑπ' ἐμαυτῷ αὐτοκράτορι. Τῦτ' ἀκύσας ὁ δῆμος ἐξέκραγε, καὶ καταχεῖν ὐκ ἔτι τὴν βοὴν ὑπὸ χαρᾶς ἦν [7]. ἀλλ' ἀναστάντες οἱ τιμηταὶ προέπεμπον αὐτὸν οἴκαδε, χαριζόμενοι τοῖς πολίταις ἑπομένοις καὶ κροτῦσιν.

XXIII.

1 V. στρατηγίαν. Id. paulo post στρατεύσωσι pro στρατεύσωνται.
2 V καταριθμησαμένων.
3 Hanc copulam omittit Junt.
4 Legi hoc etiam loco ἔχων, testis est H. Steph.
5 Br. legi vult πᾶσι.
6 SG. ἐρώτησεν.
7 R. & Mos. Dus. susp. ὑπὸ χαρᾶς οἷός τ' ἦν.

XXIII. Ἤδη δὲ τῆς ἀρχῆς περαινομένης τῷ Πομπηΐῳ, τῆς δὲ πρὸς Κράσσον αὐξομένης διαφορᾶς, Γάϊός[1] τις Αὐρήλιος, ἀξίωμα μὲν ἱππικὸν ἔχων, βίῳ δ' ἀπράγμονι κεχρημένος, ἐκκλησίας ἔσης, ἀναβὰς ἐπὶ τὸ βῆμα, καὶ προσελθὼν, ἔφη κατὰ τὰς ὕπνας αὐτῷ τὸν Δία φάναι[2], κελεύοντα τοῖς ὑπάτοις φράσαι, μὴ πρότερον ἀποθέσθαι τὴν ἀρχὴν, ἢ φίλας ἀλλήλοις γενέσθαι. ῥηθέντων δὲ τέτων, ὁ μὲν Πομπήϊος ἡσυχίαν ἦγεν ἑςώς· ὁ δὲ Κράσσος ἀρξάμενος δεξιᾶσθαι καὶ προσαγορεύειν αὐτόν· Οὐδὲν οἶμαι ποιεῖν ἀγεννὲς, εἶπεν[3], ἐδὲ ταπεινὸν, ὦ πολῖται, Πομπηΐῳ πρότερος ἐνδιδὲς, ὃν ὑμεῖς, μήπω μὲν γενειῶντα, μέγαν ἠξιώσατε καλεῖν, μήπω δὲ μετέχοντι βελῆς ἐψηφίσασθε δύο θριάμβες. ἐκ τέτε διαλλαγέντες, ἀπέθεντο τὴν ἀρχήν. καὶ Κράσσος μὲν ὅνπερ ἐξ ἀρχῆς εἵλετο τρόπον τε βίε διεφύλαττε· Πομπήϊος δὲ τάς τε πολλὰς ἀνεδύετο συνηγορίας, καὶ τὴν ἀγορὰν κατὰ μικρὸν ἀπέλειπε[4], καὶ προῄει σπανίως εἰς τὸ δημόσιον, ἀεὶ δὲ μετὰ πλήθες. ὲ γὰρ ἦν ἔτι ῥάδιον ὄχλε χωρὶς ἐντυχεῖν, ἐδ' ἰδεῖν αὐτόν· ἀλλ' ἥδιςος ὁμε[5] πολλοῖς καὶ ἀθρόοις ἐφαίνετο, σεμνότητα περιβαλλόμενος ἐκ τέτε τῇ ὄψει καὶ ὄγκον, ταῖς δὲ τῶν πολλῶν ἐντεύξεσι καὶ συνηθείαις ἄθικτον οἰόμενος δεῖν τὸ ἀξίωμα διατηρεῖν. ὁ γὰρ ἐν ἱματίῳ βίος ἐπισφαλής ἐςι πρὸς ἀδοξίαν τοῖς ἐκ τῶν ὅπλων μεγάλοις, καὶ πρὸς ἰσότητα δημοτικὴν ἀσυμμέτροις[6]. αὐτοὶ μὲν



1 In Crasso dicitur Ὀυάτιος.. Cf. T. III. p. 420.

2 Mos. Dus. cum Anon. & Mur. scribi vult φανῆναι.

3 SG. hoc ordine, ἐδὲν, εἶπεν, οἶμαι ποιεῖν ἀγεννές. Id. paulo post πρότερον pro πρότερος.

4 SG. ἀπέλιπε. Sic & Junt. Pro προῄει V. προσῄει.

5 Mos. Dus. susp. ὅμως, ut sit sensus: jucundissime tamen conspiciebatur in frequenti populo, indeque &c. R. autem: ἥδιςά πως ὁμε, quam libentissime conspiciendum se dabat in globo conferto clientium. Pro ἀθρόοις V. ἀνθρώποις.

6 Teste H. Steph. scriptum quoque invenitur ἀσύμμετρος. Sic V. SG. & ipsa Junt.

γὰρ καὶ ἐνταῦθα [1] πρωτεύειν, ὡς ἐκεῖ, δικαιοῦσι· τοῖς δ' ἐκεῖ φερομένοις ἔλαττον, ἐνταῦθα γοῦν μὴ πλέον ἔχειν, οὐκ ἀνεκτόν ἐστι. διὸ τὸν ἐν στρατοπέδοις καὶ θριάμβοις λαμπρὸν, ὅταν ἐν ἀγορᾷ λάβωσιν, ὑπὸ χεῖρα ποιοῦνται καὶ καταβάλλουσι. τῷ δ' [2] ἀπολεγομένῳ καὶ ὑποχωροῦντι τὴν ἐκεῖ τιμὴν καὶ δύναμιν ἀνεπίφθονον φυλάττουσιν. ἐδήλωσε δ' αὐτὰ τὰ πράγματα μετ' ὀλίγον χρόνον.

XXIV. Ἡ γὰρ πειρατικὴ δύναμις ὡρμήθη μὲν ἐκ Κιλικίας τὸ πρῶτον, ἀρχὴν παράβολον [3] λαβοῦσα καὶ λανθάνουσαν, φρόνημα δὲ καὶ τόλμαν ἔσχεν ἐν τῷ Μιθριδατικῷ πολέμῳ, χρήσασα ταῖς βασιλικαῖς ὑπηρεσίαις ἑαυτήν. εἶτα Ῥωμαίων ἐν τοῖς ἐμφυλίοις πολέμοις περὶ θύρας τῆς Ῥώμης συμπεσόντων, ἔρημος οὖσα φρουρᾶς ἡ θάλασσα κατὰ μικρὸν αὐτοὺς ἀφείλκετο [4] καὶ προῆγεν, οὐκ ἔτι τοῖς πλέουσι μόνον ἐπιτιθεμένους, ἀλλὰ καὶ

1 i. e. *in foro vel in toga.* Ἐκεῖ, quod fequitur, *in caftris vel in fago.* R. Idem ad feqq. Τοῖς δ' ἐκ. φερ. ἔλ. — plebejis autem, quibus neceffe eft in caftris cedere atque obfecundare imperatoribus, hic faltim, in foro Romano, in illos imperatores fuos, exercerevolunt imperium atque majeftatem; indignumque cenfent & non ferendum, fi hoc fibi denegetur.

2 R. fufp. Τῷ δ' οὐκ ἀπολ. — qui autem dignitatem non ejurat, neque ultro concedit, fed in pace perinde, atque in bello, majeftatem fervat (ut feciffe Pompejum paulo ante dicebat Plutarchus) ei in foro quoque confervant cives intemeratum & ab invidia haud carptum honorem eundem, quo in caftris eum fuerant profecuti.

3 Br. fufp. παράλογον. R. tuetur vulgatam, tametfi duriter dictum fit pro κατ' ἀρχὴν παρεβάλλοντο μόνον ληστεύοντες καὶ παραβόλως καὶ λάθρα τοῦτο ἐποίουν, *magnis cum periculis & clam exercebant piraticam.* Differunt, monere R. pergit, παραβάλλεσθαι & τολμᾶν; (Plutarchus certe h. l. ea difcrevit) illud eft *audere temere, nulla, aut exigua cum fpe boni fucceffus*; hoc vero, *confidere*, fidenter & fecure aliquid factitare.

4 V. Mur. SG. ἐφείλκετο; quod Br. probat. R. vulgatam defendi poffe cenfet — *abftrahebat eos*, a Cicilia puta, & ab oris Afiae, verfus mare Jonium & Libycum atque Italicum.

καὶ νήσους καὶ πόλεις παραλίους ἐκκόπτοντας. ἤδη δὲ καὶ χρήμασι δυνατοὶ, καὶ γένεσι [1] λαμπροὶ, καὶ τῷ φρονεῖν ἀξιούμενοι διαφέρειν ἄνδρες, ἀνέβαινον εἰς τὰ λῃστρικὰ, καὶ μετεῖχον ὡς καὶ δόξαν τινὰ καὶ φιλοτιμίαν τοῦ ἔργου φέροντος. ἦν δὲ καὶ ναύσταθμα πολλαχόθι πειρατικὰ, καὶ φρυκτώρια τετειχισμένα, καὶ στόλοι προσέπιπτον, οὐ πληρωμάτων μόνον εὐανδρίαις, οὐδὲ τέχναις κυβερνητῶν, οὐδὲ τάχεσι νεῶν καὶ κουφότησιν ἐξησκημένοι πρὸς τὸ οἰκεῖον ἔργον· ἀλλὰ τοῦ φοβεροῦ μᾶλλον αὐτῶν τὸ ἐπίφθονον ἐλύπει καὶ ὑπερήφανον, στυλίσι [2] χρυσαῖς, καὶ παραπετάσμασιν ἀλουργοῖς, καὶ πλάταις ὑπαργύροις, ὥσπερ ἐντρυφώντων τῷ κακουργεῖν καὶ καλλωπιζομένων. αὐλοὶ δὲ καὶ ψαλμοὶ καὶ μέθαι παρὰ πᾶσαν ἀκτὴν [3], καὶ σωμάτων ἡγεμονικῶν ἁρπαγαὶ, καὶ πόλεων αἰχμαλώτων ἀπολυτρώσεις, ὄνειδος ἦσαν τῆς Ῥωμαίων ἡγεμονίας. ἐγένοντο δ' οὖν, αἱ μὲν λῃστρίδες νῆες, ὑπὲρ χιλίας, αἱ δ' ἁλοῦσαι πόλεις ὑπ' αὐτῶν, τετρακόσιαι. τῶν δ' ἀσύλων καὶ ἀβάτων πρότερον ἱερῶν ἐξέκοψαν ἐπιόντες τὸ Κλάριον, τὸ Διδυμαῖον, τὸ Σαμοθράκιον, τὸν ἐν Ἑρμιόνῃ τῆς Χθονίας νεὼν, καὶ τὸν ἐν Ἐπιδαύρῳ τοῦ Ἀσκληπιοῦ, καὶ τὸν Ἰσθμοῖ [4] καὶ Ταινάρῳ καὶ Καλαυρίᾳ τοῦ Ποσειδῶνος, τοῦ δ' Ἀπόλλωνος τὸν ἐν Ἀκτίῳ, καὶ Λευκάδι, τῆς δ' Ἥρας τὸν ἐν Σάμῳ, τὸν ἐν Ἄργει, τὸν ἐπὶ Λακινίῳ [5]. ξένας δὲ θυσίας



1 SG. γενέσει. Id. τὸ pro seq. τῷ (cum Junt.) & paulo post ἐνέβαινον pro ἀνέβ. & infra νηῶν pro νεῶν.

2 V. πιίλουσι. Idem τὸ κακουργ. pro seq. τῷ κακ.

3 In ind. Frst. ἀκτίνα absque nota auctoris.

4 Sic est in Mur. & sic H. Steph. & Br. legi voluerunt, deditque R. pro vulg. τὸ Ἰσθμοῖ — scil νεὼν, constantiae ergo ob praemissa & insequentia; tametsi ad τὸ Ἰ. possit ἱερὸν subaudiri. Br. quoque in seq. vult καὶ ἐν Ταιν.

5 Sic Xyl. dari voluit, & exhibent Anon. & Mur. & probante Mose Duf. dedit R. pro vulg. Λευκανίῳ. Intelligitur antiquissimum Junonis Laciniae templum in Lucania. Quod autem

σίας ἔθυον αὐτοὶ τὰς ἐν Ὀλύμπῳ [1], καὶ τελετάς τινας ἀπορρήτους ἐτέλουν, ὧν ἡ τοῦ Μίθρου καὶ μέχρι δεῦρο διασώζεται, καταδειχθεῖσα πρότερον [2] ὑπ' ἐκείνων. πλεῖστα δὲ Ῥωμαίοις [3] ἐνυβρίσαντες, ἔτι καὶ τὰς ὁδοὺς αὐτῶν, ἀναβαίνοντες ἀπὸ θαλάσσης, ἐληΐζοντο, καὶ τὰς ἐγγὺς ἐπαύλεις ἐξέκοπτον. ἥρπασαν δέ ποτε καὶ στρατηγοὺς δύο, Σεξτίλιον καὶ Βελλῖνον [4], ἐν ταῖς περιπορφύροις, καὶ τοὺς ὑπηρέτας ἅμα καὶ ῥαβδοφόρους ᾤχοντο σὺν αὐτοῖς ἐκείνοις ἔχοντες. ἥλω δὲ καὶ θυγάτηρ Ἀντωνίου, θριαμβικοῦ ἀνδρὸς, εἰς ἀγρὸν βαδίζουσα, καὶ πολλῶν χρημάτων ἀπελυτρώθη. ἐκεῖνο δ' ἦν ὑβριστικώτατον. ὁπότε γάρ τις ἑαλωκὼς ἀναβοήσειε Ῥωμαῖος εἶναι, καὶ τοὔνομα φράσειεν, ἐκπεπλῆχθαι προσποιούμενοι καὶ δεδιέναι, τούς τε μηροὺς ἐπαίοντο καὶ προσέπιπτον αὐτῷ, συγγνώμην ἔχειν ἀντιβολοῦντες. ὁ δ' ἐπείθετο, ταπεινοὺς ὁρῶν καὶ δεομένους. ἐκ τούτου δ' οἱ μὲν ὑπέδουν τοῖς καλτίοις [5] αὐτὸν, οἱ δὲ τήβεννον περιέβαλλον, ὡς δὴ μὴ πάλιν ἀγνοηθείη. πολὺν δὲ χρόνον οὕτω κατειρωνευσά-

autem ἐπὶ Λακ. non ἐν Λ. uti de caeteris, dicatur, ideo factum arbitratur Mos. Dus. quia in sinus litore situm erat, qui & ipse Λακίνιον dicebatur.

1 Et τὰς & Ὀλύμπῳ suspecta sunt R. Quaerit, num ἐν Ὀλυμπίᾳ, ut de ludis Olympicis agatur, & pro τὰς legatur ςώντες — an Olympus, mons Phrygiae designetur. Pro τελετὰς Anon. τελευτάς.

2 R. susp. πρώτων, ab illis primis demonstrata & in usum immissa.

3 R. susp. Ῥωμαίοις ἐν τῇ θαλάττῃ ἐνυβρίσαντες. Opponit mari continentem. Pro seq. ὁδοὺς, Mos. Dus. notante, Anon. (in ind. Frst. est προσάδους) & Mur. προσόδους. Sic & susp. Xyl. ut sit: *diripiebant ea, quae ex redditibus ad eos afferebantur*; aut scriptum fuisse ἐλόχιζον pro ἐληΐζοντο, *insidiabantur iis iter facientibus*, uti Amiotum legisse putat. Ad τὰς ἐγγὺς subaud. οὔσας τῇ θαλάσσῃ. R.

4 SG. Σεξτίλλιον & Βελλῆνον.

5 V. καλλικίοις, καλικίοις. Posterior lectio e Junt. est hausta, & R. dubitat, an in ea lateat vocab. *caligae*. SG. καλκίοις. Ita & Ald. & Crat.

νευσάμενοι καὶ ἀπολαύσαντες τοῦ ἀνθρώπου, τέλος ἐν μέσῳ πελάγει κλίμακα προσβαλόντες [1], ἐκέλευον ἐμβαίνειν, καὶ ἀπιέναι [2] χαίροντα· τὸν δὲ μὴ βουλόμενον ὠθοῦντες αὐτοὶ κατέδυον.

XXV. Ἐπενείματο δ' ἡ δύναμις αὕτη πᾶσαν ὁμοῦ τι τὴν καθ' ἡμᾶς θάλασσαν [3], ὥστ' ἄπλουν καὶ ἄβατον ἐμπορείᾳ πάσῃ γενέσθαι. τοῦτο δὴ μάλιστα Ῥωμαίους ἐπέτρεψε [4], θλιβομένους τῇ ἀγορᾷ, καὶ σπάνιν μεγάλην προσδοκῶντας, ἐκπέμψαι Πομπήϊον ἀφαιρησόμενον τῶν πειρατῶν τὴν θάλασσαν. ἔγραψε δὲ Γαβίνιος, εἷς τῶν [5] Πομπηΐου συνήθων, νόμον, οὐ ναυαρχίαν, ἄντικρυς δὲ μοναρχίαν αὐτῷ διδόντα, καὶ δύναμιν ἐπὶ πάντας ἀνθρώπους ἀνυπεύθυνον. ἐδίδου γὰρ ἄρχειν ὁ νόμος αὐτῷ τῆς ἐντὸς Ἡρακλείων στηλῶν θαλάσσης, ἠπείρου δὲ πάσης ἐπὶ σταδίους τετρακοσίους ἀπὸ θαλάσσης. τοῦτο δ' οὐ πάνυ πολλὰ χωρία τῆς ὑπὸ Ῥωμαίων οἰκουμένης τὸ μέτρον ἐξέφυγεν, ἀλλὰ τὰ μέγιστα τῶν ἐθνῶν καὶ τῶν βασιλέων οἱ δυνατώτατοι περιελαμβάνοντο [6]. πρὸς δὲ τούτοις



1 fcil. πρὸς τὸν τοῖχον τῆς νεώς. In Junt. προβαλ.

2 Sic R. de fuo dedit pro vulg. ἀπεῖναι.

3 Hanc lectionem e Junt. Ald. Crat. reftituit R. pro vulg. τὴν κατὰ θάλασσαν. Quam corruptam effe, facile quivis fentit. Dacer. eam recipiendam cenfuit, quae nunc legitur. Mof. Duf & Br. fufp. quod in Anon. & Mur. cernitur, τὴν κάτω θάλασσαν, Latinorum *mare inferum*, quod & Τυῤῥηνικὸν πέλαγος infra vocetur c. 26. In SG. ita legitur: ὁμοῦ τιμὴν καθ' ἡμᾶς θάλασσαν. Id. in feq. ἐμπορίᾳ; Junt. ἐμπορίου.

4 Revocavit hanc vocem R. ex edd. Stephanica vetuftioribus, pro qua H. Steph. dederat ἐπέστρεψε. Plutarchus, R. monente, v. ἐπιτρέπειν eo fenfu h. l. ufurpat, quo aetate ifta frequentabatur, fcil. *adhortandi*, *impellendi*, *inftigandi*. Confulas tamen, velim, L. B., quae *Schweighaeuferus in fuis emendat. & obfervat. in Suidam* pag. 39. de verbis ἐπιτρέπειν, ἐπιστρέφειν, ἐπιτρίβειν profert. Tuo ipfius judicio fit relictum, an malis ἐπέτριψε.

5 Junt. Ald. Crat. τόν. Steph. τῶν.

6 R. fubaudiendum monet αὐτῷ, aut potius addi mavult.

τοις ἑλέσθαι πεντεκαίδεκα πρεσβευτὰς αὐτὸν ἐκ βουλῆς ἐπὶ τὰς κατὰ μέρος ἡγεμονίας· χρήματα δὲ λαμβάνειν ἐκ τῶν ταμείων καὶ παρὰ τῶν τελωνῶν, ὅσα βούλοιτο, καὶ ναῦς διακοσίας, κύριον ὄντα πλήθους καὶ καταλόγου στρατιᾶς [1] καὶ πληρωμάτων ἐρετικῶν. ἀναγνωσθέντων δὲ τούτων, ὁ μὲν δῆμος ὑπερφυῶς ἐδέξατο, τῆς δὲ συγκλήτου τοῖς μεγίστοις καὶ δυνατωτάτοις ἔδοξε μεῖζον μὲν φθόνου, φόβου δ' ἄξιον εἶναι τὸ τῆς ἐξουσίας ἀπερίληπτον καὶ ἀόριστον. ὅθεν ἐνίσταντο τῷ νόμῳ, πλὴν Καίσαρος· οὗτος δὲ συνηγόρει τῷ νόμῳ, Πομπηΐου μὲν ἐλάχιστα φροντίζων, ὑποδυόμενος δὲ τὸν δῆμον ἐξ ἀρχῆς ἑαυτῷ καὶ κτώμενος [2]. οἱ δ' ἄλλοι τοῦ Πομπηΐου σφοδρῶς καθήπτοντο, καὶ τῶν μὲν [3] ὑπάτων ἅτερος εἰπὼν πρὸς αὐτὸν, ὅτι Ῥωμύλον ζηλῶν οὐ φεύξεται ταὐτὸν ἐκείνῳ τέλος, ἐκινδύνευσεν ὑπὸ τοῦ πλήθους διαφθαρῆναι. Κάτλου δὲ κατὰ τοῦ νόμου προσελθόντος [4], πολλὴν μὲν αἰδούμενος ὁ δῆμος ἡσυχίαν παρεῖχεν [5]. ἐπεὶ δὲ πολλὰ μετὰ τιμῆς ἀνεπιφθόνως ὑπὲρ τοῦ Πομπηΐου διελθὼν, συνεβούλευε φείδεσθαι, καὶ μὴ προβάλλειν τὸν [6] τοιοῦτον ἄνδρα κινδύνοις ἐπαλλήλοις καὶ πολέμοις· Ἢ τίνα, εἶπεν, ἕξετε ἄλλον, ἂν ἀπολέσητε τοῦτον; ἐκ μιᾶς γνώμης ὑπεφάνησαν ἅπαντες· Σεαυτόν. ὁ μὲν οὖν Κάτλος, ὡς οὐκ ἔπειθεν, ἀπέστη· Ῥωσκίου δὲ προσελθόντος οὐδεὶς ἤκουσεν· ὁ δὲ τοῖς δακτύλοις διεσήμαινε, μὴ μόνον, ἀλλὰ δεύτερον αἱρεῖσθαι Πομπήϊον. ἐπὶ τούτῳ λέγεται δυσχεράναντα

1 Sic R. de suo dedit pro vulg. στρατείας.

2 R. susp. ἐξ ἀρχ. καὶ ἑαυτῷ κτώμ. Dictio ὑποδύεσθαί τινα, eo monente, est a calceis ducta — ita sibi obsequentem reddere aliquem ad quaecunque velis officia, ut calceus est pedi.

3 Sic R. dedit de suo pro vulg. τῶν τε.

4 scil. πρὸς τὸν δῆμον. R. — προελθόντος malle videtur Mos. Dus.

5 Junt. Ald. Crat. παρῆγεν. Hinc R. susp. in quibusdam libris fuisse ἦγεν.

6 abest τὸν a SG.

πάντα τὸν δῆμον τηλικοῦτον ἀνακραγεῖν [1], ὥστε ὑπερπετόμενον κόρακα τῆς ἀγορᾶς τυφωθῆναι [2] καὶ καταπεσεῖν εἰς τὸν ὄχλον. ὅθεν οὐ δοκεῖ ῥήξει τοῦ ἀέρος καὶ διασπασμῷ κλόνον πολὺν [3] λαμβάνοντος ἐνολισθαίνειν τὰ πίπτοντα τῶν ὀρνέων, ἀλλὰ τυπτόμενα τῇ πληγῇ τῆς φωνῆς, ὅταν ἐν τῷ ἀέρι σάλον καὶ κῦμα ποιήσῃ πολλὴ καὶ ἰσχυρὰ φερομένη.

XXVI. Τότε μὲν οὖν διελύθησαν. ᾗ δ' ἡμέρᾳ τὴν ψῆφον ἐποίσειν ἔμελλον, ὑπεξῆλθεν ὁ Πομπήϊος εἰς ἀγρόν· ἀκούσας δὲ κεκυρῶσθαι τὸν νόμον [4], εἰσῆλθε νύκτωρ εἰς τὴν πόλιν, ὡς ἐπιφθόνου τῆς πρὸς αὐτὸν ἀπαντήσεως καὶ συνδρομῆς ἐσομένης. ἅμα δ' ἡμέρᾳ προελθὼν ἔθυσε, καὶ γενομένης ἐκκλησίας αὐτῷ, διεπράξατο προσλαβεῖν ἕτερα πολλὰ τοῖς ἐψηφισμένοις ἤδη, μικροῦ διπλασιάσας τὴν παρασκευήν. πεντακόσιαι μὲν γὰρ αὐτῷ νῆες ἐπληρώθησαν, ὁπλιτῶν δὲ μυριάδες δώδεκα, καὶ πεντακισχίλιοι ἱππεῖς ἠθροίσθησαν. ἡγεμονικοὶ δὲ καὶ στρατηγικοὶ κατελέγησαν ἀπὸ βουλῆς ἄνδρες εἰκοσιτέσσαρες ὑπ' αὐτοῦ, δύο δὲ ταμίαι παρῆσαν. αἱ δὲ τιμαὶ τῶν ὠνίων εὐθὺς πεσοῦσαι λόγον ἡδομένῳ τῷ δήμῳ παρεῖχον, ὡς αὐτὸ τοὔνομα τοῦ Πομπηΐου λέλυκε τὸν πόλεμον. οὐ μὴν ἀλλὰ διελὼν τὰ πελάγη, καὶ τὸ διάστη-



1 V. καὶ κραγεῖν.

2 Sic susp. est Mos. Dus. & dedit R. — *dementari, exsternari* — pro vulg. τυφλωθῆναι, voce, jam Xylandro suspecta.

3 Cum. Junt. locum hunc sic exhibeat: διασπασμῷ ἴσως κλόνον κενὸν πολὺν λαμβ. colligit Reiske, illo in codice, unde excusa fuit Juntina, lectorem quendam super voc. κλόνον emendationis ergo superscripsisse ἴσως κενὸν — Quodsi probetur, etiam πολὺ in neutr. leg. censet, & totum locum sic exarandum: διασπασμῷ κενὸν πολὺ λαμβ. — Et hanc lectionem mavult, quam vulgatam, quae ab Ald. profecta est. V. τοῦ ἀέρος καὶ κλόνον & κενὸν πολὺν ἴσως κλόνον; Anon. κενὸν πολὺ; SG. κλόνον κενὸν πολύν.

4 Cum artic. dedit SG. eumque recepit R. Vulgo deest.

μα τῆς ἐντος θαλάσσης εἰς μέρη τρισκαίδεκα, καὶ νεῶν ἀριθμὸν ἐφ' ἑκάςῳ καὶ ἄρχοντα τάξας, ἅμα πανταχῆ τῇ δυνάμει σκεδασθείσῃ τὰ μὲν ἐμπίπ]οντα τῶν πειρατικῶν ἀθρόα περιλαμβάνων, εὐθὺς ἐξεθηρᾶτο καὶ κατῆγεν· οἱ δὲ φθάσαντες διαλυθῆναι [1] καὶ διεκπεσόν]ες, ὥσπερ εἰς σμῆνος ἐδύον]ο πανταχόθεν καταφερόμενοι [2] τὴν Κιλικίαν· ἐφ' ὃς αὐτὸς ἐςέλλετο ναῦς ἔχων ἑξήκοντα τὰς ἀρίςας. ἐ μὴν πρότερον ἐπ' ἐκείνες ἐξέπλευσεν, ἢ παντάπασι καθῆραι τῶν αὐτόθι λῃςηρίων τὸ Τυῤῥηνικὸν πέλαγος, τὸ Λιβυκὸν, τὸ περὶ Σαρδόνα καὶ Κύρνον καὶ Σικελίαν, ἡμέραις [3] τεσσαράκον]α ταῖς πάσαις, αὐτῷ τε χρώμενος ἀτρύτῳ καὶ τοῖς ςρατηγοῖς προθύμοις.

XXVII. Ἐν δὲ Ῥώμῃ τῷ ὑπάτε Πείσωνος ὀργῇ καὶ φθόνῳ λυμαινομένε τὴν παρασκευὴν, καὶ διαλύοντος τὰ πληρώματα, τὸ μὲν ναυτικὸν εἰς Βρεντέσιον περιέπεμψεν, αὐτὸς δὲ διὰ Τυῤῥηνίας εἰς Ῥώμην ἀνέβαινεν. αἰθόμενοι δὲ πάντες ἐξεχύθησαν εἰς τὴν ὁδὸν, ὥσπερ ἐ πρὸ ἡμερῶν ὀλίγων ἐκπέμψαν]ες αὐτόν. ἐποίει δὲ τὴν χαρὰν τὸ παρ' ἐλπίδα [4] τῆς μεταβολῆς τάχος, ὑπερβάλλεσαν ἀφθονίαν τῆς ἀγορᾶς ἐχέσης. ὅθεν ὁ Πείσων ἐκινδύνευσε τὴν ὑπατείαν ἀφαιρεθῆναι, Γαβινίε νόμον ἔχον]ος ἤδη συγγεγραμμένον. ἀλλὰ καὶ τῦτο διεκώλυσεν ὁ Πομπήϊος, καὶ τἄλλα χρηματίσας ἐπιεικῶς, καὶ διαπραξάμενος ὧν ἐδεῖτο, καταβὰς εἰς Βρεντέσιον ἐξέπλευσεν. ἐπειγόμενος δὲ τῷ καιρῷ, καὶ παραπλέων

1 R. mavult διαδῦναι — per medios hoſtes fuga evadere, clam elabi.

2 In Junt. legitur καὶ καταφερ. Hinc R. quærit, an hoc καὶ rejiciendum, ut perperam e proximo κατὰ iteratum? an ſervandum, & locus ita ſupplendus ſit: πανταχόθεν ἐν καὶ ταὐτὸ καταφερόμενοι?

3 Sic cum V. & SG. dari voluit Moſ. Duſ. deditque R. pro vulg. ἡμέραι. Pro ſeq. αὐτῷ Br. ſuſp. αὑτῷ.

4 SG. uno vocabulo παρελπίδα. Sic & infra ἐπελπίδος.

πλέων τὰς πόλεις ὑπὸ σπυδῆς, ὅμως ϗ παρῆλθε τὰς Ἀθήνας. ἀναβὰς δὲ, καὶ θύσας τοῖς θεοῖς, καὶ προσαγορεύσας τὸν δῆμον, εὐθὺς ἀπιὼν ἀνεγίνωσκεν εἰς αὐτὸν ἐπιγεγραμμένα μονόστιχα· τὸ μὲν ἐντὸς τῆς πύλης·

Ἐφ' ὅσον ὢν ἄνθρωπος οἶδας, ἐπὶ τοσῦτον εἶ θεός.

τὸ δ' ἐκτὸς·

Προσεδοκῶμεν, προσεκυνῦμεν· εἴδομεν, προπέμπομεν.

ἐπεὶ δὲ τῶν συνεςώτων ἔτι [1] καὶ πλανωμένων ἔξω πειρατηρίων ἐνίοις δεηθεῖσιν ἐπιεικῶς ἐχρήσατο, καὶ παραλαβὼν τὰ πλοῖα καὶ τὰ σώματα, κακὸν ὐδὲν ἐποίησεν, ἐπ' ἐλπίδος χρηςῆς οἱ λοιποὶ γενόμενοι, τὺς μὲν ἄλλυς διέφευγον ἡγεμόνας, Πομπηΐῳ δὲ φέροντες αὑτὺς [2] μετὰ τέκνων καὶ γυναικῶν ἐνεχείριζον. ὁ δὲ πάντων ἐφείδετο, καὶ μάλιςα διὰ τύτων τὺς ἔτι λανθάνοντας ἐξιχνεύων καὶ λαμβάνων ἐκόμιζεν [3], ὡς αὑτὺς ἑαυτοῖς ἀνήκεςα συνειδότας.

XXVIII. Οἱ δὲ πλεῖςοι καὶ δυνατώτατοι γενεὰς μὲν αὐτῶν καὶ χρήματα, καὶ τὸν ἄχρηςον ὄχλον, ἐν φρυρίοις καὶ πολίσμασι καρτεροῖς περὶ τὸν Ταῦρον εἶχον ἀποκείμενα· τὰς δὲ ναῦς πληρώσαντες αὐτοὶ περὶ τὸ Κορακήσιον τῆς Κιλικίας ἐπιπλέοντα τὸν Πομπήϊον ἐδέξαντο· καὶ μάχης γενομένης, νικηθέντες ἐπολιορκῦντο. τέλος δὲ, πέμψαντες ἱκετηρίας, παρέδωκαν ἑαυτὺς καὶ πόλεις καὶ νήσυς, ὧν ἐπεκράτυν ἐντειχισάμενοι, χαλεπὰς βιασθῆναι καὶ δυσπροσπελάςυς. κατελύθη μὲν ῦν ὁ πόλεμος, καὶ τὰ πανταχῦ ληςήρια τῆς θαλάσσης ἐξέπεσεν ὐκ ἐν πλείονι χρόνῳ τριῶν μηνῶν. ναῦς δὲ

1 V. ἤδη. SG. post ἔτι inserit διά.
2 V. SG. ἑαυτὺς. Junt. αὐτὺς.
3 R. susp. ἐκόλαζεν. Seqq. ὡς αὐτὺς — συνειδότας malim dari post λανθάνοντας. Junt. Ald. Crat. αὐτὺς.

δὲ πολλὰς μὲν ἄλλας, ἐνενήκοντα δὲ χαλκεμβόλους παρέλαβεν. αὐτοὺς δὲ [1], δισμυρίων πλείονας γενομένους, ανελεῖν μὲν οὐδ' ἐβουλεύσατο, μεθεῖναι δὲ καὶ περιϊδεῖν σκεδασθέντας, ἢ συστάντας αὖθις, ἀπόρους καὶ πολεμικοὺς τοὺς πολλοὺς [2] ὄντας, οὐκ ᾤετο καλῶς ἔχειν. ἐννοήσας οὖν, ὅτι φύσει μὲν ἄνθρωπος οὔτε γέγονεν, οὔτ' ἐστιν ἀνήμερον ζῶον, οὐδ' ἄμικτον [3], ἀλλ' ἐξίσταται, τῇ κακίᾳ παρὰ φύσιν χρώμενος, ἔθεσι δὲ καὶ τόπων καὶ βίου [4] μεταβολαῖς ἐξημεροῦται· καὶ θηρία, διαίτης κοινωνοῦντα πρᾳοτέρας, ἐνδύεται τὸ ἄγριον καὶ χαλεπόν. ἔγνω τοὺς ἄνδρας εἰς γῆν μεταφέρειν ἐκ τῆς θαλάσσης, καὶ βίου γεύειν ἐπιεικοῦς συνεθισθέντας ἐν πόλεσιν οἰκεῖν καὶ γεωργεῖν. ἐνίους μὲν οὖν αἱ μικραὶ καὶ ὑπέρημοι τῶν Κιλίκων πόλεις ἐδέξαντο, καὶ κατέμιξαν ἑαυταῖς χώραν [5] προσλαβοῦσαι· τὴν δὲ Σολίων ἠρημωμένην ἔναγχος ὑπὸ Τιγράνου, τοῦ Ἀρμενίων βασιλέως, ἀναλαβὼν, ἵδρυσε πολλοὺς ἐν αὐτῇ. τοῖς δὲ πολλοῖς οἰκητήριον δέδωκε [6] Δύμην τὴν Ἀχαΐδα, χηρεύουσαν ἀνδρῶν τότε, γῆν δὲ πολλὴν καὶ ἀγαθὴν ἔχουσαν.

XXIX. Ταῦτα μὲν οὖν οὐδ' [7] οἱ βασκαίνοντες ἔψεγον.

1 δὲ abeſt a Junt.

2 Cum artic. dari voluit H. Steph. & dedit R. Vulgo abeſt. SG. praefigit accuſ. πολλοὺς copulam καὶ, quod & in quibusdam ſuorum codd. legit H. Steph. — non tamen probans, cum jam multitudinem antea declararit.

3 Cum in edd. Stephanica prioribus legatur ἄφικτον, R. ſuſp. legendum ἄθικτον — *impalpabile*, intractabile.

4 SG. βίων.

5 Junt. poſt h. v. addit καὶ. Hinc R. ſuſp. aut nomen ſubſtantivum, e. c. κώμας, aut οἰκίας, aut tale quid, aut adjectivum, ut praedicatum vocabuli χώραν, e. c. ἀγαθὴν, addendum eſſe.

6 SG. ἔδωκε.

7 R. de ſuo οὐδ' addidit — *ne inimici quidem Pompeji haec poterant carpere, at cum Metello ejus acta ne amici quidem probare.*

γον· τοῖς δὲ περὶ Κρήτην πραχθεῖσι πρὸς Μέτελλον ὐδ' οἱ πάνυ φιλῦντες αὐτὸν ἔχαιρον. ὁ γὰρ Μέτελλος, οἰκεῖος ὢν ἐκείνῳ τῷ συνάρξαντος ἐν Ἰβηρίᾳ τῷ Πομπηΐῳ, στρατηγὸς εἰς Κρήτην ἐπέμφθη πρότερον, ἢ τὸν Πομπήϊον αἱρεθῆναι [1]. δευτέρα γάρ τις ἦν αὕτη τῶν πειρατηρίων πηγὴ, μετὰ τὴν ἐν Κιλικίᾳ· καὶ πολλὺς ἐγκαταλαβὼν ὁ Μέτελλος ἐξῄρει καὶ διέφθειρεν. οἱ δὲ περιόντες ἔτι καὶ πολιορκύμενοι, πέμψαντες ἱκετηρίαν [2], ἐπεκαλῦντο τὸν Πομπήϊον εἰς τὴν νῆσον, ὡς τῆς ἐκείνυ μέρος ὖσαν ἀρχῆς, καὶ πανταχόθεν ἐμπίπτυσαν εἰς τὸ μέτρον τὸ ἀπὸ θαλάσσης. ὁ δὲ δεξάμενος ἔγραφε τῷ Μετέλλῳ, κωλύων τὸν πόλεμον. ἔγραφε δὲ καὶ ταῖς πόλεσι, μὴ προσέχειν Μετέλλῳ, καὶ στρατηγὸν ἔπεμψε τῶν ὑφ' ἑαυτὸν ἀρχόντων ἕνα, Λεύκιον Ὀκταΐϊον· ὃς συνεισελθὼν εἰς τὰ τείχη τοῖς πολιορκυμένοις, καὶ μαχόμενος μετ' αὐτῶν, ὐ μόνον ἐπαχθῆ καὶ βαρὺν, ἀλλὰ καὶ καταγέλαστον ἐποίει τὸν Πομπήϊον, ἀνθρώποις ἀνοσίοις καὶ ἀθέοις τὔνομα κιχράντα, καὶ περιάπτοντα τὴν αὐτῦ [3] δόξαν, ὥσπερ ἀλεξιφάρμακον, ὑπὸ φθόνυ καὶ φιλοτιμίας τῆς πρὸς Μέτελλον. ὐδὲ γὰρ τὸν Ἀχιλλέα ποιεῖν ἀνδρὸς ἔργον, ἀλλὰ μειρακίυ παντάπασιν ἐμπλήκτυ καὶ σεσοβημένυ πρὸς δόξαν, ἀνανεύοντα τοῖς ἄλλοις καὶ διακωλύοντα βάλλειν Ἕκτορα,

Μή τις κῦδος ἄροιτο βαλὼν, ὁ δὲ δεύτερος ἔλθοι [4].

Πομ-

1 R. susp. Πομπήϊον ἐπὶ τὸν πειρατικὸν πόλεμον αἱρεθῆναι.

2 R. hanc lectionem e Junt. & Ald. se revocasse monet pro vulg. ἱκετηρίας, in plur. cum haec piratarum Cretensium supplicatio per literas, ad Pompejum missas, una fuerit supplicatio. Mihi mendum videtur esse typographicum in Bryanea, cum omnes priores edd. habent singularem. Idem paulo post accidisse video in voce ἔγραφε posteriori, pro quo Br. male dederat ἔγραψε.

3 SG. αὐτῦ. Sic & Junt. Ald. Crat.

4 Iliad. XXII, 207.

Πομπήϊον δὲ καὶ σώζειν ὑπερμαχοῦντα τῶν κοινῶν πολεμίων, ἐπὶ τῷ [1] τὸν θρίαμβον ἀφελέσθαι στρατηγοῦ πολλὰ πεπονηκότος. οὐ μὴν ἐνέδωκεν ὁ Μέτελλος, ἀλλὰ τούς τε πειρατὰς ἐξελὼν ἐτιμωρήσατο, καὶ τὸν Ὀκταούϊον ἐν τῷ στρατοπέδῳ καθυβρίσας καὶ λοιδορήσας ἀφῆκεν.

XXX. Ἀπαγγελθέντος δ' εἰς Ῥώμην πέρας ἔχειν τὸν πειρατικὸν πόλεμον, καὶ σχολὴν ἄγοντα τὸν Πομπήϊον ἐπέρχεσθαι [2] τὰς πόλεις, γράφει νόμον εἷς τῶν δημάρχων, Μανίλιος [3], ὅσης Λεύκουλλος ἄρχει χώρας καὶ δυνάμεως, Πομπήϊον παραλαβόντα πᾶσαν, προσλαβόντα δὲ καὶ Βιθυνίαν, ἣν ἔχει Γλαβρίων, πολεμεῖν Μιθριδάτῃ καὶ Τιγράνῃ, τοῖς βασιλεῦσιν, ἔχοντα καὶ τὴν ναυτικὴν δύναμιν, καὶ τὸ κράτος τῆς θαλάσσης, ἐφ' οἷς [4] ἔλαβεν ἐξ ἀρχῆς. τοῦτο δ' ἦν ἐφ' ἑνὶ [5] συλλήβδην γενέσθαι τὴν Ῥωμαίων ἡγεμονίαν. ὧν γὰρ ἐδόκει μόνων ἐπαρχιῶν μὴ ἐφικνεῖσθαι [6] τῷ προτέρῳ νόμῳ, Φρυγίας, Λυκαονίας, Γαλατίας, Καππαδοκίας, Κιλικίας, τῆς ἄνω Κολχίδος, Ἀρμενίας, αὗται προσετίθεντο μετὰ στρατοπέδων καὶ δυνάμεων, αἷς Λεύκουλλος κατεπολέμησε Μιθριδάτην καὶ Τιγράνην. ἀλλὰ Λευκούλλου μὲν ἀποστερουμένου τὴν δόξαν ὧν κατειργάσατο, καὶ θριάμβου μᾶλλον, ἢ πολέμου διάδοχον [7] λαμβάνοντος, ἧττον λόγος ἦν τοῖς ἀριστοκρατικοῖς, καίπερ οἰομένοις ἄδικα καὶ ἀχάριστα πάσχειν τὸν ἄνδρα· τὴν δὲ δύναμιν τοῦ Πομπηΐου βαρέως φέροντες, ὡς τυραννίδα καθισταμένην, ἰδίᾳ παρεκάλουν καὶ

1 τῷ deest Junt. Ald. Crat. In SG. pro eo est τό.

2 Junt. sola ἀπέρχεσθαι.

3 Sic cum Anon. Mur. & Interpp. scribendum censuit Br. deditque R. pro vulg. Μάλλιος. In seq. SG. Λεύκολλος cum Junt. hic & infra.

4 i. e. ἐπὶ τούτοις τοῖς δικαίοις, ἐφ' οἷς ἔλ. αὐτὸ ἐξ ἀρ. R.

5 Junt. Ald. Crat. ὑφ' ἑνί.

6 Sic Mos. Dus. cum V. Anon. Mur. & Steph. scribendum censuit, deditque R. pro vulg. ἀφικν.

7 Sic Mos. Dus. susp. & dedit R. Vulgo διαδοχήν.

καὶ παρεθάῤῥυνον αὐτοὺς [1] ἐπιλαβέσθαι τοῦ νόμου, καὶ μὴ προέσθαι τὴν ἐλευθερίαν. ἐνστάντος δὲ τοῦ καιροῦ, τὸν δῆμον φοβηθέντες, ἐξέλιπον καὶ κατεσιώπησαν οἱ λοιποί· Κάτλος δὲ τοῦ νόμου πολλὰ κατηγορήσας, καὶ τοῦ δήμου [2] μηδένα πείθων, ἐκέλευε τὴν βουλὴν, ἀπὸ τοῦ βήματος κεκραγὼς πολλάκις, ὄρος ζητεῖν, ὥσπερ οἱ πρόγονοι, καὶ κρημνὸν, ὅποι [3] καταφυγοῦσα διασώσει τὴν ἐλευθερίαν. ἐκυρώθη δ' οὖν ὁ νόμος πάσαις, ὡς λέγεται, ταῖς φυλαῖς [4], καὶ κύριος ἀποδέδεικτο μὴ παρὼν ὁ Πομπήϊος ἁπάντων σχεδὸν, ὧν ὁ Σύλλας, ὅπλοις καὶ πολέμῳ τῆς πόλεως κρατήσας. αὐτὸς δὲ δεξάμενος τὰ γράμματα, καὶ πυθόμενος τὰ δεδογμένα, τῶν φίλων παρόντων καὶ συνηδομένων, τὰς ὀφρῦς λέγεται συναγαγεῖν, καὶ τὸν μηρὸν πατάξαι, καὶ εἰπεῖν, ὡς ἂν βαρυνόμενος ἤδη καὶ δυσχεραίνων τὸ ἄρχειν· Φεῦ τῶν ἀνηνύτων ἄθλων, ὡς ἄρα κρεῖττον ἦν ἕνα τῶν ἀδόξων γενέσθαι, εἰ μηδέποτε παύσομαι στρατευόμενος, μηδὲ τὸν φθόνον τοῦτον ἐκδὺς, ἐν ἀγρῷ διαιτήσομαι μετὰ γυναικὸς [5]. ἐφ' οἷς λεγομένοις οὐδ' οἱ πάνυ συνήθεις ἔφερον αὐτοῦ τὴν εἰρωνείαν, γινώσκοντες, ὅτι τῆς ἐμφύτου φιλοτιμίας καὶ φιλαρχίας ὑπέκκαυμα τὴν πρὸς Λεύκουλλον ἔχων διαφορὰν, μειζόνως ἔχαιρεν.

XXXI. Ἀμέλει δὲ καὶ τὰ ἔργα ταχέως αὐτὸν ἀπεκάλυπτε. πανταχοῦ γὰρ ἐκτιθεὶς διαγράμματα, τοὺς στρα-

1 SG. αὐτοῖς. Sic & Junt.

2 Cum artic. dari voluit H. Steph. & dedit R. Volgo deest. Aliam quoque citat H. Steph. lectionem κατηγορήσας καὶ τοῦ δημάρχου· μηδένα καὶ πείθων. SG. consentit, solam partic. καὶ post μηδ. cum δὲ mutans.

3 Sic R. de suo dedit pro vulg. ὅπου. Dacer. hunc locum de sacro monte vult intelligi. Mos. Duf. Plutarchum alludere putat ad senatus populique rom. in Capitolium rupemque Tarpejam, Gallis adventantibus, secessum.

4 SG. ὁ νόμος, ὥς λέγουσι, πάσαις ταῖς φυλαῖς.

5 SG. μετὰ τῆς γυναικός.

στρατιώτας ἀνεκαλεῖτο, καὶ μετεπέμπετο τοὺς ὑπηκόους δυνάστας καὶ βασιλεῖς ὡς ἑαυτόν. ἐπιών τε τὴν χώραν, οὐδὲν ἀκίνητον εἴα τῶν ὑπὸ τοῦ Λευκούλλου γεγονότων· ἀλλὰ καὶ κολάσεις ἀνῆκε πολλοῖς, καὶ δωρεὰς ἀφείλετο, καὶ πάντα ὅλως ἔπραττεν, ἐπιδεῖξαι τὸν ἄνδρα φιλονεικῶν τοῖς θαυμάζουσιν οὐδενὸς ὄντα κύριον. ἐγκαλοῦντος δ' ἐκείνου διὰ τῶν φίλων, ἔδοξε συνελθεῖν εἰς ταὐτό· καὶ συνῆλθον περὶ τὴν Γαλατίαν. οἷα δὲ μεγίστων στρατηγῶν καὶ μέγιστα κατωρθωκότων, δάφναις ἀνεστεμμένας [1] ἔχοντες ὁμοῦ καὶ τὰς ῥάβδους οἱ ὑπηρέται ἀπήντων. ἀλλὰ Λεύκουλλος μὲν ἐκ τόπων χλοερῶν καὶ κατασκίων προσήει [2], Πομπήϊος δὲ πολλὴν ἄδενδρον καὶ κατεψυγμένην [3] ἔτυχε διεληλυθώς. ἰδόντες οὖν οἱ τοῦ Λευκούλλου ῥαβδοφόροι τοῦ Πομπηΐου τὰς δάφνας ἀθαλεῖς [4] καὶ μεμαραμμένας παντάπασιν, ἐκ τῶν ἰδίων προσφάτων οὐσῶν μεταδιδόντες, ἐπεκόσμησαν καὶ κατέστεψαν τὰς ἐκείνου ῥάβδους. ὃ σημεῖον ἔδοξεν εἶναι, τὰ τοῦ [5] Λευκούλλου νικητήρια καὶ τὴν δόξαν οἰσόμενον [6] ἔρχεσθαι Πομπήϊον. ἦν δὲ Λεύκουλλος μὲν ἐν ὑπατείας τε τάξει, καὶ καθ' ἡλικίαν πρεσβύτερος, τὸ δὲ τοῦ Πομπηΐου μεῖζον ἀξίωμα τοῖς δυσὶ θριάμβοις. οὐ μὴν ἀλλὰ [7] τὴν πρώτην ἐντευ-

1 Sic R. de suo dedit pro vulg. δάφναις ἀνεσταλμένας. Junt. ἀνεσταμένας. Unde jam Br. & Mss. Duf. de verbo ἀναστέφειν suspicati sunt. Sed ob insequens ὁμοῦ R. adhuc vult inseri τοῖς πελέκεσι — *lictores habentes laureis sertis redimitas*, *una cum securibus*, *virgas quoque*, aut ὁμοῦ ταῖς κεφαλαῖς, *una cum capitibus suis*. Tudertin. vertit: lictores laureas & erectos fasces utrinque ferentes, alteri alteris occurrerunt.

2 Junt. sola προσήκα.

3 R. mavult κατεφρυγμένην, vel καταπεφρυγμένην, *ambustam*, cum illa pars Phrygiae, quam peragraverat Pompejus, olim ἡ κατακεκαυμένη appellari sit solita.

4 Sic R. de suo dedit. Vulgo ἀθαλλεῖς.

5 SG. τοῦ τὰ Λευκούλλου.

6 R. susp. ἀνοισόμενον.

7 V. post h. v. inserit καὶ.

ἔντευξιν ὡς ἐνῆν μάλιστα πολιτικῶς καὶ φιλοφρόνως ἐποιήσαντο, μεγαλύνοντες ἀλλήλων τὰ ἔργα, καὶ συνηδόμενοι τοῖς κατορθώμασιν. ἐν δὲ τοῖς λόγοις πρὸς ἐδὲν ἐπιεικὲς, ἐδὲ μέτριον συμβάντες, ἀλλὰ καὶ λοιδορήσαντες, ὁ μὲν εἰς φιλαργυρίαν τὸν Λεύκελλον, ὁ δ᾽ εἰς φιλαρχίαν ἐκεῖνον, ὑπὸ τῶν φίλων μόλις διελύθησαν. καὶ Λεύκελλος μὲν ἐν Γαλατίᾳ διέγραψε χώρας τῆς αἰχμαλώτε καὶ δωρεὰς ἄλλας, οἷς ἐβέλετο· Πομπήϊος δὲ μικρὸν ἀπωτέρω ϛρατοπεδεύσας, ἐκώλυε προσέχειν αὐτῷ, καὶ τὲς ϛρατιώτας ἅπαντας ἀφείλετο, πλὴν χιλίων ἑξακοσίων· ὃς ἐνόμιζεν ὑπ᾽ αὐθαδείας ἀχρήϛες μὲν ἑαυτῷ, τῷ Λευκέλλῳ δὲ δυσμενεῖς εἶναι. πρὸς δὲ τέτοις, διασύρων τὰ ἔργα ἐμφανῶς, ἔλεγε τραγῳδίαις καὶ σκιαγραφίαις πεπολεμηκέναι βασιλικαῖς τὸν Λεύκελλον, αὐτῷ δὲ πρὸς ἀληθινὴν καὶ σεσωφρονισμένην τὸν ἀγῶνα λείπεσθαι δύναμιν, εἰς θυρεὲς καὶ ξίφη καὶ ἵππες Μιθριδάτε καταφεύγοντος. ἀμυνόμενος δὲ ὁ Λεύκελλος, εἰδώλῳ καὶ σκιᾷ πολέμε τὸν Πομπήϊον ἔφη μαχέμενον βαδίζειν, εἰθισμένον ἀλλοτρίοις νεκροῖς, ὥσπερ ὄρνιν ἀργὸν, ἐπικαταίρειν, καὶ λείψανα πολέμων σπαράσσειν. ὕτω γὰρ αὐτὸν ἐπιγράψαι Σερτωρίῳ, Λεπίδῳ, τοῖς Σπαρτακίοις, τὰ μὲν Κράσσε, τὰ δὲ Μετέλλε, τὰ δὲ Κάτλε κατωρθωκότος. ὅθεν ἐ θαυμάζειν, εἰ τῶν Ἀρμενιακῶν καὶ Ποντικῶν πολέμων ὑποβάλλεται τὴν δόξαν, ἄνθρωπος ἑαυτὸν εἰς δραπετικὸν θρίαμβον ἀμωσγέπως ἐμβαλεῖν μηχανησάμενος.

XXXII. Ἐκ τέτε Λεύκελλος μὲν ἀπῆρε, Πομπήϊος δὲ τῷ ϛόλῳ παντὶ τὴν μεταξὺ Φοινίκης καὶ Βοσπόρε θάλασσαν ἐπὶ φρερᾷ διαλαβὼν, αὐτὸς ἐβάδιζεν ἐπὶ Μιθριδάτην ἔχοντα τρισμυρίες πεζὲς ἐν φάλαγγι, καὶ δισχιλίες ἱππεῖς, μάχεσθαι δὲ μὴ θαῤῥῦντα. καὶ πρῶτον μὲν αὐτῦ καρτερὸν ὄρος καὶ δύσμαχον, ἐν ᾧ ϛρατοπεδεύων ἔτυχεν, ὡς ἄνυδρον ἐκλιπόντος, αὐτὸ

τῦτο καταχὼν ὁ Πομπήϊος, καὶ τῇ φύσει τῶν βλαςανόντων, καὶ ταῖς συγκλινίαις τῶν τόπων τεκμαιρόμενος ἔχειν πηγὰς τὸ χωρίον, ἐκέλευσεν ἐκβαλεῖν πανταχῦ φρέατα. καὶ μεςὸν ἦν εὐθὺς ὕδατος ἀφθόνυ τὸ ςρατόπεδον, ὥςε θαυμάζειν, εἰ τῷ παντὶ χρόνῳ τῦτο Μιθριδάτης ἠγνόησεν. ἔπειτα περιςρατοπεδεύσας [1] περιετείχιζεν αὐτόν. ὁ δὲ πέντε καὶ τετταράκοντα πολιορκηθεὶς ἡμέρας, ἔλαθεν ἀποδρὰς μετὰ τῆς ἐῤῥωμενεςάτης δυνάμεως, κτείνας τὰς ἀχρήςυς καὶ νοσῦντας. εἶτα μέντοι περὶ τὸν Εὐφράτην καταλαβὼν αὐτὸν ὁ Πομπήϊος παρεςρατοπέδευσε· καὶ δεδιὼς, μὴ φθάσῃ περάσας τὸν Εὐφράτην, ἐκ μέσων νυκτῶν ἐπῆγεν ὡπλισμένην τὴν ςρατιάν [2]· καθ' ὃν χρόνον λέγεται τὸν Μιθριδάτην ὄψιν ἐν ὕπνοις ἰδεῖν [3] τὰ μέλλοντα προδηλῦσαν. ἐδόκει γὰρ ὐρίῳ πνεύματι πλέων το Ποντικὸν πέλαγος, ἤδη Βόσπορον καθορᾷν, καὶ φιλοφρονεῖσθαι τὰς συμπλέοντας, ὡς ἄν τις ἐπὶ σωτηρίᾳ σαφεῖ καὶ βεβαίῳ χαίρων· ἄφνω δ' ἀναφανῆναι πάντων ἔρημος, ἐπὶ λεπτῦ ναυαγίυ διαφερόμενος. ἐν τοιύτοις δ' αὐτὸν ὄντα πάθεσι καὶ φάσμασιν ἐπιςάντες ἀνέςησαν οἱ φίλοι, φράζοντες ἐπιέναι [4] Πομπήϊον. ἦν ῦν ἐξ ἀνάγκης μαχητέον ὑπὲρ [5] τῦ χάρακος, καὶ προαγαγόντες οἱ ςρατηγοὶ τὴν δύναμιν ἔταξαν. αἰσθόμενος δὲ τὴν παρασκευὴν αὐτῶν ὁ Πομπήϊος, ὤκνει κατὰ σκότος εἰς κίνδυνον ἐλθεῖν, καὶ κύκλῳ μόνον ᾤετο δεῖν περιελαύνειν, ὅπως μὴ φεύγοιεν, ἡμέρας δὲ, κρείττυς ὄντας, ἐπιχειρεῖν. οἱ δὲ πρεσβύτατοι τῶν ταξιαρχῶν δεόμενοι καὶ

1 R. mavult παραςρατοπεδεύσας.

2 SG. ςρατείαν. Sic & Junt. Ald. Crat.

3 V. ὁρᾷν.

4 Sic H. Steph. fcribendum cenfuit, deditque R. pro vulg. ἐπεῖναι.

5 R. monet, fe reftituiffe hanc praepof. e Junt. & Ald. In omnibus legitur edd. Sola Bry. habet περὶ.

καὶ παρακολουθοῦντες [1] ἐξώρμησαν αὐτόν. οὐδὲ γὰρ σκότος ἦν παντάπασιν, ἀλλ' ἡ σελήνη καταφερομένη παρεῖχεν ἔτι τῶν σωμάτων ἱκανὴν ἔποψιν. καὶ τοῦτο μάλιστα τοὺς βασιλικοὺς ἔσφηλεν. ἐπῄεσαν μὲν γὰρ οἱ Ῥωμαῖοι κατὰ νώτου τὴν σελήνην ἔχοντες. πεπιεσμένου [2] δὲ περὶ τὰς δύσεις τοῦ φωτὸς, αἱ σκιαὶ πολὺ τῶν σωμάτων ἔμπροσθεν προϊοῦσαι [3], τοῖς πολεμίοις ἐπέβαλλον οὐ δυναμένοις τὸ διάστημα συνιδεῖν ἀκριβῶς· ἀλλ', ὡς ἐν χερσὶν ἤδη γεγονότων, τοὺς ὑσσοὺς ἀφέντες μάτην, οὐδενὸς ἐφίκοντο. τοῦτο συνιδόντες οἱ Ῥωμαῖοι, μετὰ κραυγῆς ἐπέδραμον, καὶ μηκέτι μένειν τολμῶντας, ἀλλ' ἐκπεπληγμένους καὶ φεύγοντας ἔκτεινον, ὥστε πολὺ πλείονας μυρίων ἀποθανεῖν, ἁλῶναι δὲ τὸ στρατόπεδον. αὐτὸς δὲ Μιθριδάτης ἐν ἀρχῇ μὲν ὀκτακοσίοις ἱππεῦσι διέκοψε καὶ διεξήλασε τοὺς Ῥωμαίους· ταχὺ δὲ τῶν ἄλλων σκεδασθέντων, ἀπελείφθη μετὰ τριῶν. ἐν οἷς ἦν Ὑψικρατία παλλακὶς, ἀεὶ μὲν ἀνδρώδης τις οὖσα καὶ παράτολμος· Ὑψικράτην γοῦν αὐτὴν ὁ βασιλεὺς ἐκάλει· τότε δ' ἀνδρὸς ἔχουσα Πέρσου στολὴν καὶ ἵππον, οὔτε τῷ σώματι πρὸς τὰ μήκη τῶν δρόμων ἀπηγόρευσεν, οὔτε θεραπεύουσα τὸ σῶμα τοῦ βασιλέως [4] καὶ τὸν ἵππον ἐξέκαμεν, ἄχρις ἧκον εἰς χωρίον Ἰνόρα [5] χρη-

M 2 μάτων

1 Dacer. cum SG. legi vult παρακαλοῦντες. R. defendit vulgatam, quae eos designet, qui, quem primis exorare precibus non valuerunt, eum prosequuntur, fatigant rogantes, neque prius missum faciunt, quam invito extorserint rogata.

2 R. hanc vocem se non intelligere fatetur. Quaerit, num πεπλαγιασμ. cum lunae ad occasum vergentis lumen non angulo recto, sed admodum obliquo, vel obtuso, in terram incideret, eoque facto umbrae corporum hoc fierent productiores?

3 V. προσπεριοῦσαι.

4 SG. hoc ordine; τοῦ βασιλέως τὸ σῶμα. Paulo post ἄχρι cum Junt.

5 Monente apud Dacer. Lubino, legendum est Σινορία, cujus

μάτων καὶ κειμηλίων βασιλικῶν μεςόν. ἐξ ὧ λαβὼν ὁ Μιθριδάτης ἐσθῆτας πολυτελεῖς, διένειμε τοῖς συνδεδραμηκόσι πρὸς αὐτὸν ἐκ τῆς φυγῆς. ἔδωκε δὲ καὶ τῶν φίλων ἑκάςῳ φορεῖν θανάσιμον φάρμακον, ὅπως ἄκων μηδεὶς ὑποχείριος γένοιτο τοῖς πολεμίοις. ἐντεῦθεν ὥρμητο μὲν ἐπ' Ἀρμενίας πρὸς Τιγράνην. ἐκείνε δ' ἀπαγορεύοντος, καὶ τάλαντα ἑκατὸν ἐπικηρύξαντος αὐτῷ, παραμειψάμενος τὰς πηγὰς τῆ Εὐφράτε, διὰ τῆς Κολχίδος ἔφευγε.

XXXIII. Πομπήϊος δ' εἰς Ἀρμενίαν ἐνέβαλε, τῆ νέε Τιγράνε καλῆντος αὐτόν· ἤδη γὰρ ἀφειςήκει τῆ πατρὸς, καὶ συνήντησε τῷ Πομπηΐῳ περὶ τὸν Ἄραξιν [1] ποταμὸν, ὃς ἀνίσχει μὲν ἐκ τῶν αὐτῶν τῷ Εὐφράτῃ τόπων, ἀποτρεπόμενος δὲ πρὸς τὰς ἀνατολὰς, εἰς τὸ Κάσπιον [2] ἐμβάλλει πέλαγος. ἦτοι μὲν ἦν προῆγον ἅμα τὰς πόλεις παραλαμβάνοντες· ὁ δὲ βασιλεὺς Τιγράνης ἔναγχος μὲν ὑπὸ Λευκόλλε συντετριμμένος, ἥμερον δέ τινα τῷ τρόπῳ καὶ πρᾶον εἶναι πυθόμενος [3] τὸν Πομπήϊον, ἐδέξατο μὲν εἰς τὰ βασίλεια φρεράν [4], ἀναλαβὼν δὲ τὲς φίλες καὶ συγγενεῖς, αὐτὸς [5] ἐπορεύετο παραδώσων ἑαυτόν. ὡς δ' ἦλθεν ἱππότης ἐπὶ τὸν χάρακα, ῥαβδῆχοι δύο τῆ Πομπηΐε προσελθόντες ἐκέλευσαν ἀποβῆναι τῆ ἵππε, καὶ πεζὸν ἐλθεῖν· ἐδένα γὰρ ἀνθρώπων ἐφ' ἵππε καθεζόμενον ἐν Ῥωμαϊκῷ ςρατοπέδῳ πώποτ' ὀφθῆναι. καὶ ταῦτα μὲν ἦν Τιγράνης [6] ἐπεί-

jus castelli inter alia, in quibus Mithridates gazam habebat reconditam, meminit Strabo. E V. enotatum est ὁ ἑώρα.

1 Junt. Ald. Crat. SG. Ἀράξην; Steph. & Frft. Ἀράξιν, quod, me judice, mendose datum fuit pro Ἀράξην. Br. quam R. sequitur, Ἄραξιν.

2 SG. Κάππιον.

3 SG. invertit πυθόμενος εἶναι.

4 Praesidium Romanum, a Pompejo impositum. R.

5 Vulgo post h. v. datur δὲ, quod Mos. Duf. post ἀναλαβὼν ponendum censuit, & R. posuit.

6 SG. καὶ ταῦτα ἦν ὁ Τιγρ.

ἐπείθετο, καὶ τὸ ξίφος αὐτοῖς ἀπολυσάμενος [1] παρεδίδου· καὶ τέλος, ὡς πρὸς αὐτὸν ἦλθε τὸν Πομπήϊον, ἀφελόμενος τὴν κίταριν, ὥρμησε πρὸ τῶν ποδῶν θεῖναι, καὶ καταβαλὼν ἑαυτὸν, αἴσχιστα δὴ πάντων, προσπεσεῖν αὐτοῦ τοῖς γόνασιν. ἀλλ' ὁ Πομπήϊος ἔφθη, τῆς δεξιᾶς αὐτοῦ λαβόμενος, προσαγαγέσθαι, καὶ πλησίον ἱδρύσασθαι [2] ἑαυτοῦ; τὸν δ' υἱὸν ἐπὶ θάτερα. τῶν μὲν ἄλλων ἔφησε δεῖν αἰτιᾶσθαι Λεύκουλλον, ὑπ' ἐκείνου γὰρ ἀφηρῆσθαι [3] Συρίαν, Φοινίκην, Κιλικίαν, Γαλατίαν, Σοφήνην· ἃ δ' ἄχρις ἑαυτοῦ [4] διατετήρηκεν, ἕξειν, ἐκτίσαντα ποινὴν ἑξακισχίλια τάλαντα Ῥωμαίοις τῆς ἀδικίας· Σοφήνης δὲ βασιλεύσειν [5] τὸν υἱόν. ἐπὶ τούτοις ὁ μὲν Τιγράνης ἠγάπησε, καὶ τῶν Ῥωμαίων ἀσπασαμένων αὐτὸν βασιλέα, περιχαρὴς γενόμενος, ἐπηγγείλατο στρατιώτῃ μὲν ἡμίμναιον [6] ἀργυρίου δώσειν, ἑκατοντάρχῃ δὲ μνᾶς δέκα, χιλιάρχῳ δὲ τάλαντον. ὁ δ' υἱὸς ἐδυσφόρει, καὶ κληθεὶς ἐπὶ δεῖπνον, οὐκ ἔφη Πομπηΐου δεῖσθαι τοιαῦτα τιμῶντος· καὶ γὰρ αὐτὸς ἄλλον εὑρήσειν Ῥωμαίων. ἐκ τούτου δεθεὶς εἰς τὸν [7] θρίαμβον ἐφυλάττετο. καὶ μετ' οὐ πολὺν χρόνον ἔπεμψε Φραάτης ὁ Πάρθος, ἀπαιτῶν μὲν τὸν νεανίσκον, ὡς αὐτοῦ γαμβρόν· ἀξιῶν δὲ τῶν ἡγεμονιῶν ὅρῳ χρῆσθαι τῷ Εὐ-



1 Sic R. dedit de suo pro vulg. ἀποδυσάμενος. Eadem significatione hujus verbi utitur Plut. in Camil. cf. T. I. pag. 355. ἀπολυσάμενος τὴν μάχαιραν.

2 R. mavult partic. ἱδρυσάμενος.

3 Sic R. correxisse videtur, quod in Junt. & Br. datur ἀφήρησθαι; in Ald. Crat. Steph. Frft. ἀφήρησθε; in Anon. ἀφηρῆσθε.

4 Mos. Dus. mavult ἄχρι τούτου. R. vulgatam tuetur — usque ad eum temporis articulum, quo ipse, Pompejus, illuc locorum in Armeniam & orientem interiorem venisset.

5 Sic cum Anon. & Mur. dandum censuit Mos. Dus. deditque R. pro vulg. βασιλεύειν.

6 SG. ἡμίμνεον.

7 Ita se restituisse e Junt. & Ald. monet R. pro vulg. τά. Sic sola in Bry. vitiose extat; in omnibus reliquis τόν.

Φράτῃ. Πομπήϊος δ' ἀπεκρίνατο, τὸν μὲν Τιγράνην τῷ πατρὶ μᾶλλον, ἢ τῷ πενθερῷ, προσήκειν· ὅρῳ δὲ χρήσεσθαι τῷ δικαίῳ.

XXXIV. Καταλιπὼν δὲ Φρȣρὸν [1] Ἀρμενίας Ἀφράνιον, αὐτὸς ἐβάδιζε διὰ τῶν περιοικȣ́ντων τὸν Καύκασον ἐθνῶν ἀναγκαίως ἐπὶ Μιθριδάτην. μέγιςα δ' αὐτῶν ἐςιν ἔθνη, Ἀλβανοὶ καὶ Ἴβηρες· Ἴβηρες μὲν, ἐπὶ τὰ Μοσχικὰ [2] ὄρη καὶ τὸν [3] Πόντον καθήκοντες, Ἀλβανοὶ δ' ἐπὶ τὴν ἕω καὶ τὴν Κασπίαν κεκλιμένοι θάλασσαν. ȣ̃τοι πρῶτον μὲν αἰτȣ̃ντι Πομπηΐῳ δίοδον ἔδοσαν· χειμῶνος δὲ τὴν ςρατιὰν [4] ἐν τῇ χώρᾳ καταλαβόντος, καὶ τῆς Κρονικῆς ἑορτῆς τοῖς Ῥωμαίοις καθηκȣ́σης, γενόμενοι τετρακισμυρίων [5] ȣ̓κ ἐλάττȣς, ἐπεχείρησαν αὐτοῖς διαβάντες τὸν Κύρνον [6] ποταμὸν, ὃς ἐκ τῶν Ἰβηρικῶν ὀρῶν ἀνιςάμενος καὶ δεχόμενος κατιόντα τὸν Ἄραξιν [7] ἀπ' Ἀρμενίας, ἐξίησι δώδεκα ςόμασιν εἰς τὸ Κάσπιον. οἱ δ' ȣ̓ φασὶ τȣ́τῳ συμφέρεσθαι τὸν Ἄραξιν, ἀλλὰ καθ' ἑαυτὸν, ἐγγὺς δὲ, ποιεῖσθαι τὴν ἐκβολὴν [8] εἰς ταὐτὸ πέλαγος. Πομπήϊος δὲ, καίπερ ἐνςῆναι δυνάμενος πρὸς τὴν διάβασιν τοῖς πολεμίοις, περιεῖδε διαβάντας καθ' ἡσυχίαν· εἶτ' ἐπαγαγὼν ἐτρέψατο, καὶ διέφθειρε παμπληθεῖς. τῷ δὲ βασιλεῖ δεηθέντι καὶ πέμψαντι πρέσβεις ἀφεὶς τὴν ἀδικίαν, καὶ σπεισάμενος, ἐπὶ τȣ̀ς Ἴβηρας ἐβά-

1 Junt. sola Φρȣ́ριον.
2 V. μαχικά.
3 Hunc artic. quem SG. quoque exhibet, se addidisse monet R. e Junt. & Ald. adnotans, a vulgatis eum abesse. Sola autem ex Bryanea exciderat. Omnes reliquae eum dant.
4 Sic Br. scribi voluit, deditque R. pro vulg. ςρατείαν.
5 Teste H. Steph. est in quibusdam τετρακισχιλίων. Sic V.
6 Ptolemaeus & Strabo Κύρον vocant.
7 Junt. h. l. & paulo post Ἀράξαν. Anon. Mur. SG. Ἀράξην, quod Mos. Dus. probavit. Lin. seq. SG. Κάππιον pro Κάσπιον.
8 V. μεταβολήν.

ἐβάδισε [1], πλήθει μὲν ἐκ ἐλάττονας, μαχιμωτέρους δὲ τῶν ἑτέρων ὄντας, ἰσχυρῶς δὲ βουλομένους τῷ Μιθριδάτῃ χαρίζεσθαι, καὶ διωθεῖσθαι τὸν Πομπήϊον. οὔτε γὰρ Μήδοις, οὔτε Πέρσαις ὑπήκουσαν Ἴβηρες· διέφυγον δὲ καὶ τὴν Μακεδόνων ἀρχὴν, Ἀλεξάνδρου διὰ ταχέων ἐκ τῆς Ὑρκανίας ἀπάραντος. οὐ μὴν ἀλλὰ καὶ τούτους μάχῃ μεγάλῃ τρεψάμενος ὁ Πομπήϊος, ὥστ' ἀποθανεῖν μὲν ἐνακισχιλίους [2], ἁλῶναι δὲ πλείους μυρίων, εἰς τὴν Κολχικὴν ἐνέβαλε· καὶ πρὸς τὸν Φᾶσιν αὐτῷ Σερουΐλιος ἀπήντησε, τὰς ναῦς ἔχων, αἷς ἐφρούρει τὸν Πόντον.

XXXV. Ἡ μὲν οὖν Μιθριδάτου δίωξις ἐνδεδυκότος εἰς τὰ περὶ Βόσπορον ἔθνη καὶ τὴν Μαιῶτιν, ἀπορίας εἶχε μεγάλας· Ἀλβανοὶ δ' αὖθις ἀφεστῶτες αὐτῷ προσηγγέλθησαν. πρὸς οὓς ὑπ' ὀργῆς καὶ φιλονεικίας ἐπιστρέψας, τόν τε Κύρνον μόλις καὶ παραβόλως πάλιν διεπέρασεν, ἐπὶ πολὺ σταυροῖς ὑπὸ τῶν βαρβάρων ἀποκεχαρακωμένον· καὶ μακρᾶς αὐτὸν ἐκδεχομένης ἀνύδρου καὶ ἀργαλέας ὁδοῦ, μυρίους ἀσκοὺς ὕδατος ἐμπλησάμενος, ἤλαυνεν ἐπὶ τοὺς πολεμίους, καὶ [3] κατέλαβε πρὸς Ἄβαντι ποταμῷ παρατεταγμένους, ἑξακισμυρίους πεζοὺς, καὶ δισχιλίους ἱππεῖς ἐπὶ μυρίοις, ὡπλισμένους δὲ φαύλως καὶ δέρμασι θηρίων τοὺς πολλούς. ἡγεῖτο δ' αὐτῶν βασιλέως ἀδελφὸς, ὄνομα Κῶσις. οὗτος, ἐν χερσὶ τῆς μάχης γενομένης, ἐπὶ τὸν Πομπήϊον ὁρμήσας, αὐτὸν ἔβαλλεν [4] ἐπὶ τὴν τοῦ θώρακος ἐπιπτυχὴν ἀκοντίσματι, Πομπήϊος δ' ἐκεῖνον ἐκ χειρὸς διελάσας ἀνεῖλεν. ἐν ταύτῃ τῇ μάχῃ λέγονται καὶ Ἀμαζόνες συναγωνίσασθαι τοῖς βαρβάροις, ἀπὸ τῶν περὶ τὸν Θερμώδοντα ποταμὸν ὀρῶν καταβᾶσαι. μετὰ γὰρ τὴν μάχην σκυλεύοντες οἱ Ῥωμαῖοι

M 4

1 Notante R. in Junt. Ald. SG. ἐβάδιζε. At sic quoque in reliquis legitur edit. Sola Br. ἐβάδισε.

2 SG. ἐννακισχιλίους.

3 abest haec partic. copul. a Junt.

4 V. ἔβαλεν. Cat. Frst.

μαῖοι τὰς βαρβάρους, πέλταις Ἀμαζονικαῖς καὶ κοθόρνοις ἐνετύγχανον, σῶμα δ' οὐδὲν ὤφθη γυναικεῖον. νέμονται δὲ τοῦ Καυκάσου τὰ καθήκοντα πρὸς τὴν Ὑρκανίαν θάλασσαν, οὐχ ὁμοροῦσαι τοῖς Ἀλβανοῖς, ἀλλὰ Γέλαι καὶ Λῆγες [1] οἰκοῦσι διὰ μέσου· καὶ τούτοις ἔτους ἑκάστου δύο μῆνας εἰς ταὐτὸ φοιτῶσαι περὶ τὸν Θερμώδοντα ποταμὸν ὁμιλοῦσιν, εἶτα καθ' αὑτὰς ἀπαλλαγεῖσαι βιοτεύουσιν.

XXXVI. Ὁρμήσας δὲ μετὰ τὴν μάχην ὁ Πομπήϊος ἐλαύνειν ἐπὶ τὴν Ὑρκανίαν καὶ Κασπίαν θάλασσαν, ὑπὸ πλήθους ἑρπετῶν θανασίμων ἀπετράπη [2], τριῶν ὁδὸν ἡμερῶν ἀποσχών. εἰς δὲ τὴν μικρὰν Ἀρμενίαν ἀνεχώρησε, καὶ τῷ μὲν Ἐλυμαίων καὶ Μήδων βασιλεῖ πέμψασι πρέσβεις ἀντέγραψε φιλικῶς· τὸν δὲ Πάρθον, εἰς τὴν Γορδυηνὴν ἐμβεβληκότα καὶ περικόπτοντα τοὺς ὑπὸ Τιγράνῃ, πέμψας μετ' Ἀφρανίου δύναμιν, ἐξήλασε διωχθέντα μέχρι τῆς Ἀρβηλίτιδος [3]. ὅσαι δὲ τῶν Μιθριδάτου παλλακίδων ἀνήχθησαν, οὐδεμίαν ἔγνω, πάσας δὲ τοῖς γονεῦσι καὶ οἰκείοις ἀνέπεμπεν. ἦσαν γὰρ αἱ πολλαὶ, θυγατέρες καὶ γυναῖκες στρατηγῶν καὶ δυναστῶν. Στρατονίκη δ', ἣ μέγιστον εἶχεν ἀξίωμα, καὶ τὸ πολυχρυσότατον τῶν φρουρίων ἐφύλαττεν, ἦν μὲν, ὡς ἔοικε, ψάλτου τινὸς, οὐκ εὐτυχοῦς [4] τἆλλα, πρεσβύτου δὲ θυγάτηρ. οὕτω δ' εὐθὺς εἷλε παρὰ πότον [5] ψήλασα τὸν Μιθρι-

1 Plutarchum haec ex historia Theophanis hausisse videri, qui Pompejo in ea expeditione comitem se praebuerat, monet Dacer. Apud Strabon. Γῆλαι pro Γέλαι.

2 Sola Junt. ἐπετράπη.

3 Sic Br. scribi voluit, deditque R. pro vulg. Ἀρβιηλίτιδος. SG. Ἀρβίτιδος.

4 Mos. Dus. susp. ἀτυχοῦς. R. tuetur vulgatam — ob fortunarum mediocritatem contemnendi, veruntamen ob senium quodammodo venerandi.

5 Sic cum V. Anon. SG. legi voluit Mos. Dus. deditque R. pro vulg. περὶ πότον. Mur. παρὰ τόπον.

Μιθριδάτην, ὡς' ἐκείνην μὲν ἔχων ἀνεπαυετο, τὸν δὲ πρεσβύτην ἀπέπεμψε δυσφοροῦντα τῷ μηδὲ προσρήσεως τυχεῖν ἐπιεικοῦς. ὡς μέντοι περὶ ὄρθρον ἐγερθεὶς εἶδεν ἔνδον ἐκπωμάτων μὲν ἀργυρῶν καὶ χρυσῶν [1] τραπέζας, ὄχλον δὲ θεραπείας πολὺν, εὐνούχους δὲ καὶ παῖδας ἱμάτια τῶν πολυτελῶν προσφέροντας αὐτῷ, καὶ πρὸ τῆς θύρας ἵππον ἑστῶτα κεκοσμημένον, ὥσπερ οἱ τῶν φίλων [2] τοῦ βασιλέως, χλευασμὸν εἶναι τὸ χρῆμα καὶ παιδιὰν ἡγούμενος, ὥρμησε φεύγειν διὰ θυρῶν. τῶν δὲ θεραπόντων ἀντιλαμβανομένων, καὶ λεγόντων, ὅτι πλουσίου τεθνηκότος ἔναγχος οἶκον αὐτῷ μέγαν ὁ βασιλεὺς δεδώρηται, καὶ ταῦτα μικραί τινες ἀπαρχαὶ καὶ δείγματα τῶν ἄλλων χρημάτων καὶ κτημάτων εἰσίν· οὕτω πιστεύσας μόλις, καὶ τὴν πορφύραν ἀναλαβὼν, καὶ ἀναπηδήσας ἐπὶ τὸν ἵππον, ἤλαυνε διὰ τῆς πόλεως, βοῶν· Ἐμὰ ταῦτα πάντα ἐστί. πρὸς δὲ τοὺς καταγελῶντας, οὐ τοῦτ' ἔλεγεν εἶναι θαυμαστὸν, ἀλλ' ὅτι μὴ λίθοις βάλλῃ [3] τοὺς ἀπαντῶντας, ὑφ' ἡδονῆς μαινόμενος. ταύτης μὲν [4] ἦν καὶ γενεᾶς καὶ αἵματος ἡ Στρατονίκη. τῷ δὲ Πομπηΐῳ καὶ τὸ χωρίον [5] παρεδίδου τοῦτο, καὶ δῶρα πολλὰ προσήνεγκεν· ὧν ἐκεῖνος ὅσα κόσμον ἱεροῖς καὶ λαμπρότητα τῷ θριάμβῳ παρέξειν ἐφαίνετο, λαβὼν μόνα, τὰ λοιπὰ τὴν Στρατονίκην ἐκέλευε κεκτῆσθαι χαίρουσαν. ὁμοίως δὲ καὶ τοῦ βασιλέως τῶν Ἰβήρων κλίνην



1 R. bene monet, post h. v. videri deesse μεστάς.

2 R. susp. ὡς πρὸ τῶν φ. i. e. ὡς πρὸ τῶν θυρῶν τῶν φ. quemadmodum stare solerent ejusmodi equi ornati ante fores amicorum regis.

3 Junt. sola βάλῃ.

4 Post μὲν R. videtur οὖν deesse. Idem dubitat, num ταύτης recte habeat, an τοιαύτης leg. sit? Palmer. adnotat, Plutarchum infra Monimes tanquam alterius pellicis Mithridatis mentionem facere; Appianum autem unam eandemque facere, cum Μονίμην Στρατονικίδα vocet.

5 Anon. & Mur. φρούριον; quod probat Mos. Duf.

τε καὶ τράπεζαν καὶ θρόνον, ἅπαντα χρυσᾶ [1], πέμψαντος αὐτῷ καὶ δεηθέντος λαβεῖν, καὶ ταῦτα τοῖς ταμίαις παρέδωκεν εἰς τὸ δημόσιον.

XXXVII. Ἐν δὲ τῷ Καινῷ Φρουρίῳ καὶ γράμμασιν ἀποῤῥήτοις ὁ Πομπήϊος ἐνέτυχε τοῦ Μιθριδάτου, καὶ διῆλθεν οὐκ ἀηδῶς αὐτὰ πολλὴν ἔχοντα τοῦ ἤθους κατανόησιν. ὑπομνήματα γὰρ ἦν ἐξ ὧν ἐφωράθη φαρμάκοις ἄλλους τε πολλοὺς καὶ τὸν υἱὸν Ἀριαράθην ἀνῃρηκὼς, καὶ τὸν Σαρδιανὸν Ἀλκαῖον, ὅτι παρευδοκίμησεν αὐτὸν ἵππους ἀγωνιστὰς ἐλαύνων. ἦσαν δ' ἀναγεγραμμέναι κρίσεις ἐνυπνίων, ὧν τὰ μὲν αὐτὸς ἑωράκει, τὰ δ' ἔνιαι τῶν γυναικῶν. ἐπιστολαί τε Μονίμης [2] πρὸς αὐτὸν ἀκόλαστοι, καὶ πάλιν ἐκείνου πρὸς αὐτήν. Θεοφάνης δὲ καὶ Ῥουτιλίου λόγον εὑρεθῆναι φησὶ παροξυντικὸν ἐπὶ τὴν ἀναίρεσιν τῶν ἐν Ἀσίᾳ Ῥωμαίων. ὃ καλῶς εἰκάζουσιν οἱ πλεῖστοι κακοήθευμα τοῦ Θεοφάνους εἶναι· τάχα μὲν οὐδὲν αὐτῷ τὸν Ῥουτίλιον ἐοικότα μισοῦντος [3], εἰκὸς δὲ καὶ διὰ Πομπήϊον, οὗ τὸν πατέρα παμπόνηρον ἀπέδειξεν ὁ Ῥουτίλιος ἐν ταῖς ἱστορίαις.

XXXVIII. Ἐντεῦθεν εἰς Ἄμισον ἐλθὼν ὁ Πομπήϊος, πάθος νεμεσητὸν ὑπὸ φιλοτιμίας ἔπαθε. πολλὰ γὰρ τὸν Λεύκουλλον ἐπικερτομήσας, ὅτι, τοῦ πολεμίου ζῶντος [4], ἔγραφε διατάξεις, καὶ δωρεὰς ἔνεμε καὶ τιμὰς,

1 V. χρυσῷ.

2 SG. Μονίκης.

3 V. μισοῦντες. Κακοήθευμα, quod paulo ante legitur, Xyl. monente, est malignum mendacium, non astus, uti Tudert. verterat. R. ad eundem locum adnotat, se nescire, an dictio haec etiam sic reddi possit: propterea quod ipse *Theophanem* privato prosequeretur odio, ut hominem nullo pacto sibi arridentem. Obscure sunt haec dicta, nisi *Theophanem* vitiose pro *Rutilio* positum censeas.

4 Mos. Dus. susp. πολέμου ζῶντος. R. vulgatam bene habere monet, cum διατάξεις hic loci idem valeat, atque διαθήκας — quod Lucullus, quanquam vivo adhuc & superstite Mithri-

τιμᾶς, ὃ [1] συνῃρημένε πολέμε καὶ πέρας ἔχοντος, εἰώθασι ποιεῖν οἱ νενικηκότες, αὐτὸς ἐν Βοσπόρῳ Μιθριδάτε κρατεντος καὶ συνειληχότος ἀξιόμαχον δύναμιν, ὡς δὴ συντετελεσμένων ἁπάντων, ἔπραττε ταῦτα [2], διακοσμῶν τὰς ἐπαρχίας, καὶ διανέμων δωρεὰς, πολλῶν μὲν ἡγεμόνων καὶ δυναςῶν [3], βασιλέων δὲ δώδεκα βαρβάρων ἀφιγμένων πρὸς αὐτόν. ὅθεν ἐδ' ἠξίωσε τὸν Πάρθον, ἀντιγράφων, ὥσπερ οἱ λοιποὶ, βασιλέα βασιλέων προσαγορεῦσαι, τοῖς ἄλλοις χαριζόμενος. αὐτὸν δέ τις ἔρως καὶ ζῆλος εἶχε Συρίαν ἀναλαβεῖν, καὶ διὰ τῆς Ἀραβίας ἐπὶ τὴν ἐρυθρὰν ἐλάσαι θάλασσαν, ὡς τῷ περιϊόντι [4] τὴν οἰκεμένην πανταχόθεν Ὠκεανῷ προσμίξειε νικῶν. καὶ γὰρ ἐν Λιβύῃ πρῶτος ἄχρι τῆς ἐκτὸς θαλάσσης κρατῶν προῆλθε, καὶ τὴν ἐν Ἰβηρίᾳ πάλιν ἀρχὴν ὡρίσατο Ῥωμαίοις τῷ Ἀτλαντικῷ πελάγει, καὶ τρίτον ἔναγχος Ἀλβανὲς διώκων, ὀλίγον ἐδέησεν ἐμβαλεῖν εἰς τὴν Ὑρκανίαν θάλασσαν. ὡς ἐν συνάψων τῇ ἐρυθρᾷ τὴν περίοδον τῆς ςρατείας, ἀνίςατο. καὶ γὰρ ἄλλως τὸν Μιθριδάτην ἑώρα δυσθήρατον ὄντα τοῖς ὅπλοις, καὶ φεύγοντα χαλεπώτερον, ἢ μαχόμενον.

XXXIX.

thridate, tamen teſtamentum ejus a ſe conſcriptum evulgaſſet. Meo quidem ſenſu prior conjectura anteferenda videtur ſubtiliori huic explicationi, cum mox de *bello* confecto, non de duce, ſit ſermo. Malim τε πολέμε ἔτι ὄντος (aut ἔτι ζέοντος, ſi in hoc verbo perſiſtere placet,) haud negans, vulgatam minus alienam fore, ſi eam ſic ſtruas, ὅτι, ὡς τε πολεμίε ἐκέτι ζῶντος — *quaſi hoſte non amplius vivo, adeoque bello jam confecto*, uti infra ὡς δὴ συντετ. ἀπ.

1 Dari ſic voluit Moſ. Duſ. ut elegantius, & dedit R. pro vulg. ἃς. Subintell. vel addend. eſt καὶ ἄλλα τοιαῦτα ἐποίησεν, ἃ. SG. in ſeq. συνανῃρημένε pro συνῃρ.

2 Sic Moſ. Duſ. dari voluit, & dedit R. Vulgo ταῦτα. V. πάντα.

3 Sic Br. leg. cenſuit, & dedit R. pro vulg. δυνατῶν.

4 SG. περιόντι. Sequens πανταχόθεν Br. omiſit, R. reſtituit.

XXXIX. Διὸ τούτῳ [1] μὲν εἰπὼν ἰσχυρότερον ἑαυτοῦ πολέμιον τὸν λιμὸν ἀπολείψειν, ἐπέστησε φύλακας [2] τῶν νεῶν ἐπὶ τοὺς πλέοντας εἰς Βόσπορον ἐμπόρους· καὶ θάνατος ἦν ἡ ζημία τοῖς ἁλισκομένοις. ἀναλαβὼν δὲ τῆς στρατιᾶς [3] τὴν πληθὺν, συχνὴν προῆγε, καὶ τῶν μετὰ Τριαρίου πρὸς Μιθριδάτην ἀτυχῶς ἀγωνισαμένων καὶ πεσόντων, ἐντυχὼν ἀτάφοις ἔτι τοῖς νεκροῖς, ἔθαψε λαμπρῶς καὶ φιλοτίμως ἅπαντας. ὃ δοκεῖ παραλειφθὲν, οὐχ ἥκιστα Λευκόλλῳ μίσους αἴτιον γενέσθαι. χειρωσάμενος δὲ δι' Ἀφρανίου τοὺς περὶ Ἀμανὸν Ἄραβας, καὶ καταβὰς αὐτὸς εἰς Συρίαν, ταύτην μὲν, ὡς οὐκ ἔχουσαν γνησίους βασιλεῖς [4], ἐπαρχίαν ἀπέφηνε, καὶ κτῆμα τοῦ δήμου Ῥωμαίων· τὴν δ' Ἰουδαίαν κατεστρέψατο, καὶ συνέλαβεν Ἀριστόβουλον τὸν βασιλέα. πόλεις δὲ τὰς μὲν ἔκτιζε, τὰς δ' ἠλευθέρου, κολάζων τοὺς ἐν αὐταῖς [5] τυράννους. τὴν δὲ πλείστην διατριβὴν ἐν τῷ δικάζειν ἐποιεῖτο, πόλεων καὶ βασιλέων ἀμφισβητήματα διαιτῶν· ἐφ' ἃ δ' αὐτὸς οὐκ ἐξικνεῖτο, πέμπων τοὺς φίλους· ὥσπερ Ἀρμενίοις καὶ Πάρθοις, περὶ ἧς διεφέροντο χώρας τὴν κρίσιν ποιησαμένοις ἐπ' αὐτῷ, τρεῖς ἀπέστειλε κριτὰς καὶ διαλλακτάς. μέγα μὲν γὰρ ἦν ὄνομα τῆς δυνάμεως, οὐκ ἔλαττον δὲ τῆς ἀρετῆς καὶ πρᾳότητος· ᾧ καὶ τὰ πλεῖστα τῶν περὶ αὐτὸν ἁμαρτήματα φίλων καὶ συνή-

1 Mithridati puta. In hoc casu cum Anon. & Mur. tari voluit Mos. Dus. deditque R. pro vulg. τοῦτο. Haec quidem lectio ex Ald. est profecta. In Junt. bene legitur τούτῳ.

2 V. φυλακὰς, quod probatur Mosi Dus.

3 SG. στρατείας. Sic & Junt. Ald. Crat. Ad seq. συχνὴν R. subaudiendum monet ὁδὸν — *multum processit*, *vastum iter est exsecutus*. In Junt. Ald. Crat. συχνὴν cohaeret cum πληθὺν. Interpp. quoque latini utrumque junxerunt.

4 Alias rationes afferunt alii scriptores, inter quas hanc non comparere, adnotat Mos. Dus.

5 R. adnotat, deesse αὐταῖς Junt. & Ald. item SG. Non ita. Edd. istae cum Crat. & SG. habent ταύταις. Steph. dedit αὐταῖς.

συνήθων ἀπέκρυπτε, κωλύειν μὲν, ἢ κολάζειν τὰς πονηρευομένας ἀ πεφυκὼς, αὐτὸν δὲ παρέχων τοῖς ἐντυγχάνασι τοιᾶτον, ὥςε καὶ τὰς ἐκείνων πλεονεξίας καὶ βαρύτητας εὐκόλως ὑπομένειν.

XL. Ὁ δὲ μέγιςον δυνάμενος παρ' αὐτῷ, Δημήτριος ἦν ἀπελεύθερος, ἐκ ἄφρων εἰς τἄλλα νεανίας, ἄγαν δὲ τύχῃ [1] χρώμενος. περὶ ἃ καὶ τοιόνδε τι λέγεται· Κάτων ὁ Φιλόσοφος, ἔτι μὲν ὢν νέος, ἤδη δὲ μεγάλην ἔχων δόξαν καὶ μέγα φρονῶν, ἀνέβαινεν εἰς Ἀντιόχειαν, ἐκ ὄντος αὐτόθι Πομπηΐα, βαλόμενος ἱςορῆσαι τὴν πόλιν. αὐτὸς μὲν ἂν, ὥσπερ ἀεὶ, πεζὸς ἐβάδιζεν, οἱ δὲ φίλοι συνώδευον ἵπποις χρώμενοι. κατιδὼν δὲ πρὸ τῆς πύλης ὄχλον ἀνδρῶν ἐν ἐσθῆσι λευκαῖς, καὶ παρὰ τὴν ὁδὸν ἔνθεν μὲν ἐφήβας [2], ἔνθεν δὲ τὰς παῖδας διακεκριμένας, ἐδυσχέραινεν, οἰόμενος εἰς τιμήν τινα καὶ θεραπείαν ἑαυτᾶ μηδὲν δεομένα ταῦτα γενέσθαι [3]. τὰς μέντοι φίλας ἐκέλευσε καταβῆναι καὶ πορεύεσθαι μετ' αὐτᾶ· γενομένοις δὲ πλησίον ὁ πάντα διακοσμῶν ἐκεῖνα καὶ καθιςὰς, ἔχων ςέφανον καὶ ῥάβδον, ἀπήντησε πυνθανόμενος παρ' αὐτῶν, πᾶ Δημήτριον ἀπολελοίπασι, καὶ πότε ἀφίξεται. τὰς μὲν ἂν φίλας τᾶ Κάτωνος γέλως ἔλαβεν· ὁ δὲ Κάτων εἰπών· Ὦ τῆς ἀθλίας πόλεως· παρῆλθεν, ἀδὲν ἕτερον ἀποκρινάμενος. ἀ μὴν ἀλλὰ καὶ τοῖς ἄλλοις τᾶτον τὸν Δημήτριον ἧττον ἐπίφθονον ἐποίει αὐτὸς ὁ Πομπήϊος, ἐντρυφώμενος ὑπ' αὐτᾶ, καὶ μὴ δυσκολαίνων. λέγεται γὰρ, ὅτι πολλάκις ἐν ταῖς ὑποδοχαῖς τᾶ Πομπηΐα προσμένοντος καὶ δεχομένα τὰς ἄλλας, ἐκεῖνος ἤδη κατέκειτο σοβαρῶς [4] ἔχων

1 SG. τῇ τύχῃ. Pro χρώμ. R. susp. παραχρώμενος, abutens.

2 SG. τὰς ἐφήβας.

3 V. SG. γίνεσθαι.

4 SG. σοβαρὸς. Seqq. δι' ὤτων R. susp. in unum vocabulum δίωτον esse contrahenda — almuzium super capite gerens, dum-

ἔχων δι' ὤτων κατὰ τῆς κεφαλῆς τὸ ἱμάτιον. ὄπω δ' εἰς Ἰταλίαν ἐπανεληλυθὼς, ἐκέκτητο τῆς Ῥώμης τὰ ἥδιστα προάστεια, καὶ τῶν ἡβητηρίων [1] τὰ κάλλιστα· καὶ κῆποι πολυτελεῖς ἦσαν ὀνομαζόμενοι Δημητρίου· καίτοι Πομπήϊος αὐτὸς ἄχρι τοῦ τρίτου θριάμβου μετρίως καὶ ἀφελῶς ᾤκησεν. ὕστερον δὲ Ῥωμαίοις τοῦτο δὴ τὸ καλὸν καὶ περιβόητον ἀνιστὰς θέατρον, ὥσπερ ἐφόλκιόν τι, παρετεκτήνατο λαμπροτέραν οἰκίαν ἐκείνης [2], ἀνεπίφθονον δὲ καὶ ταύτην· ὥστε τὸν γενόμενον δεσπότην αὐτῆς μετὰ Πομπήϊον, εἰσελθόντα θαυμάζειν καὶ πυνθάνεσθαι, ποῦ Πομπήϊος Μάγνος ἐδείπνει. ταῦτα μὲν οὖν οὕτω λέγεται.

XLI. Τοῦ δὲ βασιλέως τῶν περὶ τὴν Πέτραν Ἀράβων πρότερον μὲν ἐν οὐδενὶ λόγῳ τὰ Ῥωμαίων τιθεμένου, τότε δὲ δείσαντος ἰσχυρῶς, καὶ γράψαντος, ὅτι πάντα πείθεσθαι καὶ ποιεῖν ἔγνωκεν, ἐκβεβαιώσασθαι βουλόμε-

*duabus auribus instructum*, h. e. duabus ansis, seu cujus gemini velut lobi super aures ad maxillas usque descenderent, eine Mütze mit zweeen Klappen, die ihm über beide Ohren tief heruntergiengen. Steph. adnotat, vel post, vel ante σοβαρῶς posse interpungi; unum Interpretum pro κατὰ κεφ. legisse videri καὶ κεφαλῆς — *aures & caput habentem toga obtecta* vertentem; ἱμάτιον denique h. l. non esse *togam*, sed capitis tegmen.

1 R. notante, Graeci appellant hoc nomine villas & alia aedificia, deliciis, hilaritatibus, compotationibus consecrata. Apud Hesych. ἡβητήρια, ἑστιατήρια, (al. susp. ἑστιατόρια, loca, in quibus convivia celebrantur. cf. Suid.) κατάλυσις. Per vocem κατάλυσις explicat Suid. ἡβήτριον, uti ἡβητήριον per παιδευτήριον. Sunt tamen, qui dubitant, annon quoque ἡβήτριον corrupte apud eum legatur pro ἡβητήριον. Suidae auctoritate ductus vertit Xyl. *Gymnasia*, licet ipse adnotat ex Athen. L. X. ἡβητήρια dici συμπόσια, & ex Eustath. in Il. XX. aliquando hoc vocabulo designari ἄσεμνον συναγωγὴν, *parum grave aut severum concilium*. Tudert. vertit *diversoria*.

2 i. e. τῆς παλαιᾶς vel τῆς προτέρας. R. — V. a Junt. ἐκείνοις.

λόμενος αὐτῦ τὴν διάνοιαν ὁ Πομπήϊος, ἐςράτευσεν ἐπὶ τὴν Πέτραν ἐ πάνυ τι τοῖς πολλοῖς ἄμεμπτον ςρατείαν. ἀπόδρασιν γὰρ ᾤοντο τῆς Μιθριδάτε διώξεως εἶναι, καὶ πρὸς ἐκεῖνον ἠξίεν [1] τρέπεσθαι τὸν ἀρχαῖον ἀνταγωνιςὴν, αὖθις ἀναζωπυρῦντα καὶ παρασκευαζόμενον, ὡς ἀπηγγέλλετο, διὰ Σκυθῶν καὶ Παιόνων [2] ςρατὸν ἐλαύνειν ἐπὶ τὴν Ἰταλίαν. ὁ δὲ ῥᾷον [3] οἰόμενος αὐτῦ καταλύσειν τὴν δύναμιν πολεμῦντος, ἢ τὸ σῶμα λήψεσθαι φεύγοντος, ἐκ ἐβέλετο τρίβεσθαι μάτην ἐπὶ τὴν δίωξιν. [4], ἑτέρας δὲ τῦ πολέμε παρενθήκας ἐποιεῖτο, καὶ τὸν χρόνον εἷλκεν. ἡ δὲ τύχη τὴν ἀπορίαν ἔλυσεν. ἐκέτι γὰρ αὐτῦ τῆς Πέτρας πολλὴν ὁδὸν ἀπέχοντος, ἤδη δὲ τῆς ἡμέρας ἐκείνης βεβλημένε χάρακα, καὶ γυμνάζοντος ἑαυτὸν ἵππῳ περὶ τὸ ςρατόπεδον, γραμματηφόροι προσήλαυνον ἐκ Πόντε κομίζοντες εὐαγγέλια. δῆλοι δ' εὐθὺς εἰσὶ [5] ταῖς αἰχμαῖς τῶν δοράτων· δάφναις γὰρ ἀναςέφονται. τέτες ἰδόντες οἱ ςρατιῶται συνετρόχαζον πρὸς τὸν Πομπήϊον. ὁ δὲ πρῶτον μὲν ἐβέλετο τὰ γυμνάσια συντελεῖν, βοώντων δὲ καὶ δεομένων, καταπηδήσας ἀπὸ τῦ ἵππε, καὶ λαβὼν τὰ γράμματα προῄει. βήματος δ' ἐκ ὄντος, ἐδὲ τῦ ςρατιωτικῦ γενέσθαι φθάσαντος, ὃ ποιῦσιν αὐτοὶ, τῆς γῆς ἐκτομὰς βαθείας λαμβάνοντες, καὶ κατ' ἀλλήλων [6] συντιθέν-

1 Junt. Ald. Crat. ἠξίε.

2 Mutandum recte censuisse Interpp. & Παννονίων legendum, adnotat Br.

3 Sic Mos. Dus. cum Anon. & Mur. legi voluit, deditque R. pro vulg. ῥᾴδιον.

4 R. susp. ἐπὶ τῇ διώξει, aut in ἐπὶ latere censet aliquod participium, ex. c. ἐπείγοντα.

5 scil. οἱ κομίζ. εὐαγγ. quicunque in castra veniunt, de rebus laetis & prospere gestis perferentes significationes, hi ipso statim habitu demonstrant, quid rerum secum afferant: Laureis enim redimitos praeferunt hastarum mucrones. R.

6 Sic scribi placuit Mosi Dus. & dedit R. cum SG. pro vulg. καταλλήλων.

τιθέντες· ὑπὸ τῆς τότε σπουδῆς καὶ προθυμίας τὰ σάγματα τῶν ὑποζυγίων συμφορήσαντες ἐς [1] ὕψος ἐξῆραν. ἐπὶ τοῦτο προβὰς ὁ Πομπήϊος, ἀπήγγειλεν αὐτοῖς, ὅτι Μιθριδάτης τέθνηκε, στασιάσαντος Φαρνάκου τοῦ υἱοῦ, διαχρησάμενος ἑαυτόν. τὰ δ' ἐκεῖ πάντα πράγματα Φαρνάκης κατεκληρώσατο, καὶ ἑαυτῷ καὶ Ῥωμαίοις γέγραφε ποιούμενος [2].

XLII. Ἐκ τούτου τὸ μὲν στράτευμα τῇ χαρᾷ χρώμενον [3], ὡς εἰκὸς, ἐν θυσίαις καὶ συνουσίαις διῆγεν, ὡς ἐν τῷ Μιθριδάτου σώματι μυρίων τεθνηκότων πολεμίων. Πομπήϊος δὲ ταῖς πράξεσιν αὐτοῦ [4] καὶ ταῖς στρατείαις κεφαλὴν [5] ἐπιτεθεικὼς οὐ πάνυ ῥᾳδίως οὕτω προσδοκηθεῖσαν, εὐθὺς ἀνέζευξεν ἐκ τῆς Ἀραβίας· καὶ ταχὺ τὰς ἐν μέσῳ διεξελθὼν ἐπαρχίας, εἰς Ἀμισὸν ἀφίκετο, καὶ κατέλαβε πολλὰ μὲν δῶρα παρὰ Φαρνάκου κεκοσμημένα [6], πολλὰ δὲ σώματα τῶν βασιλικῶν· αὐτὸν δὲ τὸν

1 Praepos. hanc addendam censuit Mos. Dus. & addidit R. Vulgo deest. Pro seq. προβὰς SG. προσβάς. Id. paulo post αὐτὸν pro ἑαυτόν. Junt. αὐτόν.

2 Obscura sunt haec visa Mosi Dus. suspicanti, ἐφ' ἑαυτῷ esse scribendum. R. autem post Ῥωμ. videtur deesse ὑποχείρια — res Mithridatis omnes filium, velut hereditate, suscepisse, & in literis ad se populumque Rom. datis significare, imperio atque potestati eas suae populique Rom. permittere. γέγρ. ποιούμ. ὑποχείρια idem esse monet, atque γέγραφεν, ὅτι ποιεῖται ὑποχείρια.

3 R. susp. τῇ χ. διαχεόμενον.

4 SG. αὐτοῦ. Sic & Junt. Ald. Crat.

5 Mos. Dus. mavult κεφάλαιον — προσδοκηθέν. R. κεφαλὴν, bene si habet, usurpasse Pl. monet pro κορωνίδα aut κορυφήν.

6 Sic R. dedit, lectione Junt. quae habet κεκοσμημένα, ductus, pro vulg. κεκομισμένα. κοσμεῖν δῶρα, eo docente, est instruere, ornare, non modo cultu exquisito, sed etiam scite disponere. Ei quoque haec vox convenientior videtur ad insequens σώματα, quae dici possint κοσμεῖσθαι, non κομίζεσθαι. Consentit Tudertin. vertens: munera multa — splendidius ornata.

τὸν Μιθριδάτου νεκρὸν, οὐ πάνυ γνώριμον ἀπὸ τοῦ προσώπου, (τὸν γὰρ ἐγκέφαλον ἔλαθεν ἐκτῆξαι τοὺς θεράποντας [1]) ἀλλὰ ταῖς οὐλαῖς ἐπεγίγνωσκον οἱ δεόμενοι τοῦ θεάματος. οὐ γὰρ αὐτὸς Πομπήϊος ἰδεῖν ὑπέμεινεν, ἀλλ' ἀφοσιωσάμενος τὸ νεμεσητὸν [2], εἰς Σινώπην ἀπέπεμψε. τῆς δ' ἐσθῆτος, ἣν ἐφόρει, καὶ τῶν ὅπλων τὸ μέγεθος καὶ τὴν λαμπρότητα ἐθαύμασε. καίτοι τὸν μὲν ξιφιστῆρα [3] πεποιημένον ἀπὸ τετρακοσίων ταλάντων Πόπλιος κλέψας ἐπώλησεν Ἀριαράθῃ· τὴν δὲ κίδαριν [4] Γάϊος, ὁ τοῦ Μιθριδάτου σύντροφος, ἔδωκε κρύφα δεηθέντι Φαύστῳ, τῷ Σύλλα παιδὶ, θαυμαστῆς οὖσαν ἐργασίας. ὃ τότε τὸν Πομπήϊον διέλαθε· Φαρνάκης [5] δὲ γνοὺς ὕστερον, ἐτιμωρήσατο τοὺς ὑφελομένους. διοικήσας δὲ τὰ ἐκεῖ καὶ καταστησάμενος, οὕτως ἤδη πανηγυρικώτερον ἐχρῆτο τῇ πορείᾳ. καὶ γὰρ εἰς Μιτυλήνην ἀφικόμενος, τήν τε πόλιν ἠλευθέρωσε διὰ Θεοφάνη, καὶ τὸν ἀγῶνα τὸν πάτριον ἐθεάσατο τῶν ποιητῶν, ὑπόθεσιν μίαν ἔχοντα τὰς ἐκείνου πράξεις. ἡσθεὶς δὲ τῷ θεάτρῳ, περιεγράψατο τὸ εἶδος αὐτοῦ καὶ τὸν τύπον, ὡς ὅμοιον ἀπεργασόμε-

1 Sic R. dedit de suo pro vulg. θεραπεύοντας, quod alias, si Pl. eos voluisset indicare, qui corpus mortui curassent, debuisset dici θεραπεύσαντας.

2 Quid haec dictio valeat, nescio. Ne interpp. quidem eam satis perspicuam fuisse, patet ex diversitate versionum. Cruser. — verum avertens deorum invidiam, Sinopen amandavit. Xyl. — invidiamque fortunae amolitus, Sinopen remisit. Tudert. — scelus abominans, defunctum ad Sinopen misit. Kind: Pompejus selbst wollte ihn nicht sehen, um sich nicht dadurch Götter und Menschen zu Feinden zu machen, sondern schickte ihn nach Sinope. Schirach: sondern verabscheute den Anblik, und schickte den Körper nach Sinope.

3 SG. ξιφηστῆρα. Sic & Junt. Ald. Crat.

4 Junt. τὸν δ. κίταριν. V. τὸν. Omnes edd. cum SG. Br. excepta κίταριν. Seq. artic. ὁ omisit Br. Eum R. restituit.

5 V. ὁ Φαρν.

σόμενος τὸ [1] ἐν Ῥώμῃ, μεῖζον δὲ καὶ σεμνότερον. ἐν δὲ [2] Ῥόδῳ γενόμενος, πάντων [3] μὲν ἠκροάσατο τῶν σοφιστῶν, καὶ δωρεὰν ἑκάστῳ τάλαντον ἔδωκε. Ποσειδώνιος δὲ καὶ τὴν ἀκρόασιν ἀνέγραψεν, ἣν ἔσχεν ἐπ᾽ αὐτοῦ [4], πρὸς Ἑρμαγόραν τὸν ῥήτορα περὶ τῆς καθ᾽ ὅλου ζητήσεως ἀντιταξάμενος. ἐν δ᾽ Ἀθήναις, τὰ μὲν πρὸς τοὺς φιλοσόφους ὅμοια τοῦ Πομπηΐου· τῇ πόλει δ᾽ ἐπιδοὺς εἰς ἐπισκευὴν πεντήκοντα [5] τάλαντα, λαμπρότατος ἀνθρώπων ἤλπιζεν ἐπιβήσεσθαι τῆς Ἰταλίας καὶ ποθοῦν ὀφθήσεσθαι τοῖς οἴκοι ποθοῦσιν. ᾧ [6] δ᾽ ἄρα πρὸς τὰ λαμπρὰ καὶ μεγάλα τῶν ἀπὸ τῆς τύχης ἀγαθῶν ἀεί τινα κεραννύναι κακοῦ μοῖραν ἐπιμελές ἐστι δαιμονίῳ, τοῦτο ὑποικέρει [7] πάλαι παρασκευάζον αὐτῷ λυπηροτέραν τὴν ἐπάνοδον. ἐξύβρισε γὰρ ἡ Μουκία παρὰ τὴν ἀποδημίαν αὐτοῦ. καὶ πόῤῥω μὲν ὢν ὁ Πομπήϊος κατεφρόνει τοῦ λόγου, πλησίον δ᾽ Ἰταλίας γενόμενος, καὶ σχολάζοντι τῷ λογισμῷ μᾶλλον, ὡς ἔοικε, τῆς αἰτίας ἁψάμενος, ἔπεμψεν αὐτῇ τὴν ἄφεσιν· οὔτε τότε γράψας, οὔθ᾽ ὕστερον, ἐφ᾽ οἷς ἀφῆκεν, ἐξειπών. ἐν δ᾽ ἐπιστολαῖς Κικέρωνος ἡ αἰτία γέγραπται.

XLIII. Λόγοι δὲ παντοδαποὶ περὶ τοῦ Πομπηΐου προκατέπιπτον εἰς τὴν Ῥώμην· καὶ θόρυβος ἦν πολύς, ὡς εὐθὺς ἄξοντος ἐπὶ τὴν πόλιν τὸ στράτευμα, καὶ μοναρχίας

1 Junt. sola τῷ. An forte fuit αὐτῷ τὸ ἐ. Ῥ.

2 δὲ omittit Junt. & V. Vocem Ῥόδῳ omittit Ald. Utrumque exhibet Crat.

3 Junt. post h. v. addit τά.

4 Junt. Ald. Crat. SG. ἀπ᾽ αὐτοῦ. SG. paulo post καθόλου uno vocabulo.

5 Nimis minuta R. haec summa videtur. Quaerit, num πεντακόσια τάλ. Addi malim post τάλαντα, ἀπιὼν ᾤχετο aut tale quid, & in seqq. ἐλπίζων pro ἤλπιζεν. Junt. Ald. Crat. ἐπιβήσεται pro ἐπιβήσεσθαι.

6 SG. pro ᾧ dat ὡς.

7 V. ὑποκρέει. Id. pro ἡ Μουκ. dat ἡ κακία, pro μὲν ὢν uno vocabulo μένων; & infra οὔθ᾽ ἕτερον pro οὔθ᾽ ὕστερον.

ἀρχίας βεβαίας ἐσομένης. Κράσσος δὲ τὰς παῖδας καὶ τὰ χρήματα λαβὼν ὑπεξῆλθεν, εἴτε δείσας ἀληθῶς, εἴτε μᾶλλον, ὡς ἐδόκει, πίστιν ἀπολείπων τῇ διαβολῇ, καὶ τὸν φθόνον ποιῶν τραχύτερον. εὐθὺς ἂν ἐπιβὰς Ἰταλίας ὁ Πομπήϊος, καὶ συναγαγὼν εἰς ἐκκλησίαν τὰς στρατιώτας, καὶ τὰ πρέποντα διαλεχθεὶς καὶ φιλοφρονησάμενος, ἐκέλευσε διαλύεσθαι κατὰ πόλιν ἑκάστας, καὶ τρέπεσθαι πρὸς τὰ οἰκεῖα, μεμνημένας αὖθις ἐπὶ τὸν θρίαμβον αὐτῷ συνελθεῖν. ἄτω δὲ τῆς στρατιᾶς [1] σκεδασθείσης, καὶ πυνθανομένων ἁπάντων, πρᾶγμα συνέβη θαυμαστόν. ὁρῶσαι γὰρ αἱ πόλεις Πομπήϊον Μάγνον ἄνοπλον, καὶ μετ' ὀλίγων τῶν συνήθων ὥσπερ ἐξ ἄλλης ἀποδημίας διαπορευόμενον, ἐκχεόμεναι δι' εὔνοιαν, καὶ προπέμπασαι μετὰ μείζονος δυνάμεως συγκατῆγον εἰς τὴν Ῥώμην, εἴ τι κινεῖν διενοεῖτο καὶ νεωτερίζειν τότε, μηδὲν ἐκείνα δεόμενον τᾶ στρατεύματος.

XLIV. Ἐπεὶ δὲ ὁ νόμος ἀκ εἴα πρὸ τᾶ θριάμβα παρελθεῖν εἰς τὴν πόλιν, ἔπεμψεν ἀξιῶν εἰς τὴν βαλὴν [2] ἀναβαλέσθαι τὰς τῶν ὑπάτων ἀρχαιρεσίας, καὶ δᾶναι ταύτην αὐτῷ τὴν χάριν, ὅπως παρὼν Πείσωνι συναρχαιρεσιάσῃ. Κάτωνος δὲ πρὸς τὴν ἀξίωσιν ἐνστάντος, ἀκ ἔτυχε τᾶ βαλεύματος. θαυμάσας δὲ τὴν παῤῥησίαν αὐτᾶ καὶ τὸν [3] τόνον, ᾧ μόνος ἐχρῆτο φανερῶς ὑπὲρ τῶν δικαίων, ἐπεθύμησεν ἀμωσγέπως [4] κτήσασθαι τὸν ἄνδρα· καὶ δυεῖν ἄσῶν ἀδελφιδῶν τῷ Κάτωνι, τὴν μὲν αὐτὸς ἐβαλεύετο [5] λαβεῖν γυναῖκα, τὴν δὲ τῷ παιδὶ συνοικίσαι. τᾶ δὲ Κάτωνος ὑπειδομένα τὴν πεῖραν, ὡς διαφθορὰν ἄσαν αὐτᾶ, τρόπον τινὰ δεκαζομένα



1 SG. στρατείας. Sic & Junt. Ald. Crat.

2 Suspecta Mosi Duf. sunt haec verba, cum non εἰς sed πρὸς fuerit dicendum, & ἀξιῶν, sic positum, requirere videatur, ut tempus aliquod definiatur, pro quo βαλὴν irrepserit.

3 Artic. τὸν deest Junt.

4 Sic R. de suo dedit pro vulg. ἄλλως γέ πως.

5 SG. ἐβάλετο.

μένε διὰ τῆς οἰκειότητος, ἥ τ' ἀδελφὴ καὶ γυνὴ [1] χαλεπῶς ἔφερον, εἰ Πομπήϊον Μάγνον ἀποτρίψεται [2] κηδεςήν. ἐν τέτῳ δὲ βελόμενος ὕπατον ἀποδεῖξαι Πομπήϊος Ἀφράνιον, ἀργύριον εἰς τὰς φυλὰς ἀνήλισκεν ὑπὲρ αὐτῦ, καὶ τῦτο κατιόντες εἰς τὰς Πομπηΐε κήπες ἐλάμβανον· ὥςε τὸ πρᾶγμα περιβόητον εἶναι, καὶ τὸν Πομπήϊον ἀκέειν κακῶς, ἧς αὐτὸς ἀρχῆς, ἐφ' οἷς κατώρθωσεν, ὡς μεγίςης ἔτυχε, ταύτην ὤνιον ποιῦντα τοῖς δι' ἀρετῆς κτήσασθαι μὴ δυναμένοις. τέτων μέντοι πρὸς τὰς γυναῖκας ὁ Κάτων ἔφησε τῶν ὀνειδῶν κοινωνητέον, οἰκείοις Πομπηΐε γενομένοις· αἱ δ' ἀκέσασαι, συνέγνωσαν βέλτιον αὐτῶν ἐκεῖνον λογίζεσθαι περὶ τῦ πρέποντος.

XLV. Τῦ δὲ θριάμβε τῷ μεγέθει [3], καίπερ εἰς ἡμέρας δύο μερισθέντος, ὁ χρόνος ἐκ ἐξήρκεσεν, ἀλλὰ τῶν παρεσκευασμένων πολλὰ τῆς θέας ἐξέπεσεν, ἑτέρας ἀποχρῶντα πομπῆς ἀξίωμα καὶ κόσμος εἶναι. γράμμασι δὲ προηγεμένοις ἐδηλῦτο τὰ γένη, καθ' ὧν ἐθριάμβευεν. ἦν δὲ τάδε· Πόντος, Ἀρμενία, Καππαδοκία, Παφλαγονία, Μηδία, Κολχὶς, Ἴβηρες, Ἀλβανοὶ, Συρία, Κιλικία, Μεσοποταμία, τὰ περὶ Φοινίκην καὶ Παλαιςίνην, Ἰεδαία, Ἀραβία, τὸ πειρατικὸν ἅπαν ἐν γῇ καὶ θαλάσσῃ καταπεπολεμημένον. ἐν δὲ τέτοις φρέρια μὲν ἡλωκότα, χιλίων ἐκ ἐλάττονα, πόλεις δ' ἐ πολὺ τῶν ἐνακοσίων ἀποδέεσαι· πειρατικαὶ δὲ νῆες ὀκτακόσιαι, κατοικίαι δὲ πόλεων μιᾶς δέεσαι τετταράκοντα. πρὸς δὲ τέτοις ἔφραζε διὰ τῶν γραμμάτων, ὅτι πεντακιχίλιαι μὲν μυριάδες ἐκ τῶν τελῶν ὑπῆρχον, ἐκ δ' ὧν αὐτὸς προσεκτήσατο [4] τῇ πόλει, μυριάδας ὀκτα-

1 SG. ἡ γυνή. R. mavult ἡ μὲν ἀδελφὴ καὶ ἡ γυνή.

2 Junt. sola ἀποτρέψαι. SG. ἀποτρέψεται.

3 In quodam exemplari non legi τῷ μεγέθει, teſtis H. Steph. Idem θέας ἐκπίπτειν, quod ſequitur, idem dicere monet, ac τῦ τῆς θέας χρόνε, vel καιρῦ.

4 V. ἐπεκτήσατο.

ὀκτακισχιλίας πεντακοσίας λαμβάνουσιν. ἀναφέρεται δ' εἰς τὸ δημόσιον ταμεῖον ἐν νομίσματι καὶ κατασκευαῖς, ἀργυρίου καὶ χρυσοῦ δισμύρια τάλαντα, πάρεξ τῶν εἰς τοὺς στρατιώτας δεδομένων. ὧν ὁ τοὐλάχιστον αἴρων κατὰ λόγον δραχμὰς εἴληφε χιλίας πεντακοσίας. αἰχμάλωτοι δ' ἐπομπεύθησαν, ἄνευ τῶν ἀρχιπειρατῶν, υἱὸς Τιγράνου τοῦ Ἀρμενίου μετὰ γυναικὸς καὶ θυγατρὸς, αὐτοῦ τε Τιγράνου τοῦ βασιλέως γυνὴ, Ζωσίμη, καὶ βασιλεὺς Ἰουδαίων, Ἀριστόβουλος, Μιθριδάτου δ' ἀδελφὴ καὶ πέντε τέκνα, καὶ Σκυθίδες γυναῖκες· Ἀλβανῶν δὲ καὶ Ἰβήρων ὅμηροι, καὶ τοῦ Κομμαγηνῶν βασιλέως· καὶ τρόπαια πάμπολλα, ταῖς [1] μάχαις ἰσάριθμα πάσαις, ἃς ἢ αὐτὸς, ἢ διὰ τῶν στρατηγῶν ἐνίκησε. μέγιστον δ' ὑπῆρχε πρὸς δόξαν καὶ μηδενὶ τῶν πώποτε Ῥωμαίων γεγονὸς, ὅτι τὸν τρίτον θρίαμβον ἀπὸ τῆς τρίτης ἠπείρου κατήγαγεν. ἐπεὶ τρίς γε [2] καὶ πρότερον ἦσαν ἕτεροι τεθριαμβευκότες· ἐκεῖνος δὲ τὸν μὲν πρῶτον ἐκ Λιβύης, τὸν δὲ δεύτερον ἐξ Εὐρώπης, τοῦτον δὲ τὸν τελευταῖον ἀπὸ τῆς Ἀσίας εἰσαγαγὼν, τρόπον τινὰ τὴν οἰκουμένην ἐδόκει τοῖς τρισὶν ἐπῆχθαι [3] θριάμβοις.

XLVI. Ἡλικίᾳ δὲ τότ' ἦν, ὡς μὲν οἱ κατὰ πάντα τῷ Ἀλεξάνδρῳ παραβάλλοντες αὐτὸν καὶ προσβιβάζοντες ἀξιοῦσι, νεώτερος τῶν τριάκοντα καὶ τεττάρων ἐτῶν, ἀληθείᾳ δὲ τοῖς τετταράκοντα προσῆγεν [4]. ὡς ὤνατό [5]



1 Junt. & SG. πάμπολλα καὶ ταῖς μ.

2 Sic R. de suo dedit pro vulg. τρεῖς γε. SG. post ἐπεὶ addit καί.

3 R. susp. ὑπῆχθαι, aut εἰσῆχθαι, *subegisse*, aut *in urbem introduxisse*.

4 Hunc locum corruptum esse, Xyl. vidit, & collatis pluribus ad rem facientibus momentis, conjiciendum censuit, pro τεσσαρ. legendum πεντήκοντα. Sic & R. susp. — *accedebat ad L. annum.* Petav. ante τεσσαρ. ἑ inserit. Dacerio monente, Pompejus tum attingebat non XL, sed XLVI. annum.

5 V. ὤνητο, ὤναιτο. Prius quoque Junt. & SG. & pro seq. γ' ἂν SG. γ' οὖν.

γ' ἂν ἐνταῦθα τȣ͂ βίȣ παυσάμενος, ἄχρις ȣ͂[1] τὴν Ἀλεξάνδρȣ τύχην ἔχειν· ὁ δ' ἐπέκεινα χρόνος αὐτῷ τὰς μὲν εὐτυχίας ἤνεγκεν ἐπιφθόνȣς, ἀνηκέςȣς δὲ τὰς δυστυχίας. ἣν γὰρ ἐκ προσηκόντων αὐτὸς ἐκτήσατο δύναμιν ἐν τῇ πόλει, ταύτῃ χρώμενος ὑπὲρ ἄλλων ȣ δικαίως, ὅσον ἐκείνοις ἰσχύος προσετίθει, τῆς αὐτȣ͂[2] δόξης ἀφαιρῶν, ἔλαθε ῥώμῃ καὶ μεγέθει τῆς αὐτȣ͂ δυνάμεως καταλυθείς· καὶ καθάπερ τὰ καρτερώτατα μέρη καὶ χωρία τῶν πόλεων, ὅταν δέξηται πολεμίȣς, ἐκείνοις προσίθησι τὴν αὐτῶν ἰσχὺν, ȣ̔́τω διὰ τῆς Πομπηΐȣ δυνάμεως Καῖσαρ ἐξαρθεὶς ἐπὶ τὴν πόλιν, ᾧ κατὰ τῶν ἄλλων ἴσχυσε, τȣ͂τον ἀνέτρεψε καὶ κατέβαλεν. ἐπράχθη δ' ȣ̔́τω. Λεύκȣλλος ὡς ἐπανῆλθεν ἐξ Ἀσίας, ὑπὸ Πομπηΐȣ περιϋβρισμένος, αὐτίκα τε λαμπρῶς ἡ σύγκλητος ἐδέξατο[3], καὶ μᾶλλον ἔτι Πομπηΐȣ παραγενομένȣ κελεύȣσα τὴν δόξαν ἤγειρεν ἐπὶ τὴν πολιτείαν[4]. ὁ δὲ τἄλλα μὲν ἀμβλὺς ἦν ἤδη, καὶ κατέψυκτο τὸ πρακτικὸν, ἡδονῇ σχολῆς καὶ ταῖς περὶ τὸν πλȣ͂τον διατριβαῖς ἑαυτὸν ἐνδεδωκώς· ἐπὶ δὲ Πομπήϊον εὐθὺς ἀΐξας καὶ λαβόμενος ἐντόνως αὐτȣ͂, περί τε τῶν διατάξεων, ἃς ἔλυσεν, ἐκράτει, καὶ πλέον εἶχεν ἐν τῇ βȣλῇ, συναγωνιζομένȣ Κάτωνος. ἐκπίπτων δὲ καὶ περιωθȣ́μενος ὁ Πομπήϊος, ἠναγκάζετο δημαρχȣ͂σι προσφεύγειν καὶ προσαρτᾶσθαι μειρακίοις. ὧν ὁ βδελυρώτατος καὶ θρασύτατος,

1 SG. ἄχρι ȣ͂. Sic & Junt.

2 SG. ἑαυτȣ͂. Id. infra ȣ̔́τως pro ȣ̔́τω.

3 Br. cum H. Steph. voluit Λεύκȣλλον, quod eſt in Mur. ut regatur hic caſus a verbo ἐδέξατο. Pro σύγκλ. V. σύγλησις.

4 R. probat cum Br. lectionem Anon. & Mur. κολȣ́ȣσα pro κελεύȣσα, & ſuſp. leg. ἐπὶ τὴν ἀντιπολιτείαν, *& magis adhuc Pompeji in urbem reverſi gloriam carpens, inſtigabat Lucullum ad ſtudendum in rep. partibus Pompejo adverſis.* Schirach ita vertit: Lukullus — wurde, da Pompejus wieder zu Rom war, aufgemuntert, daſs er ſein Anſehen in Staatsgeſchäften wider den Pompejus brauchen möchte.

τος, Κλώδιος, ἀναλαβὼν αὐτὸν ὑπέῤῥιψε τῷ δήμῳ· καὶ παρ' ἀξίαν κυλινδούμενον ἐν ἀγορᾷ ἔχων καὶ περιφέρων, ἐχρῆτο τῶν πρὸς χάριν ὄχλου, καὶ κολακείαν γραφομένων καὶ λεγομένων βεβαιωτῇ, καὶ προσέτι μισθὸν, ὃν [1] ᾔτει, ὥσπερ οὐ καταισχύνων, ἀλλ' εὐεργετῶν, ὕστερον ἔλαβε παρὰ Πομπηΐου, προέσθαι Κικέρωνα, φίλον ὄντα, καὶ πλεῖστα δὴ πεπολιτευμένον ὑπὲρ αὐτοῦ. κινδυνεύοντι γὰρ αὐτῷ, καὶ δεομένῳ βοηθείας, οὐδ' εἰς ὄψιν προῆλθεν, ἀλλὰ τοῖς ἥκουσιν ἀποκλείσας τὴν αὔλειον [2], ἑτέραις θύραις ᾤχετο ἀπιών. Κικέρων δὲ φοβηθεὶς τὴν κρίσιν, ὑπεξῆλθε τῆς Ῥώμης.

XLVII. Τότε δὲ Καῖσαρ ἐλθὼν ἀπὸ στρατείας, ἥψατο πολιτεύματος, ὃ πλείστην μὲν αὐτῷ χάριν ἐν τῷ παρόντι καὶ δύναμιν εἰσαῦθις ἤνεγκε, μέγιστα δὲ Πομπήϊον ἔβλαψε καὶ τὴν πόλιν. ὑπατείαν μὲν γὰρ μετῄει πρώτην· ὁρῶν δ', ὅτι, Κράσσου πρὸς Πομπήϊον διαφερομένου, θατέρῳ προσθέμενος, ἐχθρῷ χρήσεται τῷ ἑτέρῳ, τρέπεται πρὸς διαλλαγὰς ἀμφοῖν, πρᾶγμα καλὸν μὲν ἄλλως καὶ πολιτικὸν, αἰτίᾳ δὲ φαύλῃ, καὶ μετὰ δεινότητος ὑπ' ἐκείνου συντεθὲν ἐπιβούλως. ἡ γὰρ, ὥσπερ ἐν σκάφει, τὰς ἀποκλίσεις ἐπανισοῦσα τῆς πόλεως [3] ἰσχὺς, εἰς ἓν συνελθοῦσα καὶ γενομένη μία, τὴν πάντα πράγματα καταστασιάσασαν [4] καὶ καταβαλοῦσαν, ἀνανταγώνιστον ῥοπὴν ἐποίησεν. ὁ γοῦν Κάτων τοὺς λέγοντας ὑπὸ τῆς ὕστερον γενομένης πρὸς Καίσαρα Πομπηΐῳ διαφορᾶς ἀνατραπῆναι τὴν πόλιν, ἁμαρτάνειν ἔλεγεν, αἰτιωμένους τὸ τελευταῖον· οὐ γὰρ τὴν στάσιν, οὐδὲ τὴν ἔχθραν, ἀλλὰ τὴν σύστασιν καὶ τὴν ὁμόνοιαν αὐτῶν τῇ πόλει

N 4

1 Sic R. dedit de suo. Vulgo datur *μισθὸν ᾔτει.* — *ὃν* autem legitur secundum Ald. paulo post, ante *ὕστερον*, in Junt. & SG. prorsus deest.

2 SG. *αὔλιον*.

3 non cohaerere cum *ἰσχὺς*, sed cum *ἀποκλίσεις*, monet R.

4 Mos. Dus. mavult *καταστασιασάσαν*. Sic in Br. & R. ed. Quid sit, nescio. An voluit in Fut. I. *καταστασιάσουσαν*?

πόλει πρῶτον κακὸν [1] γενέσθαι καὶ μέγιστον. ᾑρέθη μὲν γὰρ ὕπατος Καῖσαρ· εὐθὺς δὲ θεραπεύων τὸν ἄπορον καὶ πένητα [2], κατοικίας πόλεων καὶ νομὰς ἀγρῶν ἔγραφεν, ἐκβαίνων [3] τὸ τῆς ἀρχῆς ἀξίωμα, καὶ τρόπον τινὰ δημαρχίαν τὴν ὑπατείαν καθιςάς. ἐναντιεμένε δὲ τε συνάρχοντος αὐτῷ, Βίβλε [4], καὶ Κάτωνος ἐῤῥωμενέςατα τῷ Βίβλῳ παρεσκευασμένε βοηθεῖν, προσαγαγὼν [5] ὁ Καῖσαρ ἐπὶ τε βήματος Πομπήϊον ἐμφανῆ καὶ προσαγορεύσας, ἠρώτησεν, εἰ τὰς νόμες ἐπαινοίη· τε δὲ συμφήσαντος [6]· Οὐκεν, εἶπεν, ἄν τις τὰς νόμες βιάζηται [7], εἰς τὸν δῆμον ἀφίξῃ βοηθῶν; Πάνυ μὲν ἐν, ἔφη ὁ Πομπήϊος, ἀφίξομαι, πρὸς τὰς ἀπειλεντας τὰ ξίφη, μετὰ ξίφες καὶ θυρεὸν [8] κομίζων. τετε Πομπήϊος ἐδὲν, ἔτ' εἰπεῖν, ἔτε ποιῆσαι μέχρι τῆς ἡμέρας ἐκείνης φορτικώτερον ἔδοξεν· ὥςε καὶ τὰς φίλες ἀπολογεῖσθαι, φάσκοντας ἐκφυγεῖν αὐτὸν ἐπὶ καιρε τὸ ῥῆμα. τοῖς μέντοι μετὰ ταῦτα πραττομένοις φανερὸς ἦν ἤδη παντάπασιν ἑαυτὸν τῷ Καίσαρι χρήσασθαι παραδεδωκώς. Ἰελίαν γὰρ, τὴν [9] Καίσαρος θυγατέρα, Καιπίω-

1 SG. invertit has duas voces κακ. πρ.

2 Mosi Duf. deesse videtur vox δῆμον; R. vult ὄχλον. Hic idem pro seq. κατοικίας mavult κατοικίσας, *deductiones in colonias, assignationes habitationum.*

3 V. προεκβαίνων.

4 SG. Βύβλε. Sic & paulo post Βύβλῳ sine artic. τῷ. Junt. utroque loco & infra eandem observat scripturam; Ald. & Crat. priori loco Βίβλε, posteriori Βύβλῳ.

5 R. mavult προαγαγ. licet non prorsus rejiciat vulgatam, subaudiendo πρὸς τὸν δῆμον. Paulo post V. cum artic. τὸν Πομπ.

6 V. συμφωνήσαντος.

7 R. susp. βιάζηται μὴ εἰσάγειν εἰς τὸν δ. *contendat vi & pertinacia hoc efficere, quominus hae leges in plebem*, vel *concionem, inferantur.*

8 SG. θυρεῶν.

9 Restituit hunc artic. R. ex edd. Bryanea prioribus. In hac enim sola exciderat.

πίωνι [1] καθωμολογημένην καὶ γαμεῖσθαι μέλλουσαν, ὀλίγων ἡμερῶν, ἐδενὸς ἂν προσδοκήσαντος, ἔγημε Πομπήϊος, μείλιγμα Καιπίωνι τῆς ὀργῆς τὴν ἑαυτῦ θυγατέρα καταινέσας, Φαύςῳ, τῷ παιδὶ Σύλλα, πρότερον ἐγγεγυημένην. αὐτὸς δὲ Καῖσαρ ἔγημε Καλπυρνίαν, τὴν Πείσωνος.

XLVIII. Ἐκ δὲ τύτυ Πομπήϊος ἐμπλήσας ςρατιωτῶν τὴν πόλιν, ἅπαντα τὰ πράγματα βίᾳ κατεῖχε. Βίβλῳ τε γὰρ εἰς ἀγορὰν τῷ ὑπάτῳ κατιόντι μετὰ Λευκύλλυ καὶ Κάτωνος, ἄφνω προσπεσόντες κατέκλασαν τὰς ῥάβδυς· αὐτῦ δέ τις κοπρίων κόφινον ἐκ κεφαλῆς [2] τῦ Βίβλυ κατεσκέδασε. δύο δὲ δήμαρχοι τῶν συμπροπεμπόντων ἐτρώθησαν. ὕτω δὲ τῶν ἐνιςαμένων τὴν ἀγορὰν ἐρημώσαντες, ἐπεκύρωσαν τὸν περὶ τῆς διανομῆς τῶν χωρίων νόμον· ᾧ δελεασθεὶς ὁ δῆμος, εἰς πᾶσαν [3] ἤδη τιθασὸς αὐτοῖς ἐγεγόνει, καὶ κατ' ἀντείσπραξιν [4] ὐδὲν πολυ-



1 Junt. Ald. Crat. SG. hic & paulo post Σκιπίωνι. Saepius haec nomina inter se mutari, pluribus ex locis constat.

2 Anon. & Mur. κατὰ κεφαλῆς; quod probat Mos. Dus. R. autem tuetur vulgatam, subaudiendo εἰς πόδας, e capite ad calcem desudit.

3 Anon. & Mur. εἰς πάντα, quod probat Mos. Dus. Vigerus de eadem hac dictione c. III. sect. 10. §. 4. differens, idem valere eam ait ac πάντως. L. Bos agnoscit ellipsin substantivi χρείαν, *ad omnem usum.*

4 H. Steph. pro καὶ scribere suadet κακίαν, ut ad πᾶσαν, quod praecessit, referatur. Sed quid sit κατ' ἀντείσπραξιν, de hoc varie sentiunt. In SG. est uno vocabulo καταντείσπραξιν. In V. est ἀντίπραξις. Hinc Schirach probat κατ' ἀντίπραξιν. Mos. Dus. legendum censet Κάτωνος ἀντίπραξιν, utpote qui, fugato Consule, negotium aliquamdiu Caesaris factioni in Comitio solus facessivit. R. susp. ἐγεγόνει αἰσχρὰν (vel παράβολον) καὶ κατάντη πρᾶξιν, ὐδὲν πολυπρ. Quid prohibet, quo minus meam qualemcunque subjungam conjecturam? Syllabam εἰς in voce ἀντείσπραξιν ex lin. praeced. male iteratam censeo, & vocem πρᾶξιν suo loco motam, ita ut haec referenda sit

πολυπραγμονῶν, ἀλλ' ἐπιφέρων σιωπῇ τοῖς γραφομένοις τὴν ψῆφον. ἐκυρώθησαν οὖν Πομπηΐῳ [1] μὲν αἱ διατάξεις, ὑπὲρ ὧν Λεύκουλλος ἤριζε· Καίσαρι δὲ τὴν ἐντὸς Ἄλπεων καὶ τὴν ἐκτὸς ἔχειν Γαλατίαν, καὶ Ἰλλυρίους, εἰς πενταετίαν, καὶ τέσσαρα τάγματα τέλεια στρατιωτῶν· ὑπάτους δ' εἰς τὸ μέλλον εἶναι Πείσωνα, τὸν Καίσαρος πενθερὸν, καὶ Γαβίνιον [2], ἄνδρα τῶν Πομπηΐου κολάκων ὑπερφυέστατον. πραττομένων δὲ τούτων, Βίβλος μὲν εἰς τὴν οἰκίαν κατακλεισάμενος, ὀκτὼ μηνῶν οὐ προῆλθεν ὑπατεύων, ἀλλ' ἐξέπεμψε διαγράμματα, βλασφημίας ἀμφοῖν ἔχοντα καὶ κατηγορίας· Κάτων δ', ὥσπερ ἐπίπνους καὶ φοιβόληπτος, ἐν τῇ βουλῇ τὰ μέλλοντα τῇ πόλει καὶ τῷ Πομπηΐῳ προηγόρευε. Λεύκουλλος δ' ἀπειπὼν ἡσυχίαν ἦγεν, ὡς οὐκ ἔτι πρὸς πολιτείαν ὡραῖος· ὅτε δὴ καὶ Πομπήϊος ἔφη [3], γέροντι τὸ τρυφᾷν ἀωρότερον εἶναι τοῦ πολιτεύεσθαι. ταχὺ μέντοι καὶ αὐτὸς ἐμαλάσσετο τῷ τῆς κόρης [4] ἔρωτι, καὶ προσεῖχεν ἐκείνῃ τὰ πολλὰ καὶ συνδιημέρευεν ἐν ἀγροῖς καὶ κήποις, ἠμέλει δὲ τῶν κατ' ἀγορὰν πραττομένων· ὥστε καὶ Κλώδιον αὐτοῦ καταφρονῆσαι δημαρχοῦντα τότε, καὶ θρασυτάτων ἅψασθαι πραγμάτων. ἐπεὶ γὰρ ἐξέβαλε Κικέρωνα, καὶ Κάτωνα προφάσει στρατηγίας εἰς Κύπρον ἀπέστειλε [5], Καίσαρος εἰς Γαλατίαν ἐξεληλακότος, αὐτῷ [6] δὲ

sit ad πᾶσαν — εἰς πᾶσαν ἤ. αὐ.ἰτθ. ἐγ. πρᾶξιν. Sequentia sic struo: καὶ προσάντως οὐδὲν πολυπρ. *neque quicquam infeste*, inimico animo, contrarie, *moliens*; sive καὶ κατ' αὐτῶν οὐ. π. neque contra eos quicquam intentius agens.

1 In hoc casu ex Junt. & Ald. se revocasse monet R. ob insequens Καίσαρι δὲ pro vulg. Πομπηΐου. In genit. casu nonnisi Bryanea exhibet.

2 V. Γαμίνιον.

3 Post h. v. V. inserit ὅτι.

4 Filiae C. Julii Caesaris.

5 SG. ἀπέπεμψε.

6 Clodio puta. In hoc casu cum V. & Mur. suadente etiam H. Steph. dari voluit Br. deditque R. Vulgo αὐτοῦ.

δὲ προσέχοντα τὸν δῆμον ἑώρα πάντα πράττοντι καὶ πολιτευομένῳ πρὸς [1] χάριν, εὐθὺς ἐπεχείρει τῶν Πομπηΐου διατάξεων ἐνίας ἀναιρεῖν, καὶ Τιγράνην τὸν αἰχμάλωτον ἀφαρπάσας εἶχε σὺν αὐτῷ, καὶ τοῖς φίλοις δίκας ἐπῆγε, πεῖραν ἐν ἐκείνοις τῆς Πομπηΐου λαμβάνων δυνάμεως. τέλος δὲ, προελθόντος αὐτοῦ πρός τινα δίκην, ἔχων ὑφ' αὐτῷ πλῆθος ἀνθρώπων ἀσελγείας καὶ ὀλιγωρίας μεστὸν, αὐτὸς μὲν εἰς ἐπιφανῆ τόπον καταστὰς, ἐρωτήματα τοιαῦτα προὔβαλλε [2]. Τίς ἐστιν αὐτοκράτωρ ἀκόλαστος; τίς ἀνὴρ ἄνδρα ζητεῖ; τίς ἑνὶ δακτύλῳ κνᾶται τὴν κεφαλήν; οἱ δ', ὥσπερ χορὸς εἰς ἀμοιβαῖα συγκεκροτημένος, ἐκείνου τὴν τήβεννον ἀνασείοντος, ἐφ' ἑκάστῳ μέγα βοῶντες ἀπεκρίναντο· Πομπήϊος.

XLIX. Ἠνία μὲν οὖν καὶ ταῦτα Πομπήϊον, ἀήθη τοῦ κακῶς ἀκούειν ὄντα, καὶ μάχης τοιαύτης ἄπειρον. ἤχθετο δὲ μᾶλλον, αἰσθανόμενος τὴν βουλὴν ἐπιχαίρουσαν αὐτῷ προπηλακιζομένῳ, καὶ διδόντι δίκην τῆς Κικέρωνος προδοσίας. ἐπεὶ δὲ καὶ πληγὰς ἐν ἀγορᾷ μέχρι τραυμάτων συνέβη γενέσθαι, καὶ Κλωδίου τις οἰκέτης παραδυόμενος ἐν ὄχλῳ διὰ τῶν περιεστώτων πρὸς [3] τὸν Πομπήϊον ἠλέγχθη ξίφος ἔχειν, ταῦτα ποιούμενος πρόφασιν, ἄλλως δὲ τοῦ Κλωδίου τὴν ἀσέλγειαν καὶ τὰς βλασφημίας δεδιὼς, οὐκ ἔτι προῆλθεν εἰς ἀγορὰν, ὅσον ἐκεῖνος ἦρχε χρόνον, ἀλλ' οἰκουρῶν διετέλει καὶ σκεπτόμενος μετὰ τῶν φίλων, ὅπως ἂν ἐξακέσαιτο τῆς βουλῆς καὶ τῶν ἀρίστων τὴν πρὸς αὐτὸν ὀργήν. Κουλλέωνι μὲν οὖν [4] κελεύοντι τὴν Ἰουλίαν ἀφεῖναι, καὶ μεταβαλέσθαι

1 R. susp. πρὸς ἐκείνου χάριν. Annon Genitivi Καίσ. — ἐξελήλ. huc reponendi videntur? Etiam paulo post ad τοῖς φίλοις desiderari posse videtur ἐκείνου.

2 SG. προὔβαλε. Sic & Junt. Ald. Crat.

3 R. mavult περὶ — per circumstantes circa Pompejum.

4 abest οὖν a SG.

λέσθαι πρὸς τὴν σύγκλητον ἀπὸ τῆς Καίσαρος φιλίας, ὁ προσέχε. τοῖς δὲ Κικέρωνα καταγαγεῖν ἀξιοῦσιν, ἄνδρα καὶ Κλωδίῳ πολεμιώτατον, καὶ τῇ βουλῇ προσφιλέστατον, ἐπείσθη· καὶ προαγαγὼν τὸν ἀδελφὸν αὐτοῦ δεόμενον σὺν χειρὶ πολλῇ, τραυμάτων ἐν ἀγορᾷ γενομένων, καί τινων ἀναιρεθέντων, ἐκράτησε τοῦ Κλωδίου. καὶ νόμῳ κατελθὼν ὁ Κικέρων, τήν τε βουλὴν εὐθὺς τῷ Πομπηΐῳ διήλλαττε, καὶ τῷ σιτικῷ νόμῳ συνηγορῶν, τρόπῳ τινὶ πάλιν γῆς καὶ θαλάττης, ὅσην ἐκέκτηντο Ῥωμαῖοι, κύριον ἐποίει Πομπήϊον. ἐπ' αὐτῷ γὰρ ἐγίνοντο λιμένες, ἐμπόρια, καρπῶν διαθέσεις· ἑνὶ λόγῳ, τὰ τῶν πλεόντων πράγματα, τὰ τῶν γεωργούντων. Κλώδιος δ' ᾐτιᾶτο μὴ γεγράφθαι τὸν νόμον διὰ τὴν σιτοδείαν, ἀλλ' ὅπως ὁ νόμος γραφείη, γεγονέναι τὴν σιτοδείαν, ὥσπερ ἐκ λειποθυμίας αὐτοῦ μαραινομένην τὴν δύναμιν ἀρχῇ νέᾳ πάλιν ἀναζωπυροῦντος καὶ ἀναλαβόντος [1]. ἕτεροι δὲ τοῦ ὑπάτου Σπινθῆρος ἀποφαίνουσι τοῦτο σόφισμα, κατακλείσαντος εἰς ἀρχὴν μείζονα Πομπήϊον, ὅπως αὐτὸς ἐκπεμφθῇ Πτολεμαίῳ τῷ βασιλεῖ βοηθῶν. οὐ μὴν ἀλλὰ καὶ Κανίδιος εἰσήνεγκε δημαρχῶν νόμον, ἄνευ στρατείας Πομπήϊον ἔχοντα ῥαβδούχους δύο, διαλλάττειν Ἀλεξανδρεῦσι τὸν βασιλέα. καὶ Πομπήϊος μὲν ἐδόκει τῷ νόμῳ μὴ δυσχεραίνειν· ἡ δὲ σύγκλητος ἐξέβαλεν εὐπρεπῶς σκηψαμένη [2] δεδιέναι περὶ τἀνδρός. ἦν δὲ γράμμασιν ἐντυχεῖν διερριμμένοις κατ' ἀγορὰν καὶ παρὰ τὸ βουλευτήριον, ὡς δὴ [3] Πτολεμαίου δεομένου Πομπήϊον αὐτῷ στρατηγὸν ἀντὶ τοῦ Σπινθῆρος δοθῆναι. Τιμαγένης δὲ καὶ ἄλλως τὸν Πτολεμαῖον οὐκ οὔσης ἀνάγκης ἀπελθεῖν φησι, καὶ καταλιπεῖν Αἴγυπτον ὑπὸ Θεοφάνους πεισθέντα, πράττοντος Πομπηΐῳ χρηματισμοὺς [4] καὶ

1 R. mavult ἀναλαμβάνοντος, in praef. ut ἀναζωπ.
2 V. e Junt. item SG. σκεψαμένη.
3 Junt. ὡς δέ.
4 Mos. Duf. mavult χρηματισμοῦ.

καὶ ςρατηγίας καινῆς ὑπόθεσιν. ἀλλὰ τȣτο μὲν ȣ̓χ ȣ̔́τως ἡ Θεοφάνȣς μοχθηρία πεποίηκε [1] πιθανὸν, ὡς ἄπιςον ἡ Πομπηΐȣ φύσις, ȣ̓κ ἔχȣσα κακόηθες, ȣ̓δ' ἀνελεύθερον ȣ̔́τω τὸ φιλότιμον.

L. Ἐπιςαθεὶς δὲ τῇ περὶ τὸ σιτικὸν οἰκονομίᾳ καὶ πραγματείᾳ, πολλαχȣ̃ μὲν ἀπέςειλε πρεσβευτὰς καὶ φίλȣς, αὐτὸς δὲ πλεύσας εἰς Σικελίαν καὶ Σαρδῶνα καὶ Λιβύην, ἤθροιζε σῖτον. ἀνάγεσθαι δὲ μέλλων, πνεύματος μεγάλȣ κατὰ θάλατ]αν ὄν]ος, καὶ τῶν κυβερνητῶν ὀκνȣ́ν]ων, πρῶτος ἐμβὰς καὶ κελεύσας τὴν ἄγκυραν αἴρειν, ἀνεβόησε· Πλεῖν ἀνάγκη, ζῆν ȣ̓κ ἀνάγκη. τοιαύτῃ δὲ τόλμῃ καὶ προθυμίᾳ χρώμενος μετὰ τύχης ἀγαθῆς, ἐνέπλησε σίτȣ τὰ ἐμπόρια, καὶ πλοίων τὴν θάλασσαν· ὥςε καὶ τοῖς ἐκ]ὸς [2] ἀνθρώποις ἐπαρκέσαι τὴν περιȣσίαν ἐκείνης τῆς παρασκευῆς, καὶ γενέσθαι καθάπερ ἐκ πηγῆς ἄφθονον ἐπιῤῥοὴν [3] εἰς πάν]ας.

LI. Ἐν τȣ́τῳ δὲ τῷ χρόνῳ μέγαν ἦραν οἱ Κελτικοὶ πόλεμοι Καίσαρα· καὶ δοκῶν ποῤῥωτάτω τῆς Ῥώμης ἀπεῖναι, καὶ συνηρτῆσθαι [4] Βέλγαις καὶ Σȣήβοις καὶ Βρετ]ανοῖς, ἐλάνθανεν ὑπὸ δεινότητος ἐν μέσῳ τῷ δήμῳ καὶ τοῖς κυριωτάτοις πράγμασι καταπολιτευόμενος τὸν [5] Πομπήϊον. αὐτὸς μὲν γὰρ, ὡς σῶμα, τὴν ςρατιωτικὴν δύναμιν περικείμενος, ȣ̓κ ἐπὶ τȣ̀ς βαρβάρȣς, ἀλλ' ὥσπερ ἐν θήραις καὶ κυνηγεσίοις, τοῖς πρὸς ἐκείνȣς ἀγῶσι γυμνάζων διεπόνει [6], καὶ κατεσκεύαζεν ἄμαχον

1 SG. pro hac voce ποιεῖ, pofitum paulo poft inter Πομπ. & φύσις.

2 extra mare mediterraneum puta habitantibus. R.

3 SG. ἀποῤῥοήν.

4 SG. συνηρτεῖσθαι.

5 abeft τὸν a SG.

6 V. διετέλει. Sic enotatum eft. Voluiffe autem videtur V. διετέλει.

χον καὶ Φοβεράν. χρυσὸν δὲ καὶ [1] ἄργυρον καὶ τἆλλα λάφυρα καὶ τὸν ἄλλον πλῆτον τὸν ἐκ πολεμίων τοσῆτον [2] περιγενόμενον εἰς τὴν Ῥώμην ἀποςέλλων, καὶ διαπειρῶν ταῖς δωροδοκίαις καὶ συγχορηγῶν [3] ἀγορανόμοις καὶ ςρατηγοῖς καὶ ὑπάτοις, καὶ γυναιξὶν αὐτῶν, ᾠκειῆτο πολλάς· ὥςε ὑπερβαλόντος [4] αὐτῆ τὰς Ἄλπεις, καὶ διαχειμάζοντος ἐν Λέκῃ, τῶν μὲν ἄλλων ἀνδρῶν καὶ γυναικῶν ἁμιλλωμένων καὶ Φερομένων [5] πολὺ πλῆθος γενέσθαι, συγκλητικὲς δὲ διακοσίες, ἐν οἷς καὶ Πομπήϊος ἦν καὶ Κράσσος, ἀνθυπάτων δὲ καὶ ςρατηγῶν ἑκατὸν εἴκοσι ῥάβδες ἐπὶ ταῖς Καίσαρος θύραις ὀφθῆναι. τὲς μὲν ἦν ἄλλες ἅπαντας ἐμπλήσας ἐλπίδων καὶ χρημάτων ἀπέςελλε· Κράσσῳ [6] δὲ καὶ Πομπηΐῳ πρὸς αὐτὸν ἐγένοντο συνθῆκαι· μετιέναι [7] μὲν ὑπατείας ἐκείνες, καὶ Καίσαρα συλλαμβάνειν αὐτοῖς πέμποντα τῶν ςρατιωτῶν συχνὲς ἐπὶ τὴν ψῆφον· ἐπὰν δ' αἱρεθῶσι τάχιςα πράττειν μὲν ἑαυτοῖς ἐπαρχιῶν καὶ ςρατοπέδων ἡγεμονίας, Καίσαρι δὲ καὶ τὰς ἕσας βεβαιῆν [8] εἰς ἄλλην πενταετίαν. ἐπὶ τέτοις ἐξενεχθεῖσιν εἰς τὲς πολλὲς, χαλεπῶς ἔφερον οἱ πρῶτοι· καὶ [9] Μαρ-

1 abeſt καὶ a Junt.

2 In V. Mur. & SG. τοσέτων, quod placet Moſi Duſ.

3 SG. συγχωρῶν.

4 R. ſic ſe dediſſe de ſuo monet pro vulg. ὑπερβάλλοντος, cum Caeſar non eodem tempore, quo Alpes trajiciebat, in Italia quoque hiemaverit. Crat. tamen eandem jam exhibet lectionem. Ald. & Junt. accentu mendoſe poſito ὑπερβάλοντος. Steph. ὑπερβάλλοντος. R. partic. καὶ pone Ἄλπεις abeſſe mavult.

5 R. poſt h. v. deeſſe videtur ἰδεῖν, *ruentium Caeſarem videre*,

6 V. praemittit ante h. v. καὶ.

7 Sic legendum jam monuit Steph. & Moſ. Duſ. dari voluit cum Mur. deditque R. pro vulg. μετεῖναι — ἐκείνοις. V. & SG. quoque exhibent ἐκείνες.

8 V. βεβαιῶσαι.

9 abeſt καὶ a SG.

Μαρκέλλινος ἐν τῷ δήμῳ καταςὰς, ἀμφοῖν ἐναντίον ἠρώτησεν, εἰ μετίασιν ὑπατείαν. [ὁ [1]] καὶ τῶν πολλῶν ἀποκρίνεσθαι [2] κελευόντων, πρῶτος Πομπήϊος εἶπεν, ὡς τάχα μὲν δὴ μετέλθοι, τάχα δ' ἐκ ἂν μετέλθοι· Κράσσος δὲ πολιτικώτερον· ἕτω γὰρ ἔφη πράξειν, ὁποτέρως ἂν οἴηται τῷ κοινῷ συνοίσειν. ἐπιφυομένε δὲ Πομπηΐῳ Μαρκελλίνε, καὶ σφοδρῶς λέγειν δοκῦντος, ὁ Πομπήϊος ἔφη, πάντων ἀδικώτατον εἶναι τὸν Μαρκελλῖνον, ὃς χάριν ἐκ ἔχει, λόγιος μὲν ἐξ ἀφώνε δι' αὐτὸν, ἐμετικὸς δ' ἐκ πεινατικῦ γενόμενος.

LII. Οὐ μὴν ἀλλὰ τῶν ἄλλων ἀποςάντων τῦ παραγγέλλειν ὑπατείαν, Λεύκιον Δομίτιον Κάτων ἔπεισε καὶ παρεθάῤῥυνε μὴ ἀπειπεῖν· ἐ γὰρ ὑπὲρ ἀρχῆς, ἀλλ' ὑπὲρ ἐλευθερίας εἶναι τὸν ἀγῶνα πρὸς τὲς τυράννες. οἱ δὲ περὶ τὸν Πομπήϊον φοβηθέντες τὸν τόνον τῦ Κάτωνος, μὴ τὴν βελὴν ἔχων ἅπασαν, ἀποσπάσῃ καὶ μεταβάλῃ [3] τῦ δήμε τὸ ὑγιαῖνον, ἐκ εἴασαν εἰς ἀγορὰν κατελθεῖν τὸν Δομίτιον, ἀλλ' ἐπιπέμψαντες ἐν ὅπλοις [4] ἄνδρας, ἀπέκτειναν μὲν τὸν [5] προηγέμενον λυχνοφόρον, ἐτρέψαντο δὲ τὲς ἄλλες· ἔσχατος δὲ Κάτων ἀνεχώρησε, τρωθεὶς τὸν δεξιὸν πῆχυν, ἀμυνόμενος πρὸ τῦ Δομιτίε. τοιαύτῃ δ' ὁδῷ παρελθόντες ἐπὶ τὴν ἀρχὴν, ἐδὲ τἆλλα κοσμιώτερον ἔπραττον. ἀλλὰ πρῶτον μὲν τὸν Κάτωνα τῦ δήμε ςρατηγὸν αἱρεμένε, καὶ τὴν ψῆφον ἐπιφέροντος, Πομπήϊος ἔλυσε τὴν ἐκκλησίαν, οἰωνὲς αἰτιώμενος· Ἀντίαν [6] δὲ καὶ Βατίνιον

1 R. ut vitiose redundans, uncis inclusit ὁ. Anon. & Mur. ᾧ καὶ, quod Mos. Bus. probavit. Fuisse olim in libris duplicem lectionem, adnotat R. alteram, καὶ τῶν πολλῶν sine ὁ, alteram πρὸς ὃ τῶν π.

2 SG. ἀποκρίνασθαι.

3 SG. μεταβάλλῃ.

4 V. Anon. Mur. ἐνόπλες, quod Br. probat.

5 Sic Xyl. legendum monet, & exhibet Anon. deditque R. pro vulg. Μίλιτον. Mur. mendose μετὰ τὸν.

6 Mendosum censet hoc nomen Xylander. Mur. Οὐατίαν.

νιον ἀνηγόρευσαν, ἀργυρίῳ τὰς φυλὰς διαφθείραντες. ἔπειτα νόμους διὰ Τρεβωνίου δημαρχοῦντος εἰσέφερον, Καίσαρι μὲν, ὥσπερ ὡμολόγητο, δευτέραν ἐπιμετροῦντας πενταετίαν, Κράσσῳ δὲ Συρίαν καὶ τὴν ἐπὶ Πάρθους στρατείαν διδόντας [1]· αὐτῷ δὲ Πομπηΐῳ Λιβύην ἅπασαν, καὶ Ἰβηρίαν ἑκατέραν, καὶ τέσσαρα τάγματα στρατιωτῶν, ὧν ἐπέχρησε δύο Καίσαρι δεηθέντι πρὸς τὸν ἐν Γαλατίᾳ πόλεμον. ἀλλὰ Κράσσος μὲν ἐξῆλθεν εἰς τὴν ἐπαρχίαν, ἀπαλλαγεὶς τῆς ὑπατείας [2], Πομπήϊος δὲ τὸ θέατρον ἀναδείξας, ἀγῶνας ἦγε γυμνικοὺς καὶ μουσικοὺς ἐπὶ τῇ καθιερώσει, καὶ θηρῶν [3] ἁμίλλας, ἐν οἷς πεντακόσιοι λέοντες ἀνῃρέθησαν. ἐπὶ πᾶσι δὲ τὴν ἐλεφαντομαχίαν, ἐκπληκτικώτατον θέαμα, παρέσχεν.

LIII. Ἐπὶ τούτοις δὲ θαυμασθεὶς καὶ ἀγαπηθεὶς, αὖθις οὐκ ἐλάττονα φθόνον ἔσχεν, ὅτι πρεσβευταῖς φίλοις παραδοὺς τὰ στρατεύματα καὶ τὰς ἐπαρχίας, αὐτὸς ἐν τοῖς περὶ τὴν Ἰταλίαν ἡβητηρίοις, μετιὼν ἄλλοτε ἀλλαχόσε, μετὰ τῆς γυναικὸς διῆγεν, εἴτ' ἐρῶν αὐτῆς, εἴτ' ἐρῶσαν οὐχ ὑπομένων ἀπολιπεῖν. καὶ γὰρ καὶ τοῦτο λέγεται, καὶ περιβόητον ἦν τῆς κόρης τὸ φίλανδρον, οὐ καθ' ὥραν ποθούσης τὸν Πομπήϊον· ἀλλ' αἴτιον ἔοικεν ἥ τε σωφροσύνη τοῦ ἀνδρὸς εἶναι, μόνην γινώσκοντος τὴν γεγαμημένην, ἥ τε σεμνότης, οὐκ ἄκριτον [4], ἀλλ' εὔχαριν ἔχουσα τὴν ὁμιλίαν, καὶ μάλιστα γυναικῶν ἀγωγὸν, εἰ δεῖ μηδὲ Φλῶραν ἁλῶναι τὴν ἑταίραν ψευδομαρτυριῶν. ἐν δ' οὖν ἀγορανομικοῖς ἀρχαιρεσίοις εἰς χεῖρας τινῶν ἐλθόντων, καὶ φονευθέντων περὶ αὐτὸν οὐκ ὀλί-

1 V. διδόντος.

2 Xyl. vertit *omisso consulatu*, cum *consul* in provinciam sit profectus.

3 Sic R. e Junt. & Ald. se restituisse monet pro vulg. θερῶν. Haec lectio sola est in Br. In Crat. quoque & Steph. est θηρῶν. In Frft. autem θυρῶν.

4 Mur. & SG. ἄκρατον, quod legi voluit Mos. Duf.

ὀλίγων, ἀναπλησθεὶς αἵματος ἤλλαξε τὰ ἱμάτια. πολλοῦ δὲ θορύβου καὶ δρόμου πρὸς τὴν οἰκίαν γενομένου τῶν κομιζόντων τὰ ἱμάτια θεραπόντων, ἔτυχε μὲν ἡ κόρη κύουσα, θεασαμένη δὲ καθημαγμένην τὴν τήβεννον [1], ἐξέλιπε, καὶ μόλις ἀνήνεγκεν· ἐκ δὲ τῆς ταραχῆς ἐκείνης καὶ τοῦ πάθους ἀπήμβλωσεν. ὅθεν οὐδ' οἱ μάλιστα μεμφόμενοι τὴν πρὸς Καίσαρα τοῦ [2] Πομπηΐου φιλίαν, ᾐτιῶντο τὸν ἔρωτα τῆς γυναικός. αὖθις μέντοι κυήσασα, καὶ τεκοῦσα θῆλυ παιδίον, ἐκ τῶν ὠδίνων ἐτελεύτησε, καὶ τὸ παιδίον οὐ πολλὰς ἡμέρας ἐπέζησε. παρεσκευασμένου δὲ Πομπηΐου [3] τὸ σῶμα θάπτειν ἐν Ἀλβανῷ, βιασάμενος ὁ δῆμος εἰς τὸ Ἄρειον πεδίον κατήνεγκεν [4], οἴκτῳ τῆς κόρης μᾶλλον, ἢ Πομπηΐῳ καὶ Καίσαρι χαριζόμενος. αὐτῶν δ' ἐκείνων μεῖζον ἐδόκει μέρος ἀπόντι Καίσαρι νέμειν ὁ δῆμος, ἢ Πομπηΐῳ παρόντι τῆς τιμῆς. εὐθὺς γὰρ ἐκύμαινεν ἡ πόλις, καὶ πάντα τὰ πράγματα σάλον εἶχε καὶ λόγους διαστατικούς, ὡς ἡ πρότερον παρακαλύπτουσα μᾶλλον, ἢ κατείργουσα τῶν ἀνδρῶν τὴν φιλαρχίαν οἰκειότης ἀνῄρηται. μετ' οὐ πολὺ δὲ καὶ Κράσσος ἐν Πάρθοις ἀπολωλὼς ἠγγέλλετο· καὶ τοῦτο κώλυμα ὂν [5] μέγα τοῦ συμπεσεῖν τὸν ἐμφύλιον πόλεμον, ἐκποδὼν ἐγεγόνει. δεδιότες γὰρ ἐκεῖνον ἀμφότεροι, τοῖς πρὸς ἀλλήλους ἁμωσγέπως ἐνέμενον δικαίοις. ἐπεὶ δ' ἀνεῖλεν ἡ τύχη τὸν ἔφεδρον τοῦ ἀγῶνος, εὐθὺς ἦν εἰπεῖν τὸ κωμικόν·

Ὡς ἅτερος πρὸς τὸν ἕτερον ὑπαλείφεται,
Τὼ χεῖρέ τε ὑποκονίεται [6].

οὕτως

1 V. καθειμένην τὴν τίβενναν.
2 abest τοῦ a SG.
3 SG. τοῦ Π.
4 SG. ἀνήνεγκεν.
5 Anon. & Mur. καὶ οὗτος κ. ὢν, quod non ſpernendum cenſet Moſ. Duſ.
6 SG. ὑποκρίνεται.

ὅτως ἡ τύχη μικρόν ἐςι πρὸς τὴν φύσιν. ὐ γὰρ ἀποπίμπλησιν αὐτῆς τὴν ἐπιθυμίαν, ὅπυ τοσῦτον βάθος [1] ἡγεμονίας καὶ μέγεθος εὐρυχωρίας δυοῖν ἀνδροῖν [2] ὐκ ἐπέχεν, ἀλλ' ἀκύοντες καὶ ἀναγινώσκοντες, ὅτι τριχθὰ δὲ πάντα δέδαςαι τοῖς θεοῖς [3], ἕκαςος δ' ἔμμορε τιμῆς, ἑαυτοῖς ὐκ ἐνόμιζον ἀρκεῖν δυσὶν ὖσι τὴν Ῥωμαίων ἀρχήν.

LIV. Καίτοι Πομπήϊος εἶπε τότε [4] δημηγορῶν, ὅτι πᾶσαν ἀρχὴν λάβοι πρότερον, ἢ προσεδόκησε, καὶ κατάθοιτο θᾶττον, ἢ προσεδοκήθη. καὶ νὴ Δία μαρτυρέσας εἶχεν ἀεὶ τὰς διαλύσεις τῶν ςρατοπέδων. τότε δὲ τὸν Καίσαρα δοκῶν ὐ προήσεσθαι τὴν δύναμιν, ἐζήτει ταῖς πολιτικαῖς ἀρχαῖς ὀχυρὸς εἶναι πρὸς αὐτὸν, ἄλλο δ' ὐδὲν ἐνεωτέριζεν, ὐδ' ἐβύλετο δοκεῖν ἀπιςεῖν, ἀλλ' ὑπερορᾶν μᾶλλον καὶ καταφρονεῖν. ἐπεὶ δὲ τὰς ἀρχὰς ὐ κατὰ γνώμην ἑώρα βραβευομένας, δεκαζομένων τῶν πολιτῶν, ἀναρχίαν ἐν τῇ πόλει περιεῖδε γενομένην· καὶ λόγος εὐθὺς ἐχώρει πολὺς ὑπὲρ δικτάτωρος [5], ὃν πρῶτος εἰς μέσον ἐξενεγκεῖν ἐτόλμησε Λυκίλλιος ὁ δήμαρχος, τῷ δήμῳ παραινῶν ἑλέσθαι δικτάτωρα Πομπήϊον. ἐπιλαβομένυ δὲ Κάτωνος, ὗτος μὲν ἐκινδύνευσε τὴν δημαρχίαν ἀποβαλεῖν· ὑπὲρ δὲ Πομπηΐυ πολλοὶ τῶν φίλων ἀπελογῦντο παριόντες, ὡς ὐ δεομένυ τῆς ἀρχῆς ἐκείνης, ὐδὲ βυλομένυ. Κάτωνος δὲ Πομπήϊον ἐπαινέσαντος, καὶ προτρεψαμένυ τῆς εὐκοσμίας ἐπιμεληθῆναι,

1 Observari vult Mos. Dus. hunc usum vocis βάθυς, ei simillimum, quem usurpavit Paul. Rom. XI, 33.

2 Deesse post h. v. φιλοτιμίαν, aut φιλονεικίαν, aut ἔριν, monet R. Idem sentit Mos. Dus. aliam tamen subjungens conjecturam εὐρυχωρίᾳ δυοῖν ἀνδροῖν ὐκ ἐπήρκει.

3 Verba Neptuni, ob imperata Jovis indignantis, Homer. Iliad. XV, 189.

4 Mos. Duf. susp. πότε (potius ποτὲ) cum sequatur τότε δέ.

5 SG. hic & infra δικτάτορος.

θῆναι, τότε μὲν αἰδεσθεὶς ἐπεμελήθη, καὶ κατεςάθησαν ὕπατοι Δομίτιος καὶ Μεσσάλας [1]. ὕςερον δὲ πάλιν ἀναρχίας γινομένης, καὶ πλειόνων ἤδη τὸν περὶ τȣ̃ δικτάτωρος λόγον ἐγειρόντων ἰταμώτερον, φοβηθέντες οἱ περὶ Κάτωνα, μὴ βιασθῶσιν, ἔγνωσαν ἀρχήν τινα τῷ Πομπηΐῳ προέμενοι νόμιμον ἀποτρέψαι τῆς ἀκράτȣ καὶ τυραννικῆς ἐκείνης. καὶ Βίβλος ἐχθρὸς ὢν Πομπηΐῳ, πρῶτος ἀπεφήνατο γνώμην ἐν συγκλήτῳ, Πομπήϊον μόνον ἑλέσθαι ὕπατον· ἢ γὰρ ἀπαλλαγήσεσθαι τῆς παρȣ́σης τὴν πόλιν ἀκοσμίας, ἢ δȣλεύσειν τῷ κρατίςῳ. φανέντος δὲ παραδόξȣ τȣ̃ λόγȣ διὰ τὸν εἰπόντα, Κάτων ἀνας ὰς, καὶ παραςχὼν δόκησιν, ὡς ἀντιλέξοι, γενομένης σιωπῆς, εἶπε, τὴν προκειμένην γνώμην αὐτὸς μὲν ȣ̓κ ἂν εἰσενεγκεῖν, εἰσενηνεγμένην δ᾽ ὑφ᾽ ἑτέρȣ, πείθεσθαι κελεύειν· πᾶσαν μὲν ἀρχὴν μᾶλλον αἱρȣ́μενος ἀναρχίας, Πομπηΐȣ δὲ μηδένα βέλτιον ἄρξειν ἐν ταραχαῖς τηλικαύταις νομίζων. δεξαμένης δὲ τῆς βȣλῆς, καὶ ψηφισαμένης, ὅπως ὕπατος αἱρεθεὶς ὁ Πομπήϊος ἄρχοι μόνος, εἰ δ᾽ αὐτὸς συνάρχοντος δεηθείη, μὴ θᾶττον δυοῖν μηνοῖν δοκιμάσας ἕλοιτο· κατας αθεὶς ȣ̃τως καὶ ἀποδειχθεὶς διὰ Σȣλπικίȣ μεσοβασιλέως ὕπατος, ἠσπάζετο φιλοφρόνως τὸν Κάτωνα, πολλὴν ὁμολογῶν χάριν ἔχειν, καὶ παρακαλῶν γίνεσθαι σύμβȣλον ἰδίᾳ τῆς ἀρχῆς. Κάτων δὲ χάριν μὲν ἔχειν αὐτῷ τὸν Πομπήϊον ȣ̓κ ἠξίȣ· δι᾽ ἐκεῖνον γὰρ ὧν εἶπεν ȣ̓δὲν εἰπεῖν, διὰ δὲ τὴν πόλιν· ἔσεσθαι δὲ σύμβȣλος ἰδίᾳ παρακαλȣ́μενος· ἐὰν δὲ μὴ παρακαλῆται, δημοσίᾳ φράσειν [2] τὸ φαινόμενον. τοιȣ̃τος μὲν ȣ̃ν Κάτων ἐν πᾶσι.

LV. Πομπήϊος δὲ παρελθὼν εἰς τὴν πόλιν, ἔγημε Κορνηλίαν, θυγατέρα Μετέλλȣ Σκιπίωνος [3], ȣ̓ παρθένον, ἀλλὰ χήραν ἀπολελειμμένην νεωςὶ Ποπλίȣ, τȣ̃ Κράσ-



1 SG. Μεσάλας; Id. lin. seq. τῶν περὶ pro τὸν π.
2 Junt. Ald. Crat. SG. φράζειν.
3 SG. Σκηπίωνος. Sic & infra.

Κράσσου παιδὸς, ᾧ συνῴκησεν ἐκ παρθενίας, ἐν Πάρθοις τεθνηκότος. ἐνῆν δὲ τῇ κόρῃ πολλὰ φίλτρα δίχα τῶν ἀφ' ὥρας. καὶ γὰρ περὶ γράμματα καλῶς ἤσκητο, καὶ περὶ λύραν καὶ γεωμετρίαν· καὶ λόγων φιλοσόφων εἴθιστο χρησίμως ἀκούειν. καὶ προσῆν τούτοις ἦθος ἀηδίας καὶ περιεργίας καθαρὸν, ἃ δὴ νέαις προστρίβεται γυναιξὶ τὰ τοιαῦτα μαθήματα· πατὴρ δὲ καὶ γένους ἕνεκα καὶ δόξης ἄμεμπτος. ἀλλ' ὅμως τοῦ γάμου τοῖς μὲν οὐκ ἤρεσκε τὸ μὴ καθ' ἡλικίαν· υἱῷ γὰρ αὐτοῦ συνοικεῖν ὥραν εἶχεν ἡ Κορνηλία μᾶλλον. οἱ δὲ κομψότεροι τὸ τῆς πόλεως ἡγοῦντο παρεωρακέναι τὸν Πομπήϊον, ἐν τύχαις οὔσης, ὧν ἐκεῖνον ἰατρὸν ᾕρηται, καὶ μόνῳ παραδέδωκεν αὐτήν. ὁ δὲ στεφανοῦται καὶ θύει γάμους, αὐτὴν τὴν ὑπατείαν ὀφείλων ἡγεῖσθαι συμφορὰν, οὐκ ἂν οὕτω παρανόμως δοθεῖσαν εὐτυχούσης τῆς πατρίδος. ἐπεὶ δὲ ταῖς δίκαις τῶν δωροδοκιῶν καὶ δεκασμῶν ἐπιστὰς, καὶ νόμους γράψας, καθ' οὓς αἱ κρίσεις ἐγίνοντο, τὰ μὲν ἄλλα σεμνῶς ἐβράβευε καὶ καθαρῶς, ἀσφάλειαν ἅμα καὶ κόσμον καὶ ἡσυχίαν, αὐτοῦ προκαθημένου [1] μεθ' ὅπλων, τοῖς δικαστηρίοις παρέχων· Σκιπίωνος δὲ τοῦ πενθεροῦ κρινομένου, μεταπεμψάμενος οἴκαδε τοὺς ἑξήκοντα καὶ τοὺς τριακοσίους δικαστὰς, ἐνέτυχε βοηθεῖν· ὁ δὲ κατήγορος ἀπέστη τῆς δίκης, ἰδὼν τὸν Σκιπίωνα προπεμπόμενον ἐξ ἀγορᾶς ὑπὸ τῶν δικαστῶν. πάλιν οὖν ἤκουε κακῶς· ἔτι δὲ μᾶλλον, ὅτι λύσας νόμῳ τοὺς γινομένους [2] περὶ τῶν κρινομένων ἐπαίνους, αὐτὸς εἰσῆλθε Πλάγκον [3] ἐπαινεσόμενος. καὶ Κάτων (ἔτυχε γὰρ κρίνων) ἐπισχόμενος τὰ ὦτα ταῖς χερσὶν, οὐκ ἔφη καλῶς ἔχειν αὐτῷ παρὰ τὸν νόμον ἀκούειν τῶν ἐπαίνων. ὅθεν ὁ μὲν Κάτων ἀπεβλήθη πρὸ τοῦ φέρειν τὴν ψῆφον· ἑάλω δὲ ταῖς ἄλλαις ὁ Πλάγκος, σὺν αἰσχύνῃ τοῦ Πομ-

1 SG. προσκαθημένου.
2 Hanc lectionem R. restituit. Br. dedit γενομένους.
3 SG. hic & infra Πλάκκον. Sic & Junt.

Πομπηΐȣ. καὶ γὰρ ὀλίγαις ὕςερον ἡμέραις Ὑψαῖος, ἀνὴρ ὑπατικὸς, δίκην φεύγων, καὶ παραφυλάξας τὸν Πομπήϊον ἐπὶ δεῖπνον ἀπιόντα λελȣμένον, ἱκέτευε τῶν γονάτων λαβόμενος. ὁ δὲ παρῆλθεν ὑπεροπτικῶς, εἰπὼν διαφθείρειν τὸ δεῖπνον αὐτȣ͂, ἄλλο δὲ μηδὲν περαίνειν. ȣ̔́τως ȣ͂ν ἄνισος εἶναι δοκῶν αἰτίας εἶχε. τὰ δ' ἄλλα καλῶς ἅπαντα κατέςησεν εἰς τάξιν, καὶ προείλετο [1] συνάρχοντα τὸν πενθερὸν εἰς τȣ̀ς ὑπολοίπȣς πέντε μῆνας. ἐψηφίσθη δ' αὐτῷ τὰς ἐπαρχίας ἔχειν εἰς ἄλλην τετραετίαν, καὶ χίλια τάλαντα λαμβάνειν καθ' ἕκαςον ἐνιαυτὸν, ἀφ' ὧν θρέψει καὶ διοικήσει τὸ ςρατιωτικόν.

LVI. Οἱ δὲ Καίσαρος φίλοι ταύτην ἀρχὴν λαβόντες, ἠξίȣν τινὰ γενέσθαι καὶ Καίσαρος λόγον, ἀγωνιζομένȣ τοσȣ́τȣς ἀγῶνας ὑπὲρ τῆς ἡγεμονίας [2]· ἢ γὰρ ὑπατείας ἄξιον εἶναι τυχεῖν ἑτέρας, ἢ προσλαβεῖν τῇ ςρατείᾳ χρόνον, ἐν ᾧ [3] τῶν πεπονημένων ȣ̓κ ἄλλος ἐπελθὼν ἀφαιρήσεται τὴν δόξαν, ἀλλ' αὐτὸς ἄρξει καὶ τιμήσεται καθ' ἡσυχίαν ὁ κατεργασάμενος. ȣ̓́σης δὲ περὶ τȣ́των ἁμίλλης, ὡς δὴ παραιτȣ́μενος ὑπὲρ τȣ͂ Καίσαρος ἐπ' εὐνοίᾳ τὸν φθόνον ὁ Πομπήϊος, ἔφη γράμματα Καίσαρος ἔχειν, βȣλομένȣ λαβεῖν διάδοχον, καὶ παύσασθαι τῆς ςρατείας· ὑπατείας μέντοι καὶ μὴ παρόντι καλῶς ἔχειν αἴτησιν αὐτῷ δοθῆναι. πρὸς ταῦτα ἐνιςαμένων τῶν περὶ Κάτωνα, καὶ κελευόντων ἰδιώτην γενόμενον καὶ τὰ ὅπλα καταθέμενον εὑρίσκεσθαί τι παρὰ [4] τῶν πολιτῶν ἀγαθὸν, ȣ̓κ ἐξερίσας, ἀλλ' οἷον ἡττηθεὶς ὁ Πομπήϊος, ὕποπτος ἦν μᾶλλον ὧν ἐφρόνει περὶ Καίσαρος. ἔπεμψε δὲ καὶ τὰς δυνάμεις ἀπαιτῶν, ἃς ἔχρη-



1 SG. προσείλετο.

2 SG. ἐλευθερίας, quod placuit Dacerio, caufam afferenti, quod nunquam obfervarit, ἡγεμονίαν rempubl. fignificare.

3 Anon. & Mur. ἐφ' ᾧ.

4 Junt. Ald. Crat. περὶ.

ἔχρησεν αὐτῷ, τὰ Παρθικὰ ποιούμενος πρόφασιν. ὁ δὲ, καίπερ εἰδὼς, ἐφ' οἷς ἀπῃτεῖτο τοὺς στρατιώτας, ἀπέπεμψε καλῶς δωρησάμενος.

LVII. Ἐκ τούτου δὲ Πομπήϊος ἐν Νεαπόλει νοσήσας ἐπισφαλῶς ἀνέῤῥωσε. Πραξαγόρου δὲ πείσαντος τοὺς Νεαπολίτας, ἔθυσαν ὑπὲρ αὐτοῦ σωτήρια. μιμουμένων δὲ τούτους τῶν προσοίκων, καὶ τοῦ πράγματος οὕτω περιϊόντος τὴν Ἰταλίαν πᾶσαν, καὶ μικρὰ καὶ μεγάλη πόλις ἐφ' ἡμέρας πολλὰς ἑώρταζε. τοὺς δ' ἀπαντῶντας πανταχόθεν οὐδεὶς ἐχώρει τόπος, ἀλλ' ὁδοί τε κατεπίμπλαντο, καὶ κῶμαι καὶ λιμένες εὐωχουμένων καὶ θυόντων. πολλοὶ δὲ καὶ στεφανηφοροῦντες ὑπὸ λαμπάδων ἐδέχοντο καὶ παρέπεμπον ἀνθοβολούμενον· ὥστε τὴν κομιδὴν αὐτοῦ καὶ πορείαν, θέαμα κάλλιστον εἶναι καὶ λαμπρότατον. οὐδενὸς μέντοι τοῦτο λέγεται τῶν ἀπεργασαμένων τὸν πόλεμον αἰτιῶν ἔλαττον γενέσθαι. Φρόνημα γὰρ εἰσῆλθεν ὑπεραῖρον ἅμα τῷ μεγέθει τῆς χαρᾶς τοὺς ἀπὸ τῶν πραγμάτων λογισμούς· καὶ τὴν εἰς ἀσφαλὲς ἀεὶ τὰ εὐτυχήματα καὶ τὰς πράξεις αὐτοῦ θεμένην εὐλάβειαν προέμενος, εἰς ἄκρατον ἐξέπεσε θράσος καὶ περιφρόνησιν τῆς Καίσαρος δυνάμεως, ὡς οὔτε ὅπλων ἐπ' αὐτὸν, οὔτε τινὸς ἐργώδους πραγματείας δεησόμενος, ἀλλὰ πολὺ ῥᾷον [1] καθαιρήσων, ἢ πρότερον ηὔξησε τὸν ἄνδρα. πρὸς δὲ τούτοις Ἄππιος ἀφίκετο κομίζων ἐκ Γαλατίας ἣν ἔχρησε Πομπήϊος Καίσαρι στρατιάν [2]· καὶ πολλὰ μὲν ἐξεφλαύρισε τὰς ἐκεῖ πράξεις, καὶ λόγους ἐξέφερε βλασφήμους περὶ Καίσαρος, αὐτὸν δὲ Πομπήϊον ἀπείρως ἔχειν ἔλεγε τῆς αὐτοῦ δυνάμεως καὶ δόξης, ἑτέροις ὅπλοις πρὸς Καίσαρα φραγνύμενον, ὃν αὐτοῖς κατεργάσεται τοῖς ἐκείνου στρατεύμασιν, ὅταν πρῶτον ὀφθῇ· τοσοῦτον καὶ μίσους πρὸς Καίσαρα, καὶ πόθου πρὸς Πομπήϊον

1 Sic R. de suo dedit pro vulg. ῥᾴδιον.
2 SG. στρατείαν, & paulo post ἐξεφλαύρησε pro ἐξεφλαύρισε.

πήϊον ἐνυπάρχειν αὐτοῖς. ὕτω δ' ὖν ὁ Πομπήϊος ἐπήρθη, καὶ τοιαύτης καὶ τοσαύτης ὀλιγαρίας διὰ τὸ θαῤῥεῖν ἐγένετο μεςὸς, ὥςε καὶ τῶν δεδιότων τὸν πόλεμον κατεγέλα, καὶ τὺς λέγοντας, ἂν ἐλαύνῃ Καῖσαρ ἐπὶ τὴν πόλιν, ὐχ ὁρᾷν δυνάμεις, αἷς αὐτὸν ἀμυνῦνται, μειδιῶν τῷ προσώπῳ καὶ διακεχυμένος [1] ἀμελεῖν ἐκέλευσεν· Ὅπυ γὰρ ἂν, ἔφη, τῆς Ἰταλίας ἐγὼ κρύσω τῷ ποδὶ τὴν γῆν, ἀναδύσονται καὶ πεζικαὶ καὶ ἱππικαὶ δυνάμεις.

LVIII. Ἤδη δὲ καὶ Καῖσαρ ἐπεφύετο τοῖς πράγμασιν ἐῤῥωμενέςερον, αὐτὸς μὲν ὐκ ἔτι μακρὰν τῆς Ἰταλίας ἀπαίρων, εἰς δὲ τὴν πόλιν ἀεὶ τὺς ςρατιώτας ἀποςέλλων ἀρχαιρεσιάσοντας, χρήμασι δὲ πολλὺς ὑποικυρῶν καὶ διαφθείρων ἄρχοντας· ὧν καὶ Παῦλος ἦν ὁ ὕπατος, ἐπὶ χιλίοις καὶ πεντακοσίοις ταλάντοις μεταβαλλόμενος· καὶ Κυρίων ὁ δήμαρχος, ἀμηχάνῳ πλήθει δανείων ἐλευθερωθεὶς ὑπ' αὐτῦ· καὶ Μάρκος Ἀντώνιος, διὰ φιλίαν Κυρίωνος, ὧν ὠφείλετο μετέχων. ἐλέχθη [2] μὲν ὖν, ὅτι τῶν ἀφιγμένων τις ἀπὸ Καίσαρος ταξιαρχῶν ἑςὼς παρὰ τὸ βυλευτήριον, καὶ πυθόμενος, ὡς ὐ δίδωσιν ἡ βυλὴ Καίσαρι χρόνον τῆς ἀρχῆς, εἶπεν ἐπικρύων τῇ χειρὶ τὸ ξίφος· Ἀλλὰ τῦτο δώσει. καὶ τὰ πραττόμενα καὶ τὰ παρασκευαζόμενα ταύτην εἶχε τὴν διάνοιαν. αἱ μέντοι Κυρίωνος ἀξιώσεις καὶ παρακλήσεις ὑπὲρ Καίσαρος ἐφαίνοντο δημοτικώτεραι. δυεῖν γὰρ ἠξίυ θάτερον, ἢ καὶ Πομπήϊον ἀπαιτεῖν, ἢ μηδὲ Καίσαρος ἀφαιρεῖσθαι τὸ ςρατιωτικόν· ἢ γὰρ ἰδιώτας γενομένυς, ἐπὶ τοῖς δικαίοις, ἢ μένοντας ἀντιπάλυς, ἐφ' οἷς ἔχυσιν ἀτρεμήσειν. ὁ δὲ τὸν ἕτερον ἀσθενῆ ποιῶν, ἣν φοβεῖται [3] δύναμιν διπλασιάζει. πρὸς ταῦτα Μαρκέλλυ τῦ ὑπάτυ λῃςὴν ἀποκαλῦντος τὸν Καίσαρα, καὶ ψηφί-



1 R. susp. μειδιῶν καὶ τῷ προσώπῳ διακεχυμένος. Seq. ἀμελεῖν deest soli Juntinae.

2 Junt. Ald. Crat. ἐλέγχθη.

3 scil. alter, cujus opes sunt minuendae.

ψηφίζεσθαι πολέμιον κελεύοντος, εἰ μὴ καταθήσεται τὰ ὅπλα, Κερίων ὅμως ἴσχυσε μετ' Ἀντωνίε καὶ Πείσωνος ἐξελέγξαι τὴν σύγκλητον. ἐκέλευσε γὰρ μεταςῆναι τὲς Καίσαρα μόνον [1] τὰ ὅπλα καταθέσθαι κελεύοντας, Πομπήϊον δ' ἄρχειν· καὶ μετέστησαν οἱ πλεῖες. αὖθις δὲ μεταςῆναι κελεύσαντος ὅσοις [2] ἀμφοτέρες ἀρέσκει τὰ ὅπλα καταθέσθαι, καὶ μηδέτερον ἄρχειν, Πομπηΐῳ μὲν εἴκοσι καὶ δύο μόνον [3], Κερίωνι δὲ πάντες οἱ λοιποὶ προσέθεντο. κἀκεῖνος μὲν ὡς νενικηκὼς, λαμπρὸς ὑπὸ χαρᾶς εἰς τὸν δῆμον ἐξήλατο, κρότῳ καὶ βολαῖς ςεφάνων καὶ ἀνθῶν δεξαμένων [4] αὐτόν. ἐν δὲ τῇ βελῇ Πομπήϊος ἐ παρῆν· οἱ γὰρ ἄρχοντες ςρατοπέδων εἰς τὴν πόλιν ἐκ εἰσίασι. Μάρκελλος δ' ἀνασὰς, ἐκ ἔφη λέγων ἀκροάσεσθαι καθήμενος, ἀλλ' ὁρῶν ὑπερφαινόμενα τῶν Ἄλπεων ἤδη δέκα τάγματα βαδίζειν, καὶ αὐτὸς ἐκπέμψειν τὸν ἀντιταξόμενον αὐτοῖς ὑπὲρ τῆς πατρίδος.

LIX. Ἐκ τέτε τὰς ἐσθῆτας ὡς ἐπὶ πένθει μετεβάλλοντο [5]. Μάρκελλος δὲ πρὸς Πομπήϊον δι' ἀγορᾶς ἐβάδιζε, τῆς βελῆς ἑπομένης, καὶ καταςὰς ἐναντίος· Κελεύω σε, εἶπεν, ὦ Πομπήϊε, βοηθεῖν τῇ πατρίδι, καὶ χρῆσθαι ταῖς παρεσκευασμέναις δυνάμεσι, καὶ καταλέγειν ἑτέρας. τὰ δ' αὐτὰ ταῦτα καὶ Λέντλος ἔλεγε, τῶν ἀποδεδειγμένων εἰς τὸ μέλλον ὑπάτων ἅτερος. ἀρξαμένε δὲ τε Πομπηΐε καταλέγειν, οἱ μὲν ἐχ ὑπήκεον, ὀλίγοι δὲ γλίσχρως καὶ ἀπροθύμως συνῄεσαν, οἱ δὲ [6] πλεῖες

1 SG. μόνα.

2 V. ὅσοι.

3 R post h. v. deesse videtur παρέμειναν, *manserunt in partibus Pompeji*, cum minus huc quadret προσέθεντο.

4 Pro ἀνθῶν V. ἀνθέων. R. susp. δεξιέμενον, ut ad δῆμον referatur, quemadmodum αὐτὸν ad Curionem redit. Mos. Dus. de δεξάμενοι cogitavit, nisi Plut. toties in vocibus collectivis ita loqui soleret.

5 Sic R. cum SG. dedit pro vulg. μετεβάλλοντο.

6 SG. αἱ δέ.

πλείους διαλύσεις ἐβόων. καὶ γὰρ ἀνέγνω τινὰ Καίσαρος ἐπιστολὴν Ἀντώνιος ἐν τῷ δήμῳ, βιασάμενος τὴν βουλὴν, ἔχουσαν ἐπαγωγοὺς ὄχλου προκλήσεις. ἠξίου [1] γὰρ ἀμφοτέρους ἐκβάντας τῶν ἐπαρχιῶν, καὶ τὰς στρατιωτικὰς δυνάμεις ἀφέντας, ἐπὶ τῷ δήμῳ γενέσθαι, καὶ τῶν πεπραγμένων εὐθύνας ὑποσχεῖν. οἱ δὲ περὶ Λέντλον ὑπατεύοντες ἤδη, βουλὴν οὐ συνῆγον· ἄρτι δ' ἐκ Κιλικίας ἀφιγμένος Κικέρων, ἔπραττε διαλλαγὰς, ὅπως Καῖσαρ ἐξελθὼν Γαλατίας, καὶ τὴν ἄλλην στρατείαν ἀφεὶς πᾶσαν, ἐπὶ δυσὶ τάγμασι καὶ τῷ Ἰλλυρικῷ τὴν δευτέραν ὑπατείαν περιμένῃ. Πομπηΐου δὲ δυσκολαίνοντος, ἐπείσθησαν οἱ Καίσαρος φίλοι θάτερον [2] ἀφεῖναι. Λέντλου δ' ἀντικρούσαντος, καὶ Κάτωνος αὖθις ἁμαρτάνειν τὸν Πομπήϊον ἐξαπατώμενον βοῶντος, οὐκ ἔσχον αἱ διαλύσεις πέρας.

LX. Ἐν τούτῳ δ' ἀπηγγέλλετο [3] Καῖσαρ Ἀρίμινον, πόλιν μεγάλην τῆς Ἰταλίας, κατειληφὼς, καὶ βαδίζων ἄντικρυς ἐπὶ τὴν Ῥώμην μετὰ πάσης τῆς δυνάμεως. τοῦτο δ' ἦν ψεῦδος. ἐβάδιζε γὰρ οὐ πλείονας ἔχων ἱππέων τριακοσίων, καὶ πεντακισχιλίων ὁπλιτῶν· τὴν δ' ἄλλην δύναμιν ἐπέκεινα τῶν Ἄλπεων οὖσαν οὐ περιέμενεν, ἐμπεσεῖν ἄφνω τεταραγμένοις καὶ μὴ προσδοκῶσι βουλόμενος μᾶλλον, ἢ χρόνον δοὺς ἐκ παρασκευῆς μάχεσθαι. καὶ γὰρ ἐπὶ τὸν Ῥουβικῶνα ποταμὸν ἐλθὼν, ὃς ἀφώριζεν αὐτῷ τὴν δεδομένην ἐπαρχίαν, ἔστη σιωπῇ, καὶ διεμέλλησεν αὐτὸς ἄρα πρὸς ἑαυτὸν συλλογιζόμενος τὸ μέγεθος τοῦ τολμήματος. εἶτα ὥσπερ οἱ πρὸς βάθος ἀφιέντες ἀχανὲς ἀπὸ κρημνοῦ τινος ἑαυτοὺς, μύσας τῷ λογισμῷ, καὶ παρακαλυψάμενος πρὸς τὸ δεινὸν, καὶ τοσοῦτον μόνον Ἑλληνιστὶ πρὸς τοὺς παρόντας ἐκ-



1 V. ἠξίουν.

2 Sic cum Anon. & Mur. dari voluit Br. deditque R. pro vulg. θατέραν.

3 SG. ἀπαγγέλλεται.

ἐκβοήσας· Ἀνεῤῥίφθω κύβος· διεβίβαζε [1] τὸν στρατόν. ὡς δὲ πρῶτον ἡ Φήμη προσέπεσε, καὶ κατέσχε τὴν Ῥώμην μετ' ἐκπλήξεως θόρυβος καὶ Φόβος, οἷος οὔπω πρότερον, εὐθὺς μὲν ἡ βουλὴ Φερομένη πρὸς τὸν Πομπήϊον συνέτρεχε [2], καὶ παρῆσαν αἱ ἀρχαί· πυθομένου δὲ τοῦ Τύλλου [3] περὶ στρατείας καὶ δυνάμεως, καὶ τοῦ Πομπηΐου μετά τινος μελλήσεως ἀθαρσῶς εἰπόντος, ὅτι τοὺς παρὰ Καίσαρος ἥκοντας ἑτοίμους ἔχει, νομίζει δὲ τοὺς [4] κατειλεγμένους πρότερον ἐν τάχει συνάξειν, τρισμυρίους ὄντας, ὁ μὲν Τύλλος ἀναβοήσας· Ἐξηπάτηκας ἡμᾶς, ὦ Πομπήϊε· συνεβούλευεν [5] ὡς Καίσαρα πρέσβεις ἀποστέλλειν. Φαώνιος δέ τις, ἀνὴρ τἆλλα μὲν οὐ πονηρὸς, αὐθαδείᾳ δὲ καὶ ὕβρει πολλάκις τὴν Κάτωνος οἰόμενος ἀπομιμεῖσθαι παῤῥησίαν, ἐκέλευε τὸν Πομπήϊον τῷ ποδὶ τύπτειν τὴν γῆν, ἃς ὑπισχνεῖτο δυνάμεις ἀνακαλούμενον [6]. ὁ δὲ ταύτην μὲν ἤνεγκε τὴν ἀκαιρίαν πρᾴως· τοῦ δὲ Κάτωνος ὑπομιμνήσκοντος, ὧν ἐν ἀρχῇ περὶ Καίσαρος αὐτῷ προεῖπεν, ἀπεκρίνατο, μαντικώτερα μὲν εἶναι τὰ Κάτωνι λεχθέντα, Φιλικώτερα δ' ὑπ' αὐτοῦ πεπρᾶχθαι.

LXI. Κάτων δὲ συνεβούλευεν αἱρεῖσθαι στρατηγὸν αὐτοκράτορα, Πομπήϊον, ἐπειπὼν, ὅτι τῶν αὐτῶν ἐστι καὶ ποιεῖν τὰ μεγάλα κακὰ καὶ παύειν. αὐτὸς μὲν οὖν [7] εὐθὺς ἐξῆλθεν εἰς Σικελίαν (ἔλαχε γὰρ αὐτὴν τῶν ἐπαρχιῶν) καὶ τῶν ἄλλων ἕκαστος, ἃς ἐκληρώθη. τῆς δ' Ἰταλίας σχεδὸν ὅλης ἀνισταμένης, ἀπορίαν εἶχε τὸ γινόμε-

1 Junt. sola διεβάδιζε.

2 Junt. Ald. Crat. SG. συνέτρεχον.

3 L. Volcatius Tullus, vir consularis, non M. Tullius Cicero. Mos. Dus. E V. enotatum est πόλου.

4 V. δὲ καὶ τοὺς.

5 V. καὶ συνεβ. Id. pro seq. ἀποστέλλειν habet πέμπειν.

6 Sic cum V. Anon. & Mur. dari voluit Mos. Dus. deditque R. pro vulg. ἀνακαλούμενος.

7 deest οὖν Juntinae soli.

νόμενον [1]. οἱ μὲν γὰρ ἔξωθεν φερόμενοι φυγῇ πανταχόθεν, εἰς τὴν Ῥώμην ἐνέπιπτον· οἱ δὲ τὴν Ῥώμην οἰκοῦντες, ἐξέπιπτον αὐτοὶ καὶ ἀπέλιπον τὴν πόλιν, ἐν χειμῶνι καὶ ταράχῳ τοσούτῳ τὸ μὲν χρήσιμον ἀσθενὲς ἔχουσαν, τὸ δ' ἀπειθὲς, ἰσχυρὸν καὶ δυσμεταχείριστον ἄρχουσιν [2]. οὐ γὰρ ἦν παῦσαι τὸν φόβον, οὐδ' εἴασέ τις χρῆσθαι τοῖς ἑαυτοῦ λογισμοῖς Πομπήϊον· ἀλλ' ᾧ τις ἐνετύγχανε πάθει, φοβηθεὶς, ἢ λυπηθεὶς, ἢ διαπορήσας, τούτῳ φέρων ἐκεῖνον ἐνεπίμπλη [3]. καὶ τἀναντία τῆς αὐτῆς ἡμέρας ἐκράτει βουλεύματα, καὶ πυθέσθαι περὶ τῶν πολεμίων οὐδὲν ἦν ἀληθὲς αὐτῷ, διὰ τὸ πολλοὺς ἀπαγγέλλειν, ὅ τι τύχοιεν, εἶτ' ἀπιστοῦντι χαλεπαίνειν. οὕτω δὴ ψηφισάμενος ταραχὴν ὁρᾷν, καὶ κελεύσας ἅπαντας ἕπεσθαι αὐτῷ τοὺς ἀπὸ βουλῆς, καὶ προειπὼν, ὅτι Καίσαρος ἡγήσεται τὸν ἀπολειφθέντα [4], περὶ δείλην ὀψίαν ἀπέλιπε τὴν πόλιν. οἱ δ' ὕπατοι, μηδὲ θύσαντες ἃ νομίζεται πρὸ πολέμων, ἔφυγον. ἦν δὲ καὶ παρ' αὐτὰ τὰ δεινὰ [5] ζηλωτὸς ὁ ἀνὴρ τῆς πρὸς αὐτὸν εὐνοίας τῶν ἀνθρώπων, ὅτι, πολλῶν τὴν στρατηγίαν μεμφομένων, οὐδεὶς ἦν ὁ μισῶν τὸν στρατηγόν. ἀλλὰ πλείονας ἄν τις εὗρε τῶν διὰ τὴν ἐλευθερίαν φευγόντων, τοὺς ἀπολιπεῖν Πομπήϊον μὴ δυναμένους.

LXII. Ὀλίγαις δ' ὕστερον ἡμέραις Καῖσαρ εἰσελάσας, καὶ κατασχὼν τὴν Ῥώμην, τοῖς μὲν ἄλλοις ἐπιεικῶς ἐνέτυχε καὶ κατεπράϋνε· τῶν δὲ δημάρχων [6] ἑνὶ

1 Sola Br. γενόμενον. R. restituit lectionem priorem.

2 V. & Mur. τοῖς ἄρχουσιν, quod probat Mos. Dus.

3 SG. ἀνεπίμπλα.

4 Sic R. cum SG. dedit pro vulg. ἀποληφθέντα. V. δειπνοληψίαν pro δείλην ὀψίαν.

5 Cum artic. dedit Mur. & SG. darique voluit H. Steph. & dedit R. Vulgo deest. Artic. ὁ ante ἀνὴρ abest a SG.

6 Sic Mur. & SG. probatque Mos. Dus. & restituisse se monet R. e Junt. & Ald. Est quoque Cratandreae lectio. Steph. autem mendose δημάρχω, ex quo Frst. effecit δημάρχῳ.

ἐνὶ Μετέλλῳ κωλύοντι χρήματα λαβεῖν αὐτὸν ἐκ τοῦ ταμείου, θάνατον ἠπείλησε, καὶ προσέθηκε τῇ ἀπειλῇ τραχύτερον λόγον. ἔφη γὰρ, ὡς οὐ τὸ [1] φῆσαι χαλεπὸν ἦν αὐτῷ μᾶλλον, ἢ πρᾶξαι [2]. τρεψάμενος δὲ τὸν Μέτελλον οὕτω, καὶ λαβὼν ὧν ἔχρηζεν, ἐδίωκε Πομπήϊον, ἐκβαλεῖν σπεύδων ἐκ τῆς Ἰταλίας, πρὶν ἀφικέσθαι [3] τὴν ἐξ Ἰβηρίας αὐτῷ δύναμιν. ὁ δὲ τὸ Βρεντήσιον κατασχὼν, καὶ πλοίων εὐπορήσας [4], τοὺς μὲν ὑπάτους εὐθὺς ἐμβιβάσας, καὶ μετ᾽ αὐτῶν σπείρας τριάκοντα, προεξέπεμψεν εἰς Δυῤῥάχιον· Σκιπίωνα δὲ τὸν πενθερὸν, καὶ Γναῖον τὸν υἱὸν εἰς Συρίαν ἀπέστειλε, ναυτικὸν κατασκευάσοντας. αὐτὸς δὲ φραξάμενος τὰς πύλας, καὶ τοῖς τείχεσι τοὺς ἐλαφροτάτους στρατιώτας ἐπιστήσας, τοὺς δὲ Βρεντεσινοὺς ἀτρεμεῖν κατ᾽ οἰκίαν κελεύσας, ὅλην ἐντὸς ἀνέσκαψε τὴν πόλιν [5] καὶ διετάφρευσε [6], καὶ σκολόπων ἐνέπλησε τοὺς στενωποὺς, πλὴν δυεῖν, δι᾽ ὧν ἐπὶ θάλατταν αὐτὸς κατῆλθεν. ἡμέρα δὲ τρίτῃ τὸν μὲν ἄλλον ὄχλον ἐν ταῖς ναυσὶν εἶχεν ἤδη καθ᾽ ἡσυχίαν ἐμβεβηκότα [7], τοῖς δὲ τὰ τείχη φυλάττουσιν ἐξαίφνης σημεῖον ἄρας, καὶ καταδραμόντας ὀξέως ἀναλαβὼν, ἀπεπέρασεν. ὁ δὲ Καῖσαρ ὡς εἶδεν ἐκλελειμμένα τὰ τείχη, τὴν φυγὴν αἰσθόμενος, μικροῦ μὲν ἐδέησε διώκων τοῖς σταυροῖς καὶ τοῖς ὀρύγμασι περιπετὴς γενέσθαι· τῶν δὲ Βρεντεσινῶν φρασάντων [8], φυλαττόμενος τὴν πόλιν καὶ

1 Sic Junt. & SG. & dedit R. Vulgo ὡς τὸ — non magis molestum sibi fuisse, sic minari, quam futurum sit, minas re ipsa exsequi.

2 Mur. ἢ τὸ πρᾶξαι, quod probat Mos. Dus.

3 SG. ἐφικέσθαι.

4 Junt. sola ἀπορήσας.

5 SG. τὴν πόλιν ἀνέσκαψε. Junt. omittit τὴν πόλιν.

6 Sic cum V. dedit R. Vulgo διετάφρευε.

7 Sic R. cum Junt. Ald. Crat. dedit. Vulgo ex Stepk. ἐμβεβληκότα.

8 SG. φθασάντων.

καὶ κύκλῳ περιϊὼν, ἀνηγμένους εὗρε πάντας, πλὴν δυεῖν πλοίων, στρατιώτας τινὰς οὐ πολλοὺς ἐχόντων.

LXIII. Οἱ μὲν οὖν ἄλλοι τοῦ Πομπηΐου τὸν ἀπόπλουν ἐν τοῖς ἀρίστοις τίθενται στρατηγήμασιν· αὐτὸς δὲ Καῖσαρ ἐθαύμαζεν, ὅτι καὶ πόλιν ἔχων ὀχυρὰν, καὶ προσδοκῶν τὰς ἐξ Ἰβηρίας δυνάμεις, καὶ θαλασσοκρατῶν, ἐξέλιπε καὶ προήκατο τὴν Ἰταλίαν. αἰτιᾶται δὲ [1] καὶ Κικέρων, ὅτι τὴν Θεμιστοκλέους ἐμιμήσατο στρατηγίαν μᾶλλον, ἢ τὴν Περικλέους, τῶν πραγμάτων τούτοις ὁμοίων ὄντων, οὐκ ἐκείνοις. ἐδήλωσε δὲ Καῖσαρ ἔργῳ [2] σφόδρα φοβούμενος τὸν χρόνον. ἑλὼν γὰρ Νουμέριον Πομπηΐου φίλον, ἀπέστειλεν εἰς Βρεντέσιον, ἐπὶ τοῖς ἴσοις ἀξιῶν διαλλαγῆναι· Νουμέριος δὲ Πομπηΐῳ συνεξέπλευσεν. ἐντεῦθεν ὁ μὲν ἡμέραις [3] ἑξήκοντα κύριος γεγονὼς ἀναιμωτὶ τῆς Ἰταλίας ὅλης, ἐβούλετο μὲν εὐθὺς Πομπήϊον διώκειν· πλοίων δὲ μὴ παρόντων, ἀποστρέψας εἰς Ἰβηρίαν ἤλαυνε, τὰς ἐκεῖ δυνάμεις προσαγαγέσθαι βουλόμενος.

LXIV. Ἐν δὲ τῷ χρόνῳ τούτῳ μεγάλη συνέστη Πομπηΐῳ δύναμις, ἡ μὲν ναυτικὴ καὶ παντελῶς ἀνανταγώνιστος· ἦσαν γὰρ αἱ μάχιμοι [4] πεντακόσιαι, λιβυρνίδων δὲ καὶ κατασκόπων ὑπερβάλλων ἀριθμός· ἱππεῖς δὲ, Ῥωμαίων καὶ Ἰταλῶν τὸ ἀνθοῦν, ἑπτακισχίλιοι, γένεσι καὶ πλούτῳ καὶ φρονήμασι διαφέροντες. τὴν δὲ πεζὴν, σύμμικτον οὖσαν, καὶ μελέτης δεομένην, ἐγύμναζεν ἐν Βεροίᾳ καθήμενος, οὐκ ἀργὸς, ἀλλ᾽ ὥσπερ ἀκμάζοντι χρώμενος αὐτῷ πρὸς τὰ γυμνάσια. μεγάλη γὰρ ἦν ῥοπὴ πρὸς τὸ θαῤῥεῖν, τοῖς ὁρῶσι Πομπήϊον Μάγνον, ἑξήκοντα μὲν ἔτη δυεῖν λείποντα γεγενημένον, ἐν δὲ τοῖς ὅπλοις ἁμιλλώμενον πεζὸν, εἶτα ἱππότην αὖθις, ἑλκόμενόν τε τὸ

1 Part. δὲ R. de suo addidit. Cf. Cic. ad Att. VII, XI.
2 V. e Junt. ἔργα.
3 Mur. ἐν ἡμέραις, quod probat Mos. Duf.
4 R. susp. αἱ μὲν μάχιμοι.

τὸ ξίφος ἀπραγμόνως θέοντι τῷ ἵππῳ [1], καὶ κατακλείοντα πάλιν εὐχερῶς· ἐν δὲ τοῖς ἀκοντισμοῖς ȣ μόνον ἀκρίβειαν, ἀλλὰ καὶ ῥώμην ἐπιδεικνύμενον εἰς μῆκος, ὃ πολλοὶ τῶν νέων ȣκ ὑπερέβαλλον. ἐπεφοίτων δὲ καὶ βασιλεῖς ἐθνῶν καὶ δυνάςαι, καὶ τῶν ἀπὸ Ῥώμης ἡγεμονικῶν ἀριθμὸς ἦν ἐντελὴς βȣλῆς περὶ αὐτόν. ἦλθε δὲ καὶ Λαβιηνὸς [2] ἀπολιπὼν Καίσαρα, φίλος γεγονὼς, καὶ συνεςρατευμένος ἐν Γαλατίᾳ· καὶ Βρȣ̃τος, υἱὸς ὢν Βρȣ́τȣ τȣ̃ περὶ Γαλατίαν σφαγέντος, ἀνὴρ μεγαλόφρων, καὶ μηδέποτε Πομπήϊον προσειπὼν, μηδ᾽ ἀσπασάμενος πρότερον, ὡς φονέα τȣ̃ πατρὸς, τότε δ᾽, ὡς ἐλευθερȣ̃ντι τὴν Ῥώμην, ὑπέταξεν ἑαυτόν. Κικέρων δὲ, καίπερ ἄλλα γεγραφὼς καὶ βεβȣλευμένος, ὅμως κατῃδέσθη μὴ γενέσθαι τȣ̃ προκινδυνεύοντος ἀριθμȣ̃ τῆς πατρίδος. ἦλθε δὲ καὶ Τίδιος Σέξτιος, ἐσχατόγηρως [3] ἀνὴρ, θάτερον πεπηρωμένος σκέλος, εἰς Μακεδονίαν· ὃν, τῶν ἄλλων γελώντων καὶ χλευαζόντων, ὁ Πομπήϊος ἰδὼν ἐξανέςη καὶ προσέδραμε, μέγα νομίζων μαρτύριον εἶναι, καὶ τȣ̀ς παρ᾽ ἡλικίαν καὶ δύναμιν [4] αἱρȣμένȣς τὸν μετ᾽ αὐτȣ̃ κίνδυνον ἀντὶ τῆς ἀσφαλείας.

LXV. Ἐπεὶ δὲ, βȣλῆς γενομένης, καὶ γνώμην Κάτωνος εἰπόντος, ἐψηφίσαντο μηδένα Ῥωμαίων ἄνευ παρατάξεως ἀναιρεῖν, μηδὲ διαρπάζειν πόλιν ὑπήκοον Ῥωμαίοις, ἔτι μᾶλλον ἡ Πομπηΐȣ μερὶς ἠγαπήθη· καὶ γὰρ οἷς μηδὲν ἦν πρᾶγμα τȣ̃ πολέμȣ, πόῤῥω κατοικȣ̃σιν, ἢ δι᾽ ἀσθένειαν ἀμελȣμένοις, τῷ γε βȣ́λεσθαι συγκατ-

1 V. Anon. & Mur. θέοντος τȣ̃ ἵππȣ. Sic ſcribi voluit Br. At R. tuetur vulgatam, cum etiam Graeci, praeſertim recentiores, e conſuetudine cum latiniſmo, dativum pro genitivo abſoluto uſurparint.

2 Sic Anon. & Mur. & ita cum Xyl. dari voluit Br. deditque R. pro vulg. Λαβεών.

3 Sic e Junt. ſe reſtituiſſe monet R. pro vulg. ἐσχατόγερως. At ita non niſi in Br. vitioſe extat.

4 SG. καὶ παρὰ δύναμιν.

κατετίθεντο, καὶ τῷ λόγῳ συνεμάχεν ὑπὲρ τῶν δικαίων, ἡγέμενοι θεοῖς εἶναι καὶ ἀνθρώποις ἐχθρὸν, ᾧ μὴ καθ' ἡδονήν ἐςι νικᾷν Πομπήϊον. ὐ μὴν ἀλλὰ καὶ Καῖσαρ εὐγνώμονα παρεῖχεν ἑαυτὸν ἐν τῷ κρατεῖν· ὃς καὶ τὰς ἐν Ἰβηρίᾳ τῦ Πομπηΐυ δυνάμεις ἑλὼν, καὶ καταπολεμήσας, ἀφῆκε τὺς ςρατηγὺς, τοῖς δὲ ςρατιώταις ἐχρῆτο. καὶ πάλιν ὑπερβαλὼν τὰς Ἄλπεις, καὶ διαδραμὼν τὴν Ἰταλίαν, εἰς Βρεντέσιον [1] ἧκεν, ἐν τροπαῖς ἤδη τῦ χειμῶνος ὄντος· καὶ διαπεράσας τὸ πέλαγος, αὐτὸς μὲν εἰς Ὤρικον [2] παρενέβαλεν, Ἰύβιον [3] δὲ, τὸν Πομπηΐυ φίλον, αἰχμάλωτον ἔχων σὺν ἑαυτῷ, πρὸς Πομπήϊον ἀπέςειλε, προκαλύμενος, εἰς ἓν συνελθόντας ἀμφοτέρυς ἡμέρᾳ τρίτῃ [4] πάντα διαλῦσαι τὰ ςρατεύματα, καὶ γενομένυς φίλυς καὶ ὀμόσαντας, ἐπανελθεῖν εἰς Ἰταλίαν. ταῦτα Πομπήϊος αὖθις ἐνέδραν ἡγεῖτο· καὶ καταβὰς ὀξέως ἐπὶ θάλατταν, κατέλαβε χωρία καὶ τόπυς ἕδρας τε τοῖς πεζοῖς ςρατοπέδοις ὑπεραλκεῖς ἔχοντας [5], καὶ ναύλοχα, καὶ κατάρσεις ἐπιφόρυς τοῖς ἐπιφοιτῶσι διὰ θαλάττης· ὥςε πάντα πνεῖν ἄνεμον Πομπηΐῳ, σῖτον, ἢ ςρατιὰν [6], ἢ χρήματα κομίζοντα· Καίσαρα δὲ δυσχωρίαις κατὰ γῆν ὁμῦ καὶ κατὰ θάλατταν περιεχόμενον, ἐξ ἀνάγκης φιλομαχεῖν, καὶ προσβάλλοντα τοῖς ἐρύμασι, καὶ προκαλύμενον ἑκάςοτε, τὰ μὲν πλεῖςα νικᾷν καὶ κρατεῖν τοῖς ἀκροβολισμοῖς, ἅπαξ δὲ μικρῦ συντριβῆναι, καὶ τὴν ςρατιὰν ἀποβαλεῖν, τῦ Πομπηΐυ λαμπρῶς ἀγωνισαμένυ μέχρι τροπῆς ἁπάντων, καὶ φόνυ δισχιλίων, βιάσασθαι

1 V. Βρεντήσιον.

2 V. SG. Νώρικον. Iunt. Ἤρικον.

3 Mur. Οὐιβύλλιον, quod Br. probat. Ita Caesar appellat, & ita Xyl. verterat.

4 Br. susp. ἡμέρᾳ ῥητῇ.

5 Sic cum Mur. dari voluit Mos. Duf. deditque R. pro vulg. ἔχοντα.

6 SG. ςρατείαν. Ita & id. paulo infra.

θαι δὲ [1] καὶ συνεισπεσεῖν μὴ δυνηθέντος, ἢ φοβηθέντος. ὥςʼ εἰπεῖν Καίσαρα πρὸς τὰς φίλους, ὅτι σήμερον ἂν ἡ νίκη παρὰ τοῖς πολεμίοις ἦν, εἰ τὸν νικῶντα εἶχον.

LXVI. Ἐπὶ τούτῳ μέγα φρονήσαντες οἱ Πομπηΐου, διὰ μάχης ἔσπευδον κριθῆναι. Πομπήϊος δὲ τοῖς μὲν ἔξω βασιλεῦσι καὶ στρατηγοῖς καὶ πόλεσιν ὡς νενικηκὼς ἔγραφε, τὸν δὲ τῆς μάχης κίνδυνον ὠῤῥώδει, τῷ χρόνῳ καὶ ταῖς ἀπορίαις καταπολεμήσειν νομίζων ἄνδρας ἀμάχους μὲν ἐν τοῖς ὅπλοις, καὶ συνειθισμένους νικᾷν [2] μετʼ ἀλλήλων πολὺν ἤδη χρόνον· πρὸς δὲ τὴν ἄλλην στρατείαν, καὶ πλάνας, καὶ μεταβάσεις, καὶ τάφρων ὀρύξεις, καὶ τειχῶν οἰκοδομίας ἀπαγορεύοντας ὑπὸ γήρως, καὶ διὰ τοῦτο ταῖς χερσὶν ἐμφῦναι τάχιστα καὶ συμπλακῆναι σπεύδοντας. οὐ μὴν ἀλλὰ πρότερον ἁμωσγέπως παρῆγε πείθων τοὺς περὶ αὐτὸν ἀτρεμεῖν ὁ Πομπήϊος· ἐπεὶ δὲ μετὰ τὴν μάχην ὁ Καῖσαρ ὑπὸ τῶν ἀποριῶν ἀναστὰς ἐβάδιζε διʼ Ἀθαμάνων [3] εἰς Θετταλίαν, οὐκέτι καθεκτὸν ἦν τὸ φρόνημα τῶν ἀνδρῶν, ἀλλὰ φεύγειν Καίσαρα βοῶντες, οἱ μὲν ἀκολουθεῖν καὶ διώκειν ἐκέλευον, οἱ δὲ διαβαίνειν εἰς Ἰταλίαν· οἱ δὲ θεράποντας εἰς Ῥώμην καὶ φίλους ἔπεμπον, οἰκίας προκαταληψομένους ἐγγὺς ἀγορᾶς, ὡς αὐτίκα μετιόντες ἀρχάς. ἐθελονταὶ δὲ πολλοὶ πρὸς Κορνηλίαν ἔπλεον εἰς Λέσβον, εὐαγγελιζόμενοι πέρας ἔχειν τὸν πόλεμον· ἐκεῖ γὰρ αὐτὴν ὑπεξέπεμψεν ὁ Πομπήϊος. ἀθροισθείσης δὲ βουλῆς, Ἀφράνιος μὲν ἀπεφαίνετο γνώμην, ἔχεσθαι τῆς Ἰταλίας· ταύτην γὰρ εἶναι τοῦ πολέμου τὸ μέγιστον ἆθλον· προστιθέναι δὲ τοῖς κρατοῦσιν εὐθὺς Σικελίαν, Σαρδῶνα, Κύρνον, Ἰβηρίαν, Γαλατίαν ἅπασαν· ἧς τε δὴ πλεῖστος ὁ λόγος Πομπηΐῳ, πατρίδος ὀρεγούσης χεῖρας

1 Part. δὲ abest a Iunt. Ald. Crat.
2 R. susp. νικᾷν πάντας μετʼ ἀλλήλων.
3 V. διὰ Θαμανῶν.

ρας ἐγγύθεν, ꙋ καλῶς ἔχειν περιορᾷν [1] προπηλακιζομένην, καὶ δουλεύουσαν οἰκέταις καὶ κόλαξι τυράννων. αὐτὸς δὲ Πομπήϊος οὔτε πρὸς δόξαν ἡγεῖτο καλὸν αὐτῷ δευτέραν φυγὴν φεύγειν Καίσαρα, καὶ διώκεσθαι, τῆς τύχης διώκειν διδούσης, οὔτε ὅσιον ἐγκαταλιπεῖν Σκιπίωνα, καὶ τοὺς περὶ τὴν Ἑλλάδα καὶ Θετταλίαν ἄνδρας ὑπατικοὺς, εὐθὺς ὑπὸ Καίσαρι γενησομένους μετὰ χρημάτων καὶ δυνάμεων μεγάλων· τῆς δὲ Ῥώμης μάλιστα κήδεσθαι τῶν ἀπωτάτω πολεμοῦντα [2] περὶ αὐτῆς, ὅπως ἀπαθὴς κακῶν οὖσα καὶ ἀνήκοος περιμένῃ τὸν κρατοῦντα.

LXVII. Ταῦτα ψηφισάμενος ἐδίωκε Καίσαρα, μάχης μὲν ἐγνωκὼς ἀπέχεσθαι, πολιορκεῖν δὲ καὶ τρίβειν ταῖς ἀπορίαις, ἐγγύθεν ἐπακολουθῶν. καὶ γὰρ ἄλλως ταῦτα συμφέρειν ἡγεῖτο, καὶ λόγος τις εἰς αὐτὸν ἧκεν ἐν τοῖς ἱππεῦσι φερόμενος, ὡς χρὴ τάχιστα τρεψαμένους Καίσαρα, συγκαταλύειν κἀκεῖνον αὐτόν. ἔνιοι δέ φασι, διὰ τοῦτο καὶ Κάτωνι πρὸς μηδὲν [3] ἄξιον σπουδῆς χρήσασθαι Πομπήϊον· ἀλλὰ καὶ πορευόμενον ἐπὶ Καίσαρα, πρὸς θαλάσσῃ καταλιπεῖν ἐπὶ τῆς ἀποσκευῆς, φοβηθέντα, μὴ, Καίσαρος ἀναιρεθέντος, ἀναγκάσῃ κἀκεῖνον εὐθὺς ἀποθέσθαι τὴν ἀρχήν. οὕτω δὲ παρακολουθῶν ἀτρέμα τοῖς πολεμίοις, ἐν αἰτίαις ἦν καὶ καταβοήσεσιν, ὡς οὐ Καίσαρα καταστρατηγῶν, ἀλλὰ τὴν πατρίδα καὶ τὴν βουλὴν, ὅπως διὰ παντὸς ἄρχῃ, καὶ μηδέποτε παύσηται τοῖς ἀξιοῦσι τῆς οἰκουμένης ἄρχειν χρώμενος ὑπηρέταις καὶ δορυφόροις. Δομίτιος δ' αὐτὸν ἀεὶ ὁ Αἰνόβαρβος [4] Ἀγαμέμνονα καλῶν, καὶ βασιλέα βασιλέων, ἐπι-

1 V. ὁρᾷν.

2 Sic R. cum Mur. dedit pro vulg. τῶν ἀπωτάτω πολεμούντων. Elegantius visum est Mosi Duf. in plur. τοὺς ἀπ. πολεμοῦντας.

3 R. praepos. πρὸς cum Mur. addidit. Vulgo deest.

4 V. βάρβαρος, βάρβος; SG. βάρβαρος; Junt. βάρβος.

ἐπίφθονον ἐποίει. καὶ Φαώνιος ἐχ ἧττον ἦν ἀηδὴς τῶν παῤῥησιαζομένων ἀκαίρως, ἐν τῷ σκώπτειν· Ἄνθρωποι, βοῶν, ἐδὲ τῆτες [1] ἔςαι τῶν ἐν Τεσκλάνῳ σύκων μεταλαβεῖν. Λεύκιος δ' Ἀφράνιος [2], ὁ τὰς ἐν Ἰβηρίᾳ δυνάμεις ἀποβαλὼν, ἐν αἰτίᾳ προδοσίας γεγονὼς, τότε δὲ τὸν Πομπήϊον ὁρῶν φυγομαχεντα, θαυμάζειν ἔλεγε τὲς κατηγορεντας αὐτε, πῶς πρὸς τὸν ἔμπορον τῶν ἐπαρχιῶν ἐ μάχονται προελθόντες. ταῦτα καὶ τὰ τοιαῦτα πολλὰ λέγοντες, ἄνδρα δόξης ἥττονα καὶ τῆς πρὸς τὲς φίλες αἰδες τὸν Πομπήϊον ἐξεβιάσαντο [3] ταῖς ἑαυτῶν ἐλπίσι καὶ ὁρμαῖς ἐπακολεθῆσαι, προέμενον τὲς ἀρίςες λογισμές· ὅπερ ἐδὲ [4] πλοίε κυβερνήτῃ, μήτιγε τοσέτων ἐθνῶν καὶ δυνάμεων αὐτοκράτορι ςρατηγῷ παθεῖν ἦν προσῆκον. ὁ δὲ τῶν μὲν ἰατρῶν μηδέποτε τὲς [5] χαριζομένες ταῖς ἐπιθυμίαις ἐπῄνεσεν, αὐτὸς δὲ τῷ νοσεντι τῆς ςρατηγίας [6] ἐνέδωκε, δείσας ἐπὶ σωτηρίᾳ λυπηρὸς γενέθαι. πῶς γὰρ ἄν τις φήσειεν ὑγιαίνειν ἐκείνες τὲς ἄνδρας, ὧν οἱ μὲν ὑπατείας ἤδη καὶ ςρατηγίας ἐν τῷ ςρατοπέδῳ περινοςεντες ἐμνῶντο; Σπινθῆρι δὲ καὶ Δομιτίῳ καὶ Σκιπίωνι περὶ τῆς Καίσαρος ἀρχιερωσύνης ἔριδες ἦσαν καὶ φιλονεικίαι καὶ δεξιώσεις, ὥσπερ αὐτοῖς Τιγράνε τε Ἀρμενίε παραςρατοπεδεύοντος, ἢ τε Ναβαταίων [7] βασιλέως· ἀλλ' ἐ Καίσαρος ἐκείνε, καὶ τῆς δυνάμεως, ᾗ [8] χιλίας μὲν ᾑρήκει πόλεις κατὰ κράτος, ἔθνη δὲ πλείονα τριακοσίων ὑπῆκτο· Γερμανοῖς δὲ καὶ Γαλά-

1 V. τέτῳ τῷ ἔτει; scholium vocabuli τῆτες.

2 SG. Ἀφάνιος.

3 SG. addit καὶ συναπεσπάσαντο.

4 SG. ἔτε.

5 Ordinem vocabulorum sic dedit R. Vulgo τὲς μηδέποτε. Pro seq. αὐτὸς reponendum censuit H. Steph. αὐτόν.

6 Br. susp. ςρατιᾶς.

7 SG. Ναβατίων.

8 Sic Anon. & Mor. & sic probante Mos. Dus. dedit R. pro vulg. ἣ, ob insequentia μεμαχημένας ἔλαβεν.

Γαλάταις μεμαχημένος ἀήττητος ὅσας ἐκ ἄν τις ἀριθμῆσαι μάχας, ἑκατὸν μυριάδας αἰχμαλώτων ἔλαβεν, ἑκατὸν δὲ ἀπέκτεινε τρεψάμενος ἐκ παρατάξεως.

LXVIII. Ἀλλ' ὅμως ἐγκείμενοι καὶ θορυβῦντες, ἐπεὶ κατέβησαν εἰς τὸ Φαρσάλιον πεδίον, ἠνάγκασαν βυλὴν προθεῖναι τὸν Πομπήϊον, ἐν ᾗ Λαβιηνὸς, ὁ τῶν ἱππέων ἄρχων, πρῶτος ἀναστὰς ὤμοσε μὴ ἀναχωρήσειν ἐκ τῆς μάχης, εἰ μὴ τρέψαιτο τὺς πολεμίυς· τὰ δ' αὐτὰ καὶ πάντες ὤμνυσαν. τῆς δὲ νυκτὸς ἔδοξε κατὰ τὺς ὕπνυς Πομπήϊος, εἰς τὸ θέατρον εἰσιόντος αὐτῦ, κροτεῖν τὸν δῆμον, αὐτὸς δὲ κοσμεῖν ἱερὸν [1] Ἀφροδίτης νικηφόρυ πολλοῖς λαφύροις. καὶ τὰ μὲν ἐθάῤῥει, τὰ δ' ὑπέθραττεν [2] αὐτὸν ἡ ὄψις, δεδοικότα, μὴ τῷ γένει τῷ Καίσαρος εἰς Ἀφροδίτην ἀνήκοντι δόξα καὶ λαμπρότης ἀπ' αὐτῦ γένηται· καὶ πανικοί τινες θόρυβοι διάττοντες ἐξανέστησαν αὐτόν. ἑωθινῆς δὲ φυλακῆς, ὑπὲρ τῦ Καίσαρος στρατοπέδυ, πολλὴν ἡσυχίαν ἄγοντος, ἐξέλαμψε μέγα φῶς, ἐκ δὲ τύτυ λαμπὰς ἀρθεῖσα φλογοειδὴς ἐπὶ τὸ [3] Πομπηΐυ κατέσκηψε· καὶ τῦτ' ἰδεῖν φησι Καῖσαρ [4] αὐτὸς, ἐπιὼν τὰς φυλακάς. ἅμα δ' ἡμέρᾳ μέλλοντος αὐτῦ πρὸς Σκότυσαν [5] ἀναζευγνύειν, καὶ τὰς σκηνὰς τῶν στρατιωτῶν καθαιρύντων, καὶ προπεμπόντων ὑποζύγια καὶ θεράποντας, ἧκον οἱ σκοποὶ, φράζοντες ὅπλα πολλὰ καθορᾷν ἐν τῷ χάρακι



1 Sic cum Mur. V. Anon. scribi voluit Mos. Dus. deditque R. pro vulg. ἱερά.

2 V. ὑπέθραπτεν.

3 Artic. de suo addidit R.

4 Mos. Dus. susp. καὶ τῦτο ἰδεῖν φασι Καίσαρα αὐτὸν ἐπιόντα τὰς φ.

5 Vulgo legitur πρὸ σκότυς. Corruptam hanc vocem censuit Mos. Dus. praetulitque id, quod in Anon. & Mur. datur πρὸς Σκοτῦσαν. R. dedit Σκότυσαν. Erat *Scotusa* urbs Thessaliae, versus quam Caesar exercitum erat a Pharsalo ducturus. V. πρὸ σκόπυς.

ραιι τῶν πολεμίων διαφερόμενα, καὶ κίνησιν εἶναι καὶ θόρυβον ἀνδρῶν ἐπὶ μάχην ἐξιόντων. μετὰ δὲ τούτους ἕτεροι παρῆσαν, εἰς τάξιν ἤδη καθίσασθαι τοὺς πρώτους λέγοντες. ὁ μὲν οὖν Καῖσαρ, εἰπὼν, τὴν προσδοκωμένην ἥκειν ἡμέραν, ἐν ᾗ πρὸς ἄνδρας, οὐ πρὸς λιμὸν, οὐδὲ πενίαν μαχοῦνται, κατὰ τάχος πρὸ τῆς σκηνῆς ἐκέλευσε προθεῖναι τὸν Φοινικοῦν χιτῶνα· τοῦτο γὰρ μάχης Ῥωμαίοις ἐστὶ σύμβολον. οἱ δὲ στρατιῶται θεασάμενοι, μετὰ βοῆς καὶ χαρᾶς τὰς σκηνὰς ἀφέντες, ἐφέροντο πρὸς τὰ ὅπλα. καὶ τῶν ταξιαρχῶν ἀγόντων εἰς ἣν ἔδει τάξιν, ἕκαστος ὥσπερ χορὸς [1] ἄνευ θορύβου μεμελετημένως εἰς τάξιν καὶ πρᾴως καθίστατο.

LXIX. Πομπήϊος δὲ τὸ μὲν δεξιὸν αὐτὸς ἔχων, ἔμελλεν ἀνθίστασθαι πρὸς Ἀντώνιον· ἐν δὲ τῷ μέσῳ Σκιπίωνα τὸν πενθερὸν ἀντέταξε Καλβίνῳ [2] Λευκίῳ· τὸ δ' εὐώνυμον εἶχε μὲν Λεύκιος Δομίτιος, ἐῤῥώσθη δὲ τῷ πλήθει τῶν ἱππέων. ἐνταῦθα γὰρ ὀλίγου δεῖν ἅπαντες ἐῤῥύησαν, ὡς Καίσαρα βιασόμενοι, καὶ τὸ δέκατον τάγμα διακόψοντες, οὗ πλεῖστος ἦν ὁ λόγος ὡς μαχιμωτάτου, καὶ Καῖσαρ ἐν ἐκείνῳ ταττόμενος εἰώθει μάχεσθαι. κατιδὼν δὲ πεφραγμένον [3] ἵππῳ τοσαύτῃ τῶν πολεμίων τὸ εὐώνυμον, καὶ φοβηθεὶς τὴν λαμπρότητα τοῦ ὁπλισμοῦ, μετεπέμψατο σπείρας ἓξ ἀπὸ τῶν ἐπιταγμάτων, καὶ κατέστησεν ὄπισθεν τοῦ δεκάτου, κελεύσας ἡσυχίαν ἄγειν, ἀδήλους τοῖς πολεμίοις ὄντας· ὅταν δὲ προσελαύνωσιν οἱ ἱππεῖς, διὰ τῶν προμάχων ἐκδραμόντας [4], μὴ προέσθαι τοὺς ὑσσοὺς, ὥσπερ εἰώθασιν οἱ κρά-

1 R. monet, proprie dicendum fuisse λόχος, aut sic: ἕκαστος λόχος, ὥσπερ χορός. Pro seq. μεμελετ. SG. μεμελετημένος; & pro καθίστατο V. καθίσταντο, quod probat Mos. Dus.

2 Cruser. *Albinum* facit, uti & Tudertinus. Caesar *Cn. Domitium* ait mediae aciei praepositum, & differt a Nostro in describenda utraque acie.

3 abest haec vox a Junt. In Ald. & Crat. πεφραγμ.

4 V. ἐκδραμόντων.

κράτιστοι, σπεύδοντες ἐπὶ τὰς ξιφουλκίας, ἀλλὰ παίειν ἄνω [1], συντιτρώσκοντας ὄμματα καὶ πρόσωπα τῶν πολεμίων· οὐ γὰρ μενεῖν τοὺς καλοὺς τούτους καὶ ἀνθηροὺς πυῤῥιχιστὰς διὰ τὸν ὡραϊσμὸν, οὐδ' ἀντιβλέψειν πρὸς τὸν σίδηρον ἐν ὀφθαλμοῖς γινόμενον. ἐν τούτοις μὲν οὖν ὁ Καῖσαρ ἦν· ὁ δὲ Πομπήϊος ἀφ' ἵππου τὴν παράταξιν ἐπισκοπῶν, ὡς ἑώρα τοὺς μὲν ἀντιπάλους μεθ' ἡσυχίας τὸν καιρὸν ἐν τάξει προσμένοντας, τῆς δ' [2] ὑφ' αὐτῷ στρατιᾶς τὸ πλεῖστον οὐκ ἀτρεμοῦν, ἀλλὰ κυμαῖνον ἀπειρίᾳ καὶ θορυβούμενον, ἔδεισε, μὴ διασπασθῇ παντάπασιν ἐν ἀρχῇ τῆς μάχης· καὶ παράγγελμα τοῖς προτεταγμένοις ἔδωκεν, ἑστῶτας ἐν προβολῇ καὶ μένοντας ἀραρότως [3], δέχεσθαι τοὺς πολεμίους. ὁ δὲ Καῖσαρ αἰτιᾶται τὸ στρατήγημα τοῦτο· τῶν τε γὰρ πληγῶν τὸν ἐξ ἐπιδρομῆς τόνον ἀμαυρῶσαι, καὶ τὴν μάλιστα τοὺς πολλοὺς ἐν τῷ συμφέρεσθαι τοῖς πολεμίοις πληροῦσαν ἐνθουσιασμοῦ καὶ φορᾶς ἀντεξόρμησιν, ἅμα κραυγῇ καὶ δρόμῳ τὸν θυμὸν αὔξουσαν, ἀφελόντα [4], πῆξαι καὶ καταψύξαι τοὺς ἄνδρας. ἦσαν δ' οἱ μὲν μετὰ Καίσαρος, δισχίλιοι πρὸς δισμυρίοις· οἱ δὲ μετὰ Πομπηΐου βραχεῖ πλείονες, ἢ διπλάσιοι τούτων.

LXX. Ἤδη δὲ συνθήματος διδομένου παρ' ἀμφοτέρων, καὶ τῆς σάλπιγγος ἀρχομένης ἐγκελεύεσθαι πρὸς τὴν σύστασιν, τῶν μὲν πολλῶν ἐσκοπεῖτο ἕκαστος τὸ [5] καθ' αὑτὸν, ὀλίγοι δὲ Ῥωμαίων, οἱ βέλτιστοι, καί τινες Ἑλλήνων, παρόντες ἔξω τῆς μάχης [6], ὡς ἐγγὺς ἦν τὸ δεινὸν, ἐλογίζοντο τὴν πλεονεξίαν καὶ φιλονεικίαν, ὅπου



1 R. susp. παίειν τὰ ἄνω, vel παίειν εἰς τὰ ἄνω.
2 δ' abest a SG. Pro seq. στρατιᾶς Id. nec non Junt. Ald. Crat. στρατείας.
3 V. ἀραρότας.
4 R. mavult ἀφελὸν in neutro, ut ad στρατήγ. referatur.
5 Artic. R. de suo addidit — *rem quisque suam curabat.*
6 R. docente, sunt aut voluntarii, aut alii extra militia fungentes, ut medici e. c.

ὅπε Φέρεσα τὴν ἡγεμονίαν ἐξέθηκεν [1]. ὅπλα γὰρ συγγενικὰ, καὶ τάξεις ἀδελφαὶ, καὶ κοινὰ σημεῖα, καὶ μιᾶς πόλεως εὐανδρία τοσαύτη καὶ δύναμις, αὐτὴ πρὸς ἑαυτὴν συνέπιπτεν· ἐπιδεικνυμένη τὴν ἀνθρωπίνην φύσιν, ὡς ἐν πάθει γενομένη τυφλόν ἐςι καὶ μανιῶδες. ἦν μὲν γὰρ ἤδη, καθ' ἡσυχίαν χρήζεσιν ἄρχειν καὶ ἀπολαύειν τῶν κατειργασμένων, τὸ πλεῖςον καὶ κράτιςον ἀρετῇ γῆς καὶ θαλάσσης ὑπήκοον· ἦν δέ τι [2] τροπαίων καὶ θριάμβων ἔρωτι βελομένες χαρίζεσθαι, καὶ διψῶντας ἐμπίπλασθαι Παρθικῶν πολέμων, ἢ Γερμανικῶν. πολὺ δὲ καὶ Σκυθία λειπόμενον ἔργον, καὶ Ἰνδοὶ πρόφασις [3] ἐκ ἄδοξος ἐπὶ ταῦτα τῆς πλεονεξίας, ἡμερῶσαι τὰ βαρβαρικά. τίς δ' ἂν ἢ Σκυθῶν ἵππος, ἢ τοξεύματα Πάρθων, ἢ πλῦτος Ἰνδῶν ἐπέσχε μυριάδας ἑπτὰ Ῥωμαίων ἐν ὅπλοις ἐπερχομένας, Πομπηΐε καὶ Καίσαρος ἡγεμένων, ὧν ὄνομα πολὺ πρότερον ἤκεσαν,

1 Sufpecta fuit haec vox Mofi Duf. nefcienti tamen, quid pro ea reponendum fit. R. quaerit, num ἐξώθηκεν? an vulgata bene habeat, fimili ducto de iis, qui e navi in continentem expofiti, ibi deferuntur?

2 Anon. & Mur. ἦν δ' ἔτι. Totum locum Mof. Duf. fic refingendum cenfet: ἦν δ' ἔτι .... βελομένοις χαρίζεσθαι, καὶ διψῶντας ἐμπίπλασθαι. R. tuetur vulgatam, ita adnotans: „τι cohaeret cum χαρίζ. *licebat, nonnihil indulgere ardori triumphorum* — βελομένες in accuf. perinde probum eft, atque in dativo. Ut dativus refpiceret ad ἦν, ita accuf. refertur ad χαρίζεσθαι & tantundem valet, atque fi dixiffet εἰ ἐβέλοντο τέτῳ τῷ ἔρωτι χαρίζεσθαι."

3 Vulgo locus hic ita extat: Ἰνδοὶ, καὶ πρόφ. ut ad Ἰνδ. etiam referatur ἔργ. λειπ. R. fublata interpunctione poft Ἰνδ. fubaudiri vult ἦσαν — *etiam Indi fuiffent praetextus non inglorius*. Secutus eft R. in hac correctione lectionem Junt. Ald. Crat. Poft ἄδοξος R. deeffe cenfet τρεπομένης, *cupiditatis, fi fefe convertiffet illuc* — aut fic legendum: ἐκ ἄδοξος ἐπιθεμένης ταῦτα τ. πλ. ἡμ. τὰ βαρβ. ut τὰ βαρβαρικὰ fcil. ἔθνη cohaereat cum ταῦτα.

σαν, ἢ τὸ Ῥωμαίων; ὄτως [1] ἄμικ]α καὶ ποικίλα καὶ θηριώδη φῦλα νικῶν]ες ἐπῆλθον. τότε δ' ἀλλήλοις μαχόμενοι συνῆσαν [2], ὀδὲ τὴν δόξαν αὐτῶν, δι' ἣν τῆς πατρίδος ἠφείδουν, οἰκ]είραντες, ἄχρι τῆς ἡμέρας ἐκείνης ἀνικήτων προσαγορευομένων. ἡ μὲν γὰρ γενομένη συγγένεια, καὶ τὰ Ἰυλίας φίλτρα, καὶ γάμος ἐκεῖνος, εὐθὺς [3] ἦν ἀπατηλὰ καὶ ὕποπ]α κοινωνίας ἐπὶ χρείᾳ συνισαμένης ὁμηρεύματα, φιλίας δ' ἀληθινῆς ἐ μετέχεν.

LXXI. Ὡς δ' ἔν τὸ Φαρσάλιον πεδίον ἀνδρῶν καὶ ἵππων καὶ ὅπλων ἀνεπέπλητο, καὶ μάχης ἤρθη παρ' ἀμφοτέρων σημεῖα, πρῶτος ἐκ τῆς Καίσαρος φάλαγγος ἐξέδραμε Γάϊος Κρασσιανὸς [4] ἀνδρῶν ἑκατὸν εἴκοσι λοχαγῶν, μεγάλην ἀποδιδὲς ὑπόσχεσιν Καίσαρι. πρῶτον γὰρ αὐτὸν ἐξιὼν τὸ χάρακος εἶδε, καὶ προσαγορεύσας, ἤρετο, πῶς φρονοίη περὶ τῆς μάχης. ὁ δὲ τὴν δεξιὰν προτείνας ἀνεβόησε· Νικήσεις λαμπρῶς, ὦ Καῖσαρ· ἐμὲ δ' ἢ ζῶν]α τήμερον, ἢ νεκρὸν ἐπαινέσεις. τέτων τῶν λόγων μεμνημένος, ἐξώρμησε καὶ συνεπεσπάσατο πολλὲς, καὶ προσέβαλε κατὰ μέσες τὲς πολεμίες· γενομένε δὲ τὸ ἀγῶνος εὐθὺς ἐν ξίφεσι, καὶ πολλῶν φονευομένων, βιαζόμενον πρόσω καὶ διακόπ]οντα τὲς πρώτες ὑποςάς τις ὠθεῖ διὰ τὸ ςόματος τὸ ξίφος, ὥςε τὴν αἰχμὴν περάσασαν ἐνχεῖν [5] κατὰ τὸ ἰνίον. πεσόν]ος δὲ



1 R. monet, ſententiam poſtulare ὄτω δὲ ποιὄντες σὺν δίκῃ τε καὶ δόξῃ ἄμικ]α; — ποικίλα autem addi ad ſignificandum, in tanta multitudine & varietate gentium devincenda ſatis & ſuper negotii futurum fuiſſe, ſi juviſſet illuc animum atque arma vertere.

2 R. mavult συνίεσαν, *intelligebant, ſe ne ſuae quidem gloriae commiſeratione ductos fuiſſe.*

3 abſunt εὐθὺς ἦν a SG.

4 Anon. ad h. v. ita — *Craſtinum* Caeſar vocat, Appianus *Craſſinum.* Mox ſeq. ἑκατὸν deeſt Junt.

5 R. mavult ἐνχεθῆναι.

δὲ τοῦ Κρασσιανοῦ, κατὰ τοῦτο μὲν ἦν ἰσόῤῥοπος ἡ μάχη· τὸ δὲ δεξιὸν ὁ Πομπήϊος οὐ ταχέως ἐπῆγεν, ἀλλὰ παπταίνων ἐπὶ θάτερα, καὶ τὸ τῶν ἱππέων ἀναμένων ἔργον ἐνδιέτριβεν. ἤδη δ' ἐκεῖνοι τοὺς οὐλαμοὺς [1] ἀνῆγον, ὡς κυκλωσόμενοι τὸν Καίσαρα, καὶ τοὺς προτεταγμένους ἱππεῖς ὀλίγους ὄντας ἐμβαλόντες [2] εἰς τὴν φάλαγγα. Καίσαρος δὲ τὸ [3] σημεῖον ἄραντος, οἱ μὲν ἱππεῖς ἐξανεχώρησαν, αἱ δ' ἐπιτεταγμέναι σπεῖραι πρὸς τὴν κύκλωσιν ἐκδραμοῦσαι, τρισχίλιοι ἄνδρες, ὑπαντιάζουσι τοὺς πολεμίους, καὶ παριστάμενοι καθ' ἱππέων [4], ὡς ἐδιδάχθησαν, ὑψηλοῖς ἐχρῶντο τοῖς ὑσσοῖς, ἐφιέμενοι τῶν προσώπων. οἱ δ', ἅτε μάχης πάσης ἄπειροι, τοιαύτην δὲ μηδὲ [5] προσδοκήσαντες, μηδὲ προμαθόντες, οὐκ ἐτόλμων, οὐδ' ἠνείχοντο τὰς πληγὰς ἐν ὄμμασι καὶ στόμασιν οὔσας, ἀλλ' ἀποστρεφόμενοι καὶ προϊσχόμενοι τῶν ὄψεων τὰς χεῖρας, ἀκλεῶς ἐτράποντο. φευγόντων δὲ τούτων ἀμελήσαντες οἱ Καίσαρος, ἐχώρουν ἐπὶ τοὺς πεζοὺς, ᾗ μάλιστα τῶν ἱππέων τὸ κέρας ἐψιλωμένον περιδρομὴν [6] ἐδίδου καὶ κύκλωσιν. ἅμα δὲ τούτων ἐκ πλαγίου προσπεσόντων, καὶ κατὰ στόμα τοῦ δεκάτου προσμίξαντος, οὐχ ὑπέμειναν, οὐδὲ συνέστησαν, ὁρῶντες ἐν ᾧ κυκλώσεσθαι τοὺς πολεμίους ἤλπιζον, αὐτοὺς τοῦτο πάσχοντας.

LXXII. Τραπομένων δὲ τούτων, ὡς κατεῖδε τὸν κονιορτὸν ὁ Πομπήϊος, καὶ τὸ περὶ τοὺς ἱππέας πάθος εἴκασεν, ᾧ μὲν ἐχρήσατο λογισμῷ χαλεπὸν εἰπεῖν, μάλιστα δ' ὅμοιος παράφρονι καὶ παραπλῆγι τὴν διάνοιαν, καὶ

1 V. ὑλαμούς.

2 Br. mavult ἐμβαλοῦντες; R. autem ἐνέβαλον εἰς τὴν φ.

3 Artic. de ſuo addidit R.

4 Sic R. de ſuo dedit pro vulg. ἵππων, cum res univerſa doceat, non de equis hic agi, ſed de equitibus.

5 SG. μή.

6 SG. ἐπιδρομήν.

καὶ μηδ' ὅτι Μάγνος ἐςὶ Πομπήϊος ἐννοῦντι, μηδένα προσειπὼν, ἀπῄει βάδην εἰς τὸν χάρακα, πάνυ τοῖς ἔπεσι πρέπων ἐκείνοις·

Ζεὺς δὲ πατὴρ Αἴανθ' ὑψίζυγος ἐν Φόβον [1] ὦρσε·
Στῆ δὲ ταφὼν, ὄπιθεν δὲ σάκος βάλεν ἑπταβόειον,
Τρέσσε δὲ παπτήνας ἀφ' [2] ὁμίλου.

τοιοῦτος εἰς τὴν σκηνὴν παρελθὼν, ἄφθογγος καθῆςο, μέχρις [3] οὗ τοῖς φεύγουσι πολλοὶ διώκοντες συνέπιπτον· τότε δὲ φωνὴν μίαν ἀφεὶς ταύτην· Οὐκοῦν καὶ ἐπὶ τὴν παρεμβολήν; ἄλλο δὲ μηδὲν εἰπὼν, ἀναςὰς, καὶ λαβὼν ἐσθῆτα τῇ παρούσῃ τύχῃ πρέπουσαν, ὑπεξῆλθεν. ἔφυγε δὲ καὶ τὰ λοιπὰ τάγματα, καὶ φόνος ἐν τῷ ςρατοπέδῳ πολὺς ἐγένετο σκηνοφυλάκων καὶ θεραπόντων· ςρατιώτας δὲ μόνους ἑξακισχιλίους φησὶ πεσεῖν [4] Ἀσίννιος Πολίων, μεμαχημένος ἐκείνην τὴν μάχην μετὰ Καίσαρος. αἱροῦντες δὲ τὸ ςρατόπεδον, ἐθεῶντο τὴν ἄνοιαν καὶ κουφότητα τῶν πολεμίων. πᾶσα γὰρ [5] σκηνὴ μυρσίναις κατέςεπτο, καὶ ςρωμναῖς ἀνθιναῖς ἤσκητο, καὶ τραπέζαις ἐκπωμάτων μεςαῖς· καὶ κρατῆρες οἴνου προὔκειντο, καὶ παρασκευὴ καὶ κόσμος ἦν τεθυκότων καὶ πανηγυριζόντων μᾶλλον, ἢ πρὸς μάχην ἐξοπλιζομένων. οὕτω ταῖς ἐλπίσι διεφθαρμένοι, καὶ γέμοντες ἀνοήτου θράσους, ἐπὶ τὸν πόλεμον ἐχώρουν.

LXXIII. Πομπήϊος δὲ, μικρὸν ἔξω τοῦ χάρακος προελθὼν, τὸν μὲν ἵππον ἀφῆκεν, ὀλίγων δὲ κομιδῆ περὶ αὐτὸν ὄντων, ὡς οὐδεὶς ἐδίωκεν, ἀπῄει καθ' ἡσυχίαν, ἐν διαλογισμοῖς ὤν, οἵους εἰκὸς λαμβάνειν ἄνθρωπον ἔτη τέτταρα καὶ τριάκοντα νικᾶν καὶ κρατεῖν ἁπάντων εἰθισμένον, ἥττης δὲ καὶ φυγῆς τότε πρῶτον ἐν γήρᾳ λαμ-



1 V. Φόβος. SG. ἔμφοβον pro ἐν Φόβ.
2 SG. ἐφ'. — Cf. Hom. Il. XI. 543. sq.
3 SG. μέχρι. Sic & Junt. Pari modo ἄχρι cap. seq.
4 SG. πεσεῖν φησιν.
5 abest γὰρ a SG.

λαμβάνοντα πεῖραν· ἐννοούμενον δ', ἐξ ὅσων ἀγώνων καὶ πολέμων ηὐξημένην ἀποβαλὼν ὥρᾳ μιᾷ δόξαν καὶ δύναμιν, ἢ [1] πρὸ μικροῦ τοσούτοις ὅπλοις καὶ ἵπποις καὶ στόλοις δορυφορούμενος, ἀπέρχεται μικρὸς οὕτω γεγονὼς καὶ συνεσταλμένος, ὥστε λανθάνειν ζητοῦντας τοὺς πολεμίους. παραμειψάμενος δὲ Λάρισσαν, ὡς ἦλθεν ἐπὶ τὰ Τέμπη, καταβαλὼν ἑαυτὸν ἐπὶ στόμα [2] δεδιψηκὼς, ἔπινε τοῦ ποταμοῦ, καὶ πάλιν ἀναστὰς ἐβάδιζε διὰ τῶν Τεμπῶν, ἄχρις οὗ κατῆλθεν ἐπὶ τὴν [3] θάλατταν. ἐκεῖ δὲ τῆς νυκτὸς τὸ λοιπὸν ἀναπαυσάμενος ἐν καλυβίῳ τινὶ σαγηνέων, καὶ περὶ τὸν ὄρθρον ἐπιβὰς ποταμίου πλοίου, καὶ τῶν ἑπομένων τοὺς ἐλευθέρους ἀναλαβὼν, τοὺς δὲ θεράποντας ἀπιέναι [4] πρὸς Καίσαρα κελεύσας, καὶ μὴ δεδιέναι· παρὰ γῆν κομιζόμενος, εἶδεν εὐμεγέθη [5] φορτηγὸν ἀνάγεσθαι μέλλουσαν, ἧς ἐναυκλήρει Ῥωμαῖος ἀνὴρ, οὐ πάνυ Πομπηΐῳ συνήθης, γινώσκων δὲ τὴν ὄψιν αὐτοῦ· Πετίκιος ἐκαλεῖτο [6]. τούτῳ συνεβεβήκει τῆς παρῳχημένης νυκτὸς ἰδεῖν κατὰ τοὺς ὕπνους Πομπήϊον, οὐχ ὃν ἑώρακε πολλάκις, ἀλλὰ ταπεινὸν καὶ κατηφῆ, προσδιαλεγόμενον αὐτῷ. καὶ ταῦτα τοῖς συμπλέουσιν ἐτύγχανε διηγούμενος, ὡς δὴ φιλεῖ περὶ τῶν [7] πραγμάτων τηλικούτων λόγον ἔχειν ἀνθρώπους σχολὴν ἄγοντας. ἐξαίφνης δέ τις τῶν ναυτῶν ἔφρασε κατιδὼν, ὅτι πλοῖον ποτάμιον ἀπὸ τῆς γῆς ἐρέσσεται, καὶ κατασείουσι τινὲς ἄνθρωποι τὰ ἱμάτια, καὶ τὰς χεῖρας ὀρέγουσι πρὸς αὐτούς. ἐπιστὰς οὖν Πετίκιος [8], εὐθὺς ἔγνω τὸν Πομπήϊον, οἷον

1 R. mavult ὁ, nisi si quid desit e. c. ἢ πρὸ μικροῦ ἐφαίνετο τοσούτοις —

2 SG. ἐπὶ τὸ στόμα.

3 τὴν abest a SG.

4 Sic cum H. Steph. legi voluit Br. deditque R. Vulgo ἀπεῖναι.

5 V. ἐν μεγέθει.

6 V. ὑπεκαλεῖτο. SG. ἐπεκαλεῖτο.

7 R. mavult sine artic. uti & l. f. λόγους pro λόγον.

8 SG. cum artic. ὁ Πετίκιος.

οἷον ὄναρ εἶδε· καὶ πληξάμενος τὴν κεφαλὴν, ἐκέλευσε τὰς ναύτας τὸ ἐφόλκιον παραβαλεῖν, καὶ τὴν δεξιὰν ἐξέτεινε, καὶ προσεκάλει τὸν Πομπήϊον, ἤδη συμφρονῶν τῷ σχήματι τὴν τύχην καὶ μεταβολὴν τᾶ ἀνδρός. ὅθεν ἄτε παράκλησιν ἀναμείνας, ἄτε λόγον, ἀλλ' ἀναλαβὼν ὅσας ἐκέλευσε μετ' αὐτᾶ (Λέντυλοι δ' ἦσαν ἀμφότεροι, καὶ Φαώνιος) ἀνήχθη· καὶ μικρὸν ὕστερον ἰδόντες ἀπὸ γῆς ἀμιλλώμενον Δηϊόταρον [1] τὸν βασιλέα προσαναλαμβάνασιν. ἐπεὶ δὲ καιρὸς ἦν δείπνα, καὶ παρεσκεύασεν ὁ ναύκληρος ἐκ τῶν παρόντων, ἰδὼν ὁ Φαώνιος οἰκετῶν ἀπορίᾳ τὸν Πομπήϊον ἀρχόμενον αὐτὸν ὑπολύειν, προσέδραμε καὶ ὑπέλυσε [2] καὶ συνήλειψε. καὶ τὸ λοιπὸν ἐκ τάτα περιέπων καὶ θεραπεύων, ὅσα δεσπότας δᾶλοι, μέχρι νίψεως ποδῶν, καὶ δείπνα παρασκευῆς διετέλεσεν· ὥστε τὴν ἐλευθεριότητα τῆς ὑπεργίας ἐκείνης θεασάμενον ἄν τινα [3] καὶ τὸ ἀφελὲς καὶ ἄπλαστον, εἰπεῖν·

Φεῦ [4] τοῖσι γενναίοισιν ὡς ἅπαν καλόν.

LXXIV. Οὕτω δὲ παραπλεύσας ἐπ' Ἀμφιπόλεως, ἐκεῖθεν εἰς Μιτυλήνην ἐπέρα, ἄτω [5] βαλόμενος Κορνηλίαν ἀναλαβεῖν καὶ τὸν υἱόν. ἐπεὶ δὲ προσέσχε τῇ νήσῳ κατ' αἰγιαλὸν, ἔπεμψεν εἰς πόλιν ἄγγελον, ἀχ ὡς [6] ἡ Κορνηλία προσεδόκα, τοῖς πρὸς χάριν ἀπαγγελλομένοις καὶ γραφομένοις ἐλπίζασα τᾶ πολέμα κεκριμένα περὶ

1 V. Δικόταρον. Seq. προσαναλ. Mos. Duf. cum SG. Anon. Mur. & edd. Stephanica prioribus dandum censuit, deditque R. pro vulg. ἀναλαμβάνασιν.

2 Sic Junt. & SG. uti antea ὑπολύειν. Restituit hanc lectionem R. pro ἀπολύειν, ὑπέλυσε, quod ex Ald. in reliquas edd. manavit.

3 Partic. ἂν R. de suo addidit.

4 Euripidis sunt haec. Pro τοῖσι Junt. Ald. Crat. τίσι.

5 R. susp. ἄπω, nondum. Ante Κορνηλ. V. & SG. artic. τήν.

6 Locus Mosi Duf non videtur sanus, paulo melius autem habiturus, si pro ὡς legatur οἷον.

ρὶ Δυῤῥάχιον ἔτι λοιπὸν ἔργον εἶναι Πομπηΐῳ την Καίσαρος δίωξιν. ἐν τέτοις ἔσαν αὐτὴν καταλαβὼν ὁ ἄγγελος, ἀσπάσαϑαι μὲν ἐχ ὑπέμεινε, τὰ δὲ πλεῖςα καὶ μέγιςα τῶν κακῶν τοῖς δάκρυσι μᾶλλον, ἢ τῇ Φωνῇ, Φράσας, σπεύδειν ἐκέλευσεν, εἰ βέλεταί πως Πομπήϊον ἰδεῖν ἐπὶ νεὼς μιᾶς καὶ ἀλλοτρίας. ἡ δ' ἀκέσασα προήκατο μὲν αὐτὴν χαμᾶζε, καὶ πολὺν χρόνον ἔκφρων καὶ ἄναυδος ἔκειτο· μόλις δέ πως ἔμφρων γενομένη, καὶ συννοήσασα τὸν καιρὸν ἐκ ὄντα ϑρήνων καὶ δακρύων, ἐξέδραμε διὰ τῆς πόλεως ἐπὶ ϑάλατῖαν. ἀπαντήσανῖος δὲ τῦ Πομπηΐε, καὶ δεξαμένε ταῖς ἀγκάλαις αὐτὴν ὑπερειπομένην καὶ περιπίπῖεσαν· Ὁρῶ σε, εἶπεν, ἄνερ, ἐ τῆς σῆς τύχης ἔργον, ἀλλὰ τῆς ἐμῆς, προσεῤῥιμμένον ἑνὶ σκάφει, τὸν πρὸ τῶν Κορνηλίας γάμων πεντακοσίαις ναυσὶ ταύτην παραπλεύσαντα τὴν ϑάλασσαν. τί μ' ἦλϑες ἰδεῖν, καὶ ἐκ ἀπέλιπες τῷ βαρεῖ δαίμονι τὴν καί σὲ δυστυχίας ἀναπλήσασαν τοσαύτης; ὡς εὐτυχὴς μὲν ἂν ἤμην γυνὴ, πρὸ τῦ Πόπλιον ἐν Πάρϑοις ἀκῦσαι τὸν παρϑένιον [1] ἄνδρα κείμενον ἀποϑανῦσα· σώφρων δὲ, μετ' ἐκεῖνον, ὥσπερ ὥρμησα, τὸν ἐμαυτῆς προεμένη βίον; ἐσωζόμην δ' ἄρα καὶ Πομπηΐῳ Μάγνῳ συμφορὰ γενέϑαι.

LXXV. Ταῦτ' εἰπεῖν τὴν Κορνηλίαν λέγεσι· τὸν δὲ Πομπήϊον ἀποκρίναϑαι· Μίαν ἄρα, Κορνηλία, τύχην ᾔδεις τὴν ἀμείνονα, ἣ καί σε ἴσως ἐξηπάτησεν, ὅτι μοι χρόνον πλείονα τῦ συνήϑες παρέμεινεν. ἀλλὰ καὶ ταῦτα δεῖ φέρειν, γενομένες ἀνϑρώπες, καὶ τῆς τύχης ἔτι πειρατέον. ἐ γὰρ ἀνέλπιςον ἐκ τέτων ἀναλαβεῖν ἐκεῖνα, τὸν ἐξ ἐκείνων ἐν τέτοις γενόμενον. ἡ μὲν ἕν γυνὴ μετεπέμπετο χρήματα καὶ ϑεράπονῖας ἐκ τῆς [2] πόλεως· τῶν δὲ Μιτυληναίων τὸν Πομπήϊον ἀσπασαμένων, καὶ παρακαλέντων εἰσελϑεῖν εἰς τὴν πόλιν, ἐκ ἠϑέλη-

1 V. παρϑενικόν.
2 Artic. de suo addidit R.

ἠθέλησεν, ἀλλὰ κἀκεῖνες ἐκέλευσε τῷ κρατοῦντι πείθεσθαι καὶ θαῤῥεῖν· εὐγνώμονα γὰρ εἶναι Καίσαρα καὶ χρηστόν. αὐτὸς δὲ πρὸς Κράτιππον, τραπόμενος τὸν Φιλόσοφον (κατέβη γὰρ ἐκ τῆς πόλεως ὀψόμενος αὐτὸν) ἐμέμψατο καὶ συνδιηπόρησε βραχέα περὶ τῆς προνοίας, ὑποκατακλινομένε τοῦ Κρατίππε, καὶ παράγοντος αὐτὸν ἐπὶ τὰς ἀμείνονας ἐλπίδας, ὅπως μὴ λυπηρὸς, μηδ' ἄκαιρος ἀντιλέγων εἴη. ἐπεὶ τὸ μὲν [1] ἐρέσθαι τὸν Πομπήϊον ἦν ὑπὲρ τῆς προνοίας, τὸν δ' ἀποφαίνεσθαι, ὅτι τοῖς πράγμασιν ἤδη μοναρχίας ἔδει διὰ τὴν κακοπολιτείαν· ἐρέσθαι δὲ [2]. Πῶς, ὦ Πομπήϊε, καὶ τίνι τεκμηρίῳ πειθῶμεν, ὅτι βέλτιον ἂν σὺ τῇ τύχῃ Καίσαρος ἐχρήσω κρατήσας; ἀλλὰ ταῦτα μὲν ἐατέον ὥσπερ ἔχει τὰ τῶν θεῶν.

LXXVI. Ἀναλαβὼν δὲ τὴν γυναῖκα καὶ τὲς φίλες, ἐκομίζετο, προσίσχων ὅρμοις ἀναγκαίοις ὕδωρ, ἢ ἀγορὰν, ἔχεσιν. εἰς δὲ πόλιν εἰσῆλθε πρώτην Ἀτ]άλειαν [3] τῆς Παμφυλίας. ἐνταῦθα δ' αὐτῷ καὶ τριήρεις τινὲς

1 R. mavult τὸν μὲν, ut insequens τὸν Πομ. hujus τὸν μὲν sit interpretatio — *alterum quidem, Pompejum puta, decebat de providentia quaerere.* Mosi Duf. dictio ὑπὲρ τῆς προν. ἐρέσθαι idem valere videtur, ac *providentiae nomine interrogare*; paulo post autem pro τὸν δ' mavult τὸ δ', ita ut sit sententia Plutarchi: potuisse Cratippum, *tum* providentiae nomine a Pompejo quaerere, quo tandem argumento constiterit, usurum fuisse melius fortuna, si vicisset, quam Caesarem: *tum* ostendere &c. H. Steph. nota prolixiori hunc locum suspectum habet, tanquam omissa quaepiam aut perturbata, aut etiam perperam scripta habentem. Ita tandem eum vult explicari, Cratippum potuisse (nisi timuisset, ne λυπηρὸς atque ἄκαιρος esset) multa in defensionem τῆς προνοίας afferre; & Pompejo inter alia dicenti remp. in tam malo statu fuisse, ut monarchia opus haberet, objecisse: sed si ad te monarchia illa venisset &c.

2 R. susp. ἀντερέσθαι δὲ ἄκαιρον ἦν, Cratippum autem vicissim e Pompejo quaerere — — id vero utique erat importunum.

3 SG. Ἀτταλίαν. Seq. art. τῆς deest Jun.

τινὲς ἀπήντησαν ἐκ Κιλικίας, καὶ στρατιῶται συνελέγοντο, καὶ τῶν συγκλητικῶν πάλιν ἑξήκοντα περὶ αὐτὸν ἦσαν. ἀκούων δὲ καὶ τὸ ναυτικὸν ἔτι συνεστάναι, καὶ Κάτωνα πολλοὺς στρατιώτας ἀνειληφότα περαιοῦν εἰς Λιβύην, ὠδύρετο πρὸς τοὺς φίλους καταμεμφόμενος ἑαυτὸν ἐκβιασθέντα πεζῷ [1] συμβαλεῖν, τῇ δὲ κρείττονι ἀδηρίτως δυνάμει πρὸς μηδὲν ἀποχρήσασθαι, μηδὲ περιορμίσαι [2] τὸ ναυτικὸν, ὅπου κατὰ γῆν σφαλεὶς, εὐθὺς ἂν εἶχεν ἀντίπαλον ἐκ θαλάττης παρεστῶσαν ἀλκὴν καὶ δύναμιν τοσαύτην. οὐδὲ γὰρ [3] ἁμάρτημα Πομπηΐου μεῖζον, οὐδὲ δεινότερον στρατήγημα Καίσαρος, ἢ τὸ τὴν μάχην οὕτω μακρὰν ἀποσπάσασθαι τῆς ναυτικῆς βοηθείας. οὐ μὴν ἀλλ' ἐκ τῶν παρόντων κινεῖν [4] τι καὶ πράττειν ἀναγκαζόμενος, ἐπὶ τὰς πόλεις παρέπεμπε [5]. τὰς δ' αὐτὸς περιπλέων ᾔτει χρήματα, καὶ ναῦς ἐπλήρου. τὴν δ' ὀξύτητα τοῦ πολεμίου καὶ τὸ τάχος δεδοικὼς, μὴ προαναρπάσῃ τῆς παρασκευῆς αὐτὸν ἐπελθὼν, ἐσκόπει καταφυγὴν [6] ἐπὶ τῷ παρόντι καὶ ἀναχώρησιν. ἐπαρχία μὲν οὖν οὐδεμία φυλάξιμος [7] ἐφαίνετο βουλευομένοις αὐτοῖς· τῶν δὲ βασιλειῶν αὐτὸς μὲν ἀπέφαινε τὴν Πάρθων ἱκανωτάτην οὖσαν ἔν τε τῷ παρόντι δέξασθαι καὶ περιβαλεῖν σφᾶς ἀσθενεῖς ὄντας, αὖθίς τε ῥῶσαι καὶ προπέμψαι μετὰ πλείστης δυνάμεως· τῶν δ' ἄλλων οἱ μὲν εἰς Λιβύην καὶ Ἰόβαν ἔτρεπον τὴν γνώμην. Θεοφάνει δὲ τῷ Λεσβίῳ μανικὸν ἐδόκει τριῶν ἡμερῶν πλοῦν ἀπέχουσαν Αἴγυπτον ἀπολιπόντας, καὶ Πτολεμαῖον, ἡλικίαν μὲν

μὲν

1 Br. cum V. & Mur. legi voluit τῷ πεζῷ.

2 SG. περιορμῆσαι. Sic & Junt. Ald. Crat. exhibent. — Br. ſuſp. παρορμίσαι. Pro ſeq. ὅπου H. Steph. ſuſp. ὅπως.

3 V. SG. οὐδὲν γάρ.

4 SG. κρίνειν. Sic & Junt.

5 Moſ. Duſ. cum V. Anon. & Mur. dari voluit περιέπεμπε.

6 Junt. καταφυγεῖν, & paulo poſt ἀναχωρῆσαι.

7 V. Anon. Mur. & Steph. codd. φύξιμος, quam vocem praeferendam cenſuerunt H. Steph. Br. & Moſ. Duſ.

μὲν ἀντίπαιδα [1], φιλίας δὲ καὶ χάριτος πατρῴας ὑπόχρεων, Πάρθοις ὑποβαλεῖν ἑαυτὸν, ἀπιστοτάτῳ γένει· καὶ Ῥωμαίῳ μὲν ἀνδρὶ, κηδεστῇ γενομένῳ, τὰ δεύτερα λέγοντα [2], πρῶτον εἶναι τῶν ἄλλων μὴ θέλειν, μηδὲ πειρᾶσθαι τῆς ἐκείνου μετριότητος· Ἀρσάκην [3] δὲ ποιεῖσθαι κύριον ἑαυτοῦ, τὸν μηδὲ Κράσσου δυνηθέντα ζῶντος· καὶ γυναῖκα νέαν, οἴκου τοῦ Σκιπίωνος, εἰς βαρβάρους κομίζειν ὕβρει καὶ ἀκολασίᾳ τὴν ἐξουσίαν μετροῦντας. ᾗ [4], κἂν μὴ πάθῃ, δόξῃ δὲ παθεῖν, δεινόν ἐστιν ἐπὶ τοῖς ποιῆσαι δυναμένοις γενομένῃ. τοῦτο μόνον, ὥς φασιν, ἀπέτρεψε [5] τῆς ἐπὶ τὸν Εὐφράτην ὁδοῦ Πομπήϊον· εἴ δή τις ἔτι [6] Πομπηΐου λογισμὸς, ἀλλ' οὐχὶ δαίμων ἐκείνην ὑφηγεῖτο τὴν ὁδόν.

LXXVII. Ὡς δ' οὖν ἐνίκα φεύγειν εἰς τὴν Αἴγυπτον, ἀναχθεὶς ἀπὸ Κύπρου Σελευκίδι τριήρει μετὰ τῆς γυναικὸς, (τῶν δ' ἄλλων οἱ μὲν ἐν μακραῖς ὁμοίως ναυσὶν, οἱ δ' ἐν ὁλκάσιν ἅμα συμπαρέπλεον) τὸ μὲν πέλαγος διεπέρασεν ἀσφαλῶς· πυθόμενος δὲ, τὸν Πτολεμαῖον ἐν Πηλουσίῳ καθῆσθαι μετὰ στρατιᾶς [7], πολεμοῦντα πρὸς τὴν ἀδελφὴν, ἐκεῖ κατέσχε, προπέμψας τὸν φράσοντα τῷ βασιλεῖ καὶ δεησόμενον. ὁ μὲν οὖν Πτολεμαῖος ἦν κομιδῇ νέος· ὁ δὲ πάντα διέπων τὰ πράγματα

1 V. ἀντίποδα.

2 Anon. & Mur. νέμοντα. Moses Duf. si a λέγοντα recedendum sit, mavult λαχόντα.

3 *Arsacem* nullum his temporibus Parthorum regem fuisse, & *Arsacidem* dicere voluisse aut Theophanem, aut Plutarchum, monet Dacerius.

4 Sic R. de suo dedit pro vulg. ἢ, uti & postea γενομένῃ pro vulg. γενομένην, quod ex Ald. manavit. Junt. γενομένη. Valet pro infinit. γενέσθαι. Mur. ἣν κἂν μὴ πάθῃ, δόξῃ τοῦ παθεῖν δεινόν ἐστιν ἰδεῖν ἐπὶ τοῖς. Junt. Ald. Crat. δόξα pro δόξῃ.

5 V. ἀπέστρεψε.

6 Junt. sola ἐστι.

7 SG. στρατείας. Sic & Junt. Ald. Crat.

γματα Ποθεινὸς [1] ἤθροισε βουλὴν τῶν δεινοτάτων. ἐδύναντο δὲ μέγιστον οὓς ἐκεῖνος ἐβούλετο, καὶ λέγειν ἐκέλευσεν ἣν ἔχει γνώμην ἕκαστος. ἦν οὖν δεινὸν περὶ Πομπηΐου Μάγνου βουλεύεσθαι Ποθεινὸν τὸν εὐνοῦχον, καὶ Θεόδοτον τὸν Χῖον, ἐπὶ μισθῷ ῥητορικῶν λόγων διδάσκαλον ἀνειλημμένον, καὶ τὸν Αἰγύπτιον Ἀχιλλᾶν. κορυφαιότατοι γὰρ ἦσαν ἐν κατευνασταῖς καὶ τιθηνοῖς τοῖς ἄλλοις οὗτοι σύμβουλοι. καὶ τοιούτου δικαστηρίου ψῆφον Πομπήϊος ἐπ' ἀγκυρῶν πρόσω τῆς χώρας ἀποσαλεύων περιέμενεν, ὃν [2] Καίσαρι σωτηρίας χάριν οὐκ ἦν ἄξιον ὀφείλειν. τῶν μὲν οὖν ἄλλων τοσοῦτον αἱ γνῶμαι διέστησαν, ὅσον οἱ μὲν ἀπελαύνειν ἐκέλευον, οἱ δὲ καλεῖν καὶ δέχεσθαι τὸν ἄνδρα· Θεόδοτος δὲ, δεινότητα λόγου καὶ ῥητορείαν ἐπιδεικνύμενος, οὐδέτερον ἀπέφηνεν ἀσφαλὲς, ἀλλὰ δεξαμένους μὲν, ἕξειν Καίσαρα πολέμιον, καὶ δεσπότην Πομπήϊον· ἀπωσαμένους δὲ, καὶ Πομπηΐῳ τῆς ἐκβολῆς ὑπαιτίους ἔσεσθαι, καὶ Καίσαρι τῆς διώξεως [3]· κράτιστον οὖν εἶναι μεταπεμψαμένους ἀνελεῖν τὸν ἄνδρα· καὶ γὰρ ἐκείνῳ χαριεῖσθαι, καὶ τοῦτον οὐ φοβήσεσθαι. προσεπεῖπε [4] δὲ διαμειδιάσας, ὥς φασιν, ὅτι νεκρὸς οὐ δάκνει.

LXXVIII Ταῦτα κυρώσαντες, ἐπ' Ἀχιλλᾷ ποιοῦνται τὴν πρᾶξιν. ὁ δὲ Σεπτίμιόν τινα πάλαι γεγονότα Πομπηΐου ταξίαρχον παραλαβὼν, καὶ Σάλβιον ἕτερον ἑκατοντάρχην, καὶ τρεῖς, ἢ τέτταρας ὑπηρέτας, ἀνήχθη πρὸς τὴν Πομπηΐου ναῦν. ἔτυχον δὲ πάντες εἰς αὐτὴν [5] οἱ

1 Anon. & Mur. Φωτῖνος. Pro seq. δεινοτάτων Anon. δυνατωτάτην. SG. δυνατωτάτων.

2 Mosi Duſ. legendum videtur ᾧ, ut Graeca id ſignificent, quod volunt.

3 Junt. & Ald. διώσεως. Crat. διώξεως.

4 Junt. ſola προσέπιπτε, unde R. dubitat, an efficiendum ſit προσεπέῤῥιπτε.

5 Junt. Ald. Crat. αὐτόν.

οἱ δοκιμώτατοι τῶν συμπλεόντων ἐμβεβηκότες, ὅπως εἰδεῖεν τὸ πραττόμενον. ὡς οὖν εἶδον οὐ βασιλικὴν, οὐδὲ λαμπρὰν, οὐδὲ ταῖς Θεοφάνους ἐλπίσιν ὁμοίαν ὑποδοχὴν, ἀλλ' ἐπὶ μιᾶς ἁλιάδος προσπλέοντας ὀλίγους ἀνθρώπους, ὑπείδοντο τὴν ὀλιγωρίαν· καὶ τῷ Πομπηΐῳ παρῄνουν εἰς πέλαγος ἀνακρούεσθαι τὴν ναῦν, ἕως ἔξω βέλους εἰσίν. ἐν τούτῳ δὲ πελαζούσης τῆς ἁλιάδος, Φθάσας ὁ Σεπτίμιος ἐξανέστη, καὶ Ῥωμαϊστὶ τὸν Πομπήϊον αὐτοκράτορα προσηγόρευσεν. ὁ δ' Ἀχιλλᾶς, ἀσπασάμενος αὐτὸν Ἑλληνιστὶ, παρεκάλει μετελθεῖν εἰς τὴν ἁλιάδα· τέναγος γὰρ εἶναι πολὺ, καὶ βάθος οὐκ ἔχειν πλόϊμον τριήρει [1] τὴν θάλατταν, ὑπόψαμμον οὖσαν. ἅμα δὲ καὶ νῆές τινες ἑωρῶντο τῶν βασιλικῶν πληρούμεναι, καὶ τὸν αἰγιαλὸν ὁπλῖται κατεῖχον. ὥστ' ἄφυκτα καὶ μεταβαλλομένοις ἐφαίνετο, καὶ προσῆν τὸ διδόναι τοῖς φονεῦσι τὴν ἀπιστίαν αὐτὴν τῆς ἀδικίας ἀπολογίαν. ἀσπασάμενος οὖν τὴν Κορνηλίαν προαποθρηνοῦσαν αὐτοῦ τὸ τέλος, καὶ δύο ἑκατοντάρχας προεμβῆναι κελεύσας, καὶ τῶν ἀπελευθέρων ἕνα, Φίλιππον, καὶ θεράποντα, Σκήνην [2] ὄνομα, δεξιουμένων αὐτὸν ἤδη τῶν περὶ Ἀχιλλᾶν, ἐκ τῆς ἁλιάδος μεταστραφεὶς πρὸς τὴν γυναῖκα καὶ τὸν υἱὸν, εἶπε Σοφοκλέους ἰαμβεῖα·

Ὅστις δὲ πρὸς τύραννον ἐμπορεύεται [3],  
Κείνου 'στὶ δοῦλος, κἂν ἐλεύθερος μόλῃ.

LXXIX. Ταῦτα δ' ἔσχατα πρὸς τοὺς ἑαυτοῦ Φθεγξάμενος ἐνέβη· καὶ συχνοῦ διαστήματος ὄντος ἐπὶ τὴν γῆν ἀπὸ τῆς τριήρους, ὡς οὐδεὶς παρὰ [4] τῶν συμπλεόντων ἐγίνετο λόγος Φιλάνθρωπος πρὸς αὐτὸν, ἀποβλέψας

1 SG. τριήρη. Sic & Iin. seq. cum Junt. ναῦς pro νῆες.

2 Junt. (non Σκίνην, ut est in nota R. ed.) cum Ald. & Crat. σκύνην. V. Σκύθην, Σκύην. SG. Σκύθην.

3 V. ἐκπορεύεται.

4 Junt. Ald. Crat. περὶ.

ψας εἰς τὸν Σεπτίμιον· Οὐ δή πε σ', εἶπεν, ἐγὼ γεγονότα συςρατιώτην ἐμὸν ἀμφιγνοῶ; κἀκεῖνος ἐπένευσε τῇ κεφαλῇ μόνον, ἐδὲν προσειπὼν, ἐδὲ φιλοφρονηθείς. πολλῆς ἐν πάλιν ἔσης σιωπῆς, ὁ Πομπήϊος ἔχων ἐν βιβλίῳ μικρῷ γεγραμμένον ὑπ' αὐτῦ λόγον Ἑλληνικὸν, ᾧ παρεσκεύαςο χρῆσθαι πρὸς τὸν Πτολεμαῖον, ἀνεγίνωσκεν. ὡς δὲ τῇ γῇ προσεπέλαζον, ἡ μὲν Κορνηλία μετὰ τῶν φίλων ἐκ τῆς τριήρες περιπαθὴς ἔσα τὸ μέλλον ἐπεσκοπεῖτο [1], καὶ θαῤῥεῖν ἤρχετο, πολλὲς ὁρῶσα πρὸς τὴν ἀπόβασιν τῶν βασιλικῶν, οἷον ἐπὶ τιμῇ καὶ δεξιώσει, συνερχομένες. ἐν τέτῳ δὲ τὸν Πομπήϊον, τῆς τε Φιλίππε λαμβανόμενον χειρὸς, ὅπως ῥᾷον ἐξαναςαίη [2], Σεπτίμιος ὄπισθεν τῷ ξίφει διελαύνει πρῶτον, εἶτα Σάλβιος μετ' ἐκεῖνον, εἶτ' [3] Ἀχιλλᾶς, ἐσπάσαντο [4] τὰς μαχαίρας. ὁ δὲ ταῖς χερσὶν ἀμφοτέραις τὴν τήβεννον ἐφελκυσάμενος κατὰ [5] τε προσώπε, μηδὲν εἰπὼν ἀνάξιον ἑαυτε, μηδὲ ποιήσας, ἀλλὰ ςενάξας μόνον, ἐνεκαρτέρησε ταῖς πληγαῖς· ἑξήκοντα μὲν ἑνὸς δέοντος [6] βεβιωκὼς ἔτη, μιᾷ δ' ὕςερον [ἡμέρᾳ] τῆς γενεθλίε τελευτήσας τὸν βίον.

LXXX. Οἱ δ' ἀπὸ τῶν νεῶν, ὡς ἐθεάσαντο τὸν φόνον, οἰμωγὴν ἐξάκεςον ἄχρι τῆς γῆς ἐκχέαντες, ἔφυγον ἀράμενοι τὰς ἀγκύρας κατὰ τάχος. καὶ πνεῦμα λαμπρὸν ἐβοήθει πελαγίοις [7] ὑπεκθέεσιν· ὥςε βελομένες διώκειν ἀποτραπέσθαι τὲς Αἰγυπτίες. τε δὲ Πομ-

1 SG. ἀπεσκοπεῖτο. Seq. ἤρχετο cum Anon. & Mur. dedit R. Sic & H. Steph. legi voluit, aut ἐπῆρτο, pro vulg. ἤρετο.

2 SG. ἐξανάςῃ. Pro ſeq. πρῶτον Moſ. Duſ. ſcribi voluit cum V. πρῶτος, ſuadente etiam H. Steph.

3 Moſi Duſ. legendum videtur καὶ pro εἶτ'.

4 SG. ἐπεσπάσαντο. Id. paulo poſt τέβεννον pro τήβ.

5 V. μέχρι.

6 Vixiſſe Pompejum non plures LVIII, monet Dacerius. Seq. ἡμέρᾳ, quod a Junt. Ald. Crat. abeſt, uncis incluſit R.

7 Moſ. Duſ. legi vult πλαγίως.

Πομπηΐȣ τὴν μὲν κεφαλὴν ἀποτέμνȣσι, τὸ δ' ἄλλο σῶμα γυμνὸν ἐκβαλόντες ἀπὸ τῆς ἁλιάδος, τοῖς δεομένοις τοιȣ́τȣ θεάματος ἀπέλιπον. παρέμεινε δ' αὐτῷ Φίλιππος, ἕως ἐγένοντο μεστοὶ τῆς ὄψεως· εἶτα περιλȣ́σας τῇ θαλάσσῃ τὸ σῶμα, καὶ χιτωνίῳ τινὶ τῶν ἑαυτȣ̃ περιστείλας, ἄλλο δ' ȣ̓δὲν ἔχων, ἀλλὰ περισκοπῶν τὸν αἰγιαλὸν, εὗρε μικρᾶς ἁλιάδος λείψανα, παλαιὰ μὲν, ἀρκȣ̃ντα δὲ νεκρῷ γυμνῷ, καὶ ȣ̓δὲ ὅλῳ, πυρκαϊὰν ἀναγκαίαν παρασχεῖν. ταῦτα συγκομίζοντος αὐτȣ̃ καὶ συντιθέντος, ἐπιστὰς ἀνὴρ Ῥωμαῖος ἤδη γέρων, τὰς δὲ πρώτας στρατείας ἔτι νέος Πομπηΐῳ συνεστρατευμένος· Τίς ὢν, ὦ ἄνθρωπε, ἔφη, θάπτειν διανοῇ Μάγνον Πομπήϊον; ἐκείνȣ δὲ φήσαντος, ὡς ἀπελεύθερος· Ἀλλ' ȣ̓ μόνῳ σοι, ἔφη, τȣ̃το τὸ καλὸν ὑπάρξει· κἀμὲ δὲ ὥσπερ εὑρήματος εὐσεβȣ̃ς δέξαι [1] κοινωνὸν, ὡς μὴ κατὰ πάντα μέμφωμαι [2] τὴν ἀποξένωσιν, ἀντὶ πολλῶν ἀνιαρῶν τȣ̃το γȣ̃ν εὑράμενος, ἅψασθαι καὶ περιστεῖλαι ταῖς ἐμαῖς χερσὶ τὸν μέγιστον αὐτοκράτορα Ῥωμαίων. ȣ̔́τω μὲν ἐκηδεύετο Πομπήϊος. τῇ δ' ὑστεραίᾳ Λεύκιος Λέντλος, ȣ̓κ εἰδὼς τὰ πεπραγμένα, πλέων ἀπὸ Κύπρȣ καὶ παρὰ γῆν κομιζόμενος, ὡς εἶδε νεκρȣ̃ πυρὰν, καὶ παρεστῶτα τὸν Φίλιππον ȣ̔́πω καθορώμενος [3]. Τίς ἄρα, ἔφη, τὸ πεπρωμένον ἐνταῦθα τελέσας ἀναπέπαυται; καὶ μικρὸν διαλιπὼν καὶ στενάξας· Τάχα δ', εἶπε, σὺ, Πομπήϊε Μάγνε. καὶ μετὰ μικρὸν ἀποβὰς, καὶ συλληφθεὶς ἀπέθανε. τȣ̃το Πομπηΐȣ τέλος. ȣ̓ πολλῷ δ' ὕστερον Καῖσαρ ἐλθὼν εἰς Αἴγυπτον [4] ȣ̔́τω καταπεπλησμένην, τὸν μὲν προσφέροντα τὴν κεφαλὴν, ὡς παλαμναῖον, ἀπεστράφη· τὴν δὲ σφραγῖδα τȣ̃ Πομπηΐȣ δεξάμενος ἐδάκρυσεν· ἦν δὲ γλυφὴ λέων [5] ξιφήρης. Ἀχιλλᾶν δὲ



1 H. Steph. rectius scribi censuit δέξη.
2 SG. μέμφομαι.
3 Sic R. de suo pro vulg. καθορώμενον.
4 addunt post h. v. Junt. & SG. Αὔγȣστος.
5 Junt. λέξιων sola.

δὲ καὶ Ποθεινὸν ἀπέσφαξεν, αὐτὸς δὲ μάχῃ λειφθεὶς [1] ὁ βασιλεὺς περὶ τὸν ποταμὸν ἠφανίσθη. Θεόδοτον δὲ τὸν σοφιστὴν ἡ μὲν ἐκ Καίσαρος δίκη παρῆλθε· φυγὼν γὰρ Αἴγυπτον [2], ἐπλανᾶτο ταπεινὰ πράττων καὶ μισούμενος· Βροῦτος δὲ Μάρκος, ὅτε Καίσαρα κτείνας ἐκράτησεν, ἐξευρὼν αὐτὸν ἐν Ἀσίᾳ, καὶ πᾶσαν αἰκίαν αἰκισάμενος ἀπέκτεινε. τὰ δὲ λείψανα τοῦ Πομπηΐου Κορνηλία δεξαμένη κομισθέντα, περὶ τὸν [3] Ἀλβανὸν ἔθηκεν.

# COMPARATIO AGESILAI CVM POMPEIO.

Ἐκκειμένων οὖν τῶν βίων, ἐπιδράμωμεν τῷ λόγῳ ταχέως τὰ ποιοῦντα τὰς διαφορὰς, παράλληλα συνάγοντες. ἔστι δὲ ταῦτα· πρῶτον, ὅτι Πομπήϊος ἐκ τοῦ δικαιοτάτου τρόπου παρῆλθεν εἰς δύναμιν καὶ δόξαν, αὐτὸς ὁρμηθεὶς ἀφ' ἑαυτοῦ, καὶ πολλὰ καὶ μεγάλα Σύλλᾳ τὴν Ἰταλίαν ἀπὸ τῶν τυράννων ἐλευθεροῦντι συγκατεργασάμενος· Ἀγησίλαος δὲ τὴν βασιλείαν ἔδοξε λαβεῖν, οὔτε τὰ πρὸς θεοὺς ἄμεμπτος [4], οὔτε τὰ πρὸς ἀνθρώπους, κρίνας νοθείας Λεωτυχίδην, ὃν υἱὸν αὑτοῦ ἀπέδειξεν ὁ ἀδελφὸς γνήσιον· τὸν δὲ χρησμὸν κατειρωνευσάμενος τὸν περὶ τῆς χωλότητος. δεύτερον, ὅτι Πομπήϊος Σύλλαν καὶ ζῶντα τιμῶν διετέλεσε, καὶ τεθνηκότος [5] ἐκήδευσε, βιασάμενος Λέπιδον, τὸ σῶμα, καὶ

1 Sic legi voluit Mos. Dus. deditque R. pro vulg. ληφθεὶς. SG. hunc habet ordinem verborum: αὐτὸς δὲ ὁ βασ. μαχ. ληφθ. περί.

2 H. Steph. voluit εἰς Αἴγυπτον.

3 H. Steph. scribi voluit περὶ τὸ. R. pro ἔθ. susp. ἀνέθηκεν, urnam dedicavit.

4 Elegantius dictum videtur Mosi Dus. ἀμέμπτως.

5 V. τεθνηκότα.

καὶ τῷ παιδὶ Φαύςῳ τὴν ἑαυτῦ θυγατέρα συνῴκισεν [1]. Ἀγησίλαος δὲ Λύσανδρον ἐκ τῆς τυχύσης προφάσεως ὑπεξέῤῥιψε καὶ καθύβρισε. καίτοι Σύλλας μὲν ὐκ ἐλαττόνων ἔτυχεν, ἢ Πομπηΐῳ παρέχεν. Ἀγησίλαον δὲ Λύσανδρος καὶ τῆς Σπάρτης βασιλέα, καὶ τῆς Ἑλλάδος ςρατηγὸν ἐποίησε. τρίτον δ', αἱ περὶ τὰ πολιτικὰ καὶ τῶν δικαίων παραβάσεις, Πομπηΐῳ μὲν δι' οἰκειότητας [2] ἐγένοντο· τὰ γὰρ πλεῖςα Καίσαρι καὶ Σκιπίωνι συνεξήμαρτε, κηδεςαῖς ὖσιν· Ἀγησίλαος δὲ, Σφοδρίαν μὲν, ἐφ' οἷς Ἀθηναίϊς ἠδίκησεν ἀποθανεῖν ὀφείλοντα, τῷ τῦ παιδὸς ἔρωτι χαριζόμενος ἐξήρπασε· Φοιβίδα δὲ Θηβαίϊς [3] παρασπονδήσαντι δῆλος ἦν δι' αὐτὸ τὸ αδίκημα προθύμως βοηθῶν. καθόλϊ δ', ὅσα Ῥωμαίϊς δι' αἰδῶ Πομπήϊϊς, ἢ ἄγνοιαν, αἰτίαν ἔχε βλάψαι, ταῦτα θυμῷ καὶ φιλονεικίᾳ Λακεδαιμονίϊς Ἀγησίλαος ἔβλαψε, τὸν Βοιώτιον ἐκκαύσας πόλεμον.

II. Εἰ δὲ καὶ τύχην τινὰ τῶν ἀνδρῶν ἑκατέρϊ τοῖς σφάλμασι προσοιςέον, ἀνέλπιςος μὲν ἡ Πομπηΐϊ Ῥωμαίοις· Ἀγησιλάϊ [4] δὲ Λακεδαιμονίϊς ἀκύοντας καὶ προειδότας ὐκ εἴασε φυλάξασθαι τὴν χωλὴν βασιλείαν. καὶ γὰρ εἰ μυριάκις ἠλέγχθη Λεωτυχίδης ἀλλότριος εἶναι καὶ νόθος, ὐκ ἂν ἠπόρησαν Εὐρυτιωντίδαι γνήσιον καὶ ἀρτίποδα τῇ Σπάρτῃ βασιλέα παρέχειν [5], εἰ μὴ δι' Ἀγη-



1 Sic ex Junt. Ald. Crat. Steph. Frft. reſtituere haud dubitavi pro συνῴκιζεν, quod eſt in Br. & R. — Praeceſſerunt διετέλεσε, & ἐκήδευσε.

2 Hanc lectionem R. reſtituit, pro ea, quae eſt in Br. ſola, δι' οἰκειότητος.

3 Junt. Ald. Crat. Θηβαίοις.

4 Sic R. dedit de ſuo, ſubaudiendo Τύχῃ. Vulgo Ἀγησίλαος.

5 Vulgo locus hic ita extitit: ἠπόρησεν, Εὐρυτίωντι δὲ γν. κ. ἀ. τ. Σ. β. παρέχεν. Corrupta haec cum Anon. & Mur. Xyl. & H. Steph. ſic reſtitui voluerunt, uti jam R. dedit, Br. & Moſ. Duſ. — E V. enotatum eſt Εὐρυτίωνι; ex Anon. in utroque ind. Var. datur παρέχεν, quod ipſo in textu fuit, haud

Ἀγησίλαον ἐπεσκότησε τῷ χρησμῷ Λύσανδρος. οἷον μὲν [1] τῇ περὶ τῶν τρεσάντων ἀπορίᾳ προσήγαγεν ὁ [2] Ἀγησίλαος ἴαμα μετὰ τὴν ἐν Λεύκτροις ἀτυχίαν, κελεύσας τοὺς νόμους ἐκείνην τὴν ἡμέραν καθεύδειν, οὐ γέγονεν ἄλλο σόφισμα πολιτικὸν [3], οὐδ' ἔχομέν τι τοῦ Πομπηΐου παραπλήσιον· ἀλλὰ τοὐναντίον, οὐδ' οἷς αὐτὸς ἐτίθει νόμοις ᾤετο δεῖν ἐμμένειν [4], τὸ δύνασθαι μέγα τοῖς φίλοις ἐνδεικνύμενος. ὁ δ' εἰς ἀνάγκην καταστὰς τοῦ λῦσαι τοὺς νόμους ἐπὶ τῷ [5] σῶσαι τοὺς πολίτας, ἐξεῦρε τρόπον, ᾧ μήτ' ἐκείνους βλάψουσι, μήτ', ὅπως οὐ βλάψωσι, λυθήσονται. τίθεμαι δὲ κἀκεῖνο τὸ ἀμίμητον ἔργον εἰς πολιτικὴν ἀρετὴν τοῦ Ἀγησιλάου, τὸ δεξάμενον τὴν σκυτάλην ἀπολιπεῖν τὰς ἐν Ἀσίᾳ πράξεις. οὐ γάρ, ὡς Πομπήϊος, ἀφ' ὧν ἑαυτὸν ἐποίει μέγαν, ὠφέλει τὸ κοινόν, ἀλλὰ τὸ τῆς πατρίδος σκοπῶν, τηλικαύτην ἀφῆκε δύναμιν καὶ δόξαν, ἡλίκην οὐδεὶς πρότερον, οὐδ' ὕστερον, πλὴν Ἀλέξανδρος, ἔσχεν.

III. Ἀπ' ἄλλης τοίνυν ἀρχῆς [6], ἐν ταῖς στρατηγίαις καὶ τοῖς πολεμικοῖς, ἀριθμῷ μὲν τροπαίων, καὶ μεγέθει δυνάμεων, ἃς ἐπηγάγετο Πομπήϊος, καὶ πλήθει παρατάξεων, ἃς ἐνίκησεν, οὐδ' ἂν ὁ Ξενοφῶν μοι δοκῇ

κῇ

haud dubie vitiose pro παρέχειν aut παρασχεῖν. Junt. ἀρτίπαιδα pro ἀρτίποδα.

1 R. susp. οἷον μέντοι τῇ.

2 abest hic artic. a SG. Sequens ἴαμα cum Anon. & Mur. dandum censuit Br. pro vulg. ἅμα, & R. dedit.

3 Br. susp. πολιτικώτερον, quod R. probat, hanc quoque conjecturam addens: οὐ γέγονεν ἄλλῳ παραπλήσιον σόφισμα πολιτικόν. Idem pro seq. τι τοῦ Π. susp. τι τῶν Π.

4 Verba haec sic constituta dedit Ald. in Junt. leguntur hoc modo perturbata: δεῖν μέγα τὸ δύνασθαι ἐμμένειν τοῖς φίλοις.

5 SG. ἐπὶ τό.

6 R. susp. ἀπ' ἄλλης τοίνυν ἀρχῆς σκοποῦντι (dat. hic referatur ad seq. μοι) τοὺς ἄνδρας (Agesilaum & Pompejum) τῆς ἐν ταῖς στρατηγίαις καὶ τοῖς πολεμικοῖς (subaud. ἐξεταζομένης) ἀριθμῷ μὲν τροπαίων, ἃ ἔστησε (Pompejus) καὶ μεγέθει &c.

κῇ παραβαλεῖν τὰς Ἀγησιλάȣ νίκας· ᾧ διὰ τἆλλα καλὰ, καθάπερ γέρας ἐξαίρετον, δέδοται καὶ γράφειν, ὃ βȣ́λοιτο καὶ λέγειν περὶ τȣ̃ ἀνδρός. οἶμαι δὲ καὶ τῇ πρὸς τȣ̀ς πολεμίȣς ἐπιεικείᾳ διαφέρειν [1] τὸν ἄνδρα τȣ̃ ἀνδρός. ὁ μὲν γὰρ ἀνδραποδίσασθαι Θήβας καὶ Μεσσήνην ἐξοικίσασθαι βȣλόμενος, ἣν μὲν, ὁλόκληρον τῆς πατρίδος, ἣν δὲ, μητρόπολιν τȣ̃ γένȣς [2], παρ' ȣ̓δὲν ἦλθε τὴν Σπάρτην ἀποβαλεῖν. ἀπέβαλε δὲ τὴν ἡγεμονίαν. ὁ δὲ καὶ των πειρατῶν τοῖς μεταβαλλομένοις πόλεις ἔδωκε, καὶ Τιγράνην, τῶν Ἀρμενίων βασιλέα, γενόμενον ἐφ' ἑαυτῷ θριαμβεῦσαι, σύμμαχον ἐποιήσατο, καὶ [3] φήσας ἡμέρας μιᾶς αἰῶνα προτιμᾶν. εἰ [4] μέντοι τοῖς μεγίςοις καὶ κυριωτάτοις εἰς τὰ ὅπλα πράγμασι καὶ λογισμοῖς προτίθεται πρωτεῖον, ἀρετῇ ἀνδρὸς ἡγεμόνος ȣ̓ μικρὸν [5] ὁ Λάκων τὸν Ῥωμαῖον ἀπολέλοιπε. πρῶτον μὲν γὰρ ȣ̓ προήκατο τὴν πόλιν, ȣ̓δ' ἐξέλιπεν, ἑπ]ὰ μυριάσι ςρατȣ̃ τῶν πολεμίων ἐμβαλόντων, ὀλίγȣς ἔχων ὁπλίτας, καὶ προνενικημένȣς ἐν Λεύκτροις· Πομ-



1 praeſtare, τὸν ἄνδρα, Pompejum, τȣ̃ ἀνδρὸς, Ageſilao. R.

2 Per μητρόπολιν τȣ̃ γένȣς deſignat *Thebas*, unde Hercules oriundus, a quo Heraclidae. *Meſſene*, Heraclidarum etiam colonia, uti Lacedaemon, atque adeo *haereditatis* quaſi cum ea particeps. Hinc Moſ. Duſ. pro ὁλόκλ. leg. ſuſp. ὁμόκληρος, quod & R. probat.

3 R. aut tollendum cenſet καὶ, aut ſeq. καὶ φίλων, φήσας — ſocium & amicum Romanorum faciebat Tigranem, gloriam unius diei ajens a ſe gloriae univerſi aevi poſthaberi.

4 Junt. habet ἐν.

5 Sic diſtinctum & correctum locum hunc dedit R. ſuo arbitratu. Vulgo ita legebatur προστίθεται πρωτεῖον ἀρετῆς ἀνδρὸς ἡγεμόνος, ȣ̓ μικρὸν — *ſi facinoribus atque conſiliis maximis & palmariis in bellis proponitur prima palma, dicendum eſt, ratione virtutis imperatoriae magnis ſpatiis Romanum a Spartano relictum eſſe.* Pro ἀρετῇ Anon. & Mur. ἀρετῇ. Ille dativus idem valet, ac κατ' ἀρετὴν; μικρὸν autem accipiendum eſt adverbialiter pro μικρῶς, aut παρὰ μικρόν.

Πομπήϊος δὲ, πεντακιςχιλίοις μόνοις καὶ τριακοσίοις μίαν Καίσαρος πόλιν Ἰταλικὴν καταλαβόντος, ἐξέπεσε τῆς Ῥώμης ὑπὸ δέους, ἢ τοσούτοις εἴξας ἀγεννῶς, ἢ πλείονας ψευδῶς εἰκάσας. καὶ συσκευασάμενος τὰ τέκνα καὶ τὴν γυναῖκα αὐτοῦ, τὰς δὲ τῶν ἄλλων πολιτῶν ἐρήμους ἀπολιπὼν, ἔφυγε [1]. δέον ἢ κρατεῖν μαχόμενον ὑπὲρ τῆς πατρίδος, ἢ δέχεσθαι διαλύσεις παρὰ τοῦ κρείττονος· ἦν γὰρ πολίτης καὶ οἰκεῖος. νῦν δ' ᾧ στρατηγίας χρόνον ἐπιμετρῆσαι καὶ ὑπατείαν ψηφίσασθαι δεινὸν ἡγεῖτο, τούτῳ παρέσχε λαβόντι τὴν πόλιν εἰπεῖν πρὸς Μέτελλον, ὅτι κἀκεῖνον αἰχμάλωτον αὐτοῦ νομίζει, καὶ τοὺς ἄλλους ἅπαντας.

IV. Ὃ τοίνυν ἔργον ἐστὶν ἀγαθοῦ στρατηγοῦ μάλιστα, κρείττονα μὲν ὄντα [2] βιάσασθαι τοὺς πολεμίους μάχεσθαι, λειπόμενον [3] δὲ δυνάμει, μὴ βιασθῆναι, τοῦτο ποιῶν Ἀγησίλαος, ἀεὶ διεφύλαξεν ἑαυτὸν ἀνίκητον· Πομπήϊον δὲ Καῖσαρ, οὗ μὲν ἦν ἐλάττων, διέφυγε μὴ βλαβῆναι· καθὸ δὲ κρείττων ἦν, ἠνάγκασεν ἀγωνισάμενον τῷ πεζῷ περὶ πάντων σφαλῆναι, καὶ κύριος εὐθὺς ἦν χρημάτων καὶ ἀγορᾶς καὶ θαλάττης ἀφ' ὧν διεπέπρακτ' ἂν [4] ἄνευ μάχης, ἐκείνοις [5] προσόντων. τὸ δ' ὑπὲρ τούτων ἀπολόγημα μέγιστον [6], μέγιστόν ἐστιν ἔγκλημα στρατηγοῦ τηλικούτου. νέον μὲν γὰρ ἄρχοντα θορύβοις καὶ καταβοήσεσιν εἰς μαλακίαν καὶ δειλίαν ἐπιταραχθέντα, τῶν ἀσφαλεστάτων ἐκπεσεῖν λογισμῶν εἰκός ἐστι καὶ συγγνωστόν. Πομπήϊον δὲ Μάγνον, οὗ Ῥωμαῖοι τὸ μὲν στρατόπεδον, πατρίδα, σύγκλητον δὲ τὴν σκηνὴν,

1 V. e Junt. & SG. *ἐρήμους ἔφυγε* absque *ἀπολιπών*.
2 Sic R. de suo dedit pro vulg. *τὸ* — *cum sit superior, tum cogere adversarios ad dimicandum.*
3 SG. *λιπόμενον*.
4 Sic R. de suo dedit pro vulg. *διεπέπρακτο ἄνευ*.
5 SG. *ἐκείνης*.
6 Prius hoc *μέγιστον* R. de suo addidit.

νὴν, ἀποστάτας δὲ καὶ προδότας, τὰς ἐν Ῥώμῃ πολιτευομένας καὶ στρατηγῆντας καὶ ὑπατεύοντας ἐκάλυν, ἀρχόμενον δ᾽ ὑπ᾽ ὐδενὸς ἔγνωσαν, πάσας δ᾽ αὐτοκράτορα στρατευσάμενον ἄριστα τὰς στρατείας, τίς ἀνάσχοιτο τοῖς Φαωνίυ σκώμμασι καὶ Δομιτίυ, καὶ ἵνα μὴ Ἀγαμέμνων λέγηται, παρ᾽ ἐλάχιστον [1] ἐκβιασθέντα τὸν περὶ τῆς ἡγεμονίας καὶ ἐλευθερίας ἀναῤῥίψαι κίνδυνον; ὃς εἰ μόνον ἐσκόπει τὸ παρ᾽ ἡμέραν ἄδοξον, ὤφειλεν ἀντιστὰς ἐν ἀρχῇ διαγωνίσασθαι περὶ τῆς Ῥώμης, ἀλλὰ μὴ, τὴν φυγὴν ἐκείνην ἀποφαίνων στρατήγημα Θεμιστόκλειον, ὕστερον ἐν αἰσχρῷ τίθεσθαι τὴν ἐν Θετταλίᾳ πρὸ μάχης διατριβήν. ὐ γὰρ ἐκεῖνό γε στάδιον αὐτοῖς καὶ θέατρον ἐναγωνίσασθαι περὶ τῆς ἡγεμονίας ὁ θεὸς ἀπέδειξε τὸ Φαρσάλιον πεδίον, ὐδ᾽ ὑπὸ κήρυκος ἐκαλεῖτο μάχεσθαι κατιὼν, ἢ λιπεῖν ἑτέρῳ τὸν στέφανον· ἀλλὰ πολλὰ μὲν πεδία, μυρίας δὲ [2] πόλεις καὶ γῆν ἅπασαν ἡ κατὰ θάλατταν εὐπορία παρέχε, βυλομένῳ μιμεῖσθαι Μάξιμον, καὶ Μάριον καὶ Λεύκυλλον, καὶ αὐτὸν Ἀγησίλαον, ὃς ὐκ ἐλάττονας μὲν ἐν Σπάρτῃ θορύβυς ὑπέμεινε, βυλομένων Θηβαίων [3] ὑπὲρ τῆς χώρας μάχεσθαι, πολλὰς δ᾽ ἐν Αἰγύπτῳ διαβολὰς καὶ κατηγορίας ὑπ᾽ ἀνοίας [4] τῦ βασι-



1 Suspecta videtur R. haec dictio, obscura certe. Quaerit, num leg. παρ᾽ ἐλαχίστων ἀνθρώπων; quo Agamemnon a contemtissimis hominibus ne appellaretur.

2 abest δὲ a SG. & Junt. Paulo post SG. ἄπλετον pro ἅπασαν.

3 Mos. Duf. legi voluit Θηβαίοις, cum Thebani hic non pro suis agris, sed in alienis pugnent. R. autem videtur, post h. v. deesse ἀναγκάζειν, vel ἀναγκάζειν αὐτὸν, conantibus Thebanis eum, urbe extractum, cogere ad dimicandum pro agro Spartano, quem Agesilaus Thebanis devastandum permittebat, dummodo urbem salvam servaret.

4 Steph. quidam codd. & Mur. καὶ ὑπονοίας, quod Mos. Duf. genuinum arbitratur. Huc etiam referenda est eadem Anonymi lectio in Cat. Frst. male ad Caesaris vitam transposita, in Br. ind. autem omissa.

βασιλέως ἤνεγκεν, ἡσυχίαν ἄγειν κελεύων. χρησάμενος δὲ τοῖς ἀρίστοις ὧν ἐβέλετο [1] λογισμοῖς, ἐ μόνον Αἰγυπτίες ἄκοντας ἔσωσεν, ἐδὲ τὴν Σπάρτην ἐν τοσέτῳ σεισμῷ μόνος [2] ὀρθὴν ἀεὶ διεφύλαξεν, ἀλλὰ καὶ τρόπαιον ἔστησε κατὰ Θηβαίων ἐν τῇ πόλει, τὸ νικῆσαι παρασχὼν αὖθις, ἐκ τῦ τότε μὴ προαπολέσθαι [3] βιασαμένες. ὅθεν Ἀγησίλαος μὲν ὑπὸ τῶν βιασθέντων [4] ὕστερον ἐπῃνεῖτο σωθέντων, Πομπήϊος δὲ δι᾽ ἄλλες ἁμαρτὼν, αὐτὲς [5], οἷς ἐπείσθη, κατηγόρες εἶχε. καίτοι φασί τινες, ὡς ὑπὸ τῦ πενθερῦ Σκιπίωνος ἐξηπατήθη· τὰ γὰρ πλεῖστα τῶν χρημάτων, ὧν ἐκόμιζεν [6] ἐξ Ἀσίας, βελόμενον αὐτὸν νοσφίσασθαι καὶ [7] ἀποκρύψαντα κατεπεῖξαι τὴν μάχην, ὡς ἐκ ἔτι χρημάτων ὄντων. ὃ κἂν ἀληθὲς ἦν, ἐκ ὤφειλε παθεῖν [8] ὁ στρατηγὸς ἐδεὶς, ἐδὲ ῥᾳδίως ἕτω παραλογισθεὶς ἀποκινδυνεῦσαι περὶ τῶν μεγίστων. ἐν μὲν ἕν τέτοις ἕτως ἑκάτερον ἀποθεωρῦμεν.

V.

1 Sic R. de ſuo dedit. Vulgo ὡς ἐβέλ. utens rationibus ſapientiſſime excogitatis ad efficiendum & conſequendum deſtinata ſua.

2 R. ſe ambigere fatetur inter vulg. μόνος, & inter μόνον, quod niſi iterare velis, ſubaudire oporteat ſaltim e praemiſſis.

3 Sic dari voluit Moſ. Duſ. deditque R. pro vulg. προσαπολέσθαι. Monet tamen adhuc R. deeſſe ἐᾶν, ut ſit προαπολέσθαι ἐᾶν βιασαμένες, ex eo, quod tum non ſiſſet, cives ſuos in peſtem ſuam nitentes, prius perire, quam a Thebanis tam praeclaram victoriam referrent.

4 R. mavult βιασαμένων — ab iis, qui vim ipſi conati fuiſſent afferre, invitumque adigere ad pugnandum.

5 Sic dari voluit Moſ. Duſ. deditque R. Vulgo αὐτός.

6 Scipio ad Pompejum. R.

7 R. mavult abeſſe καὶ, quod occultaſſet Scipio illas opes & clam haberet, quippe qui vellet eas intervertere, ſuique juris facere.

8 SG. παθεῖν ἐκ ὤφειλεν. Seq. ἐδεὶς poſt στρατ. R. de ſuo addidit — non decebat Pompejum dedecus ad ſe admittere, quod imperator alius nullus fuiſſet admiſſurus.

V. Εἰς Αἴγυπτον δ' ὁ μὲν ἐξ ἀνάγκης ἔπλευσε φεύγων, ὁ δ' οὔτε καλῶς, οὔτ' ἀναγκαίως ἐπὶ χρήμασιν, ὅπως ἔχοι [1] τοῖς Ἕλλησι πολεμεῖν, ἀφ' ὧν τοῖς βαρβάροις ἐστρατήγησεν. εἶτα ἃ διὰ Πομπήϊον Αἰγυπτίοις ἐγκαλοῦμεν, ταῦτ' Αἰγύπτιοι κατηγοροῦσιν Ἀγησιλάου. ὁ μὲν γὰρ ἠδικήθη πιστεύσας· ὁ δὲ πιστευθεὶς ἐγκατέλιπε, καὶ μετέστη πρὸς τοὺς πολεμοῦντας, οἷς ἔπλευσε συμμαχήσων.

## ΑΛΕΞΑΝΔΡΟΣ.

Τὸν Ἀλεξάνδρου τοῦ βασιλέως βίον, καὶ τοῦ Καίσαρος [2], ὑφ' οὗ κατελύθη Πομπήϊος, ἐν τούτῳ τῷ βιβλίῳ γράφοντες, διὰ τὸ πλῆθος τῶν ὑποκειμένων πράξεων οὐδὲν ἄλλο προεροῦμεν, ἢ παραιτησόμεθα τοὺς ἀναγινώσκοντας, ἐὰν μὴ πάντα, μηδὲ καθ' ἕκαστον ἐξειργασμένως [3] τι τῶν περιβοήτων ἀπαγγέλλωμεν, ἀλλ' ἐπιτέμνοντες τὰ πλεῖστα, μὴ συκοφαντεῖν. οὔτε γὰρ ἱστορίας γράφομεν, ἀλλὰ βίους, οὔτε ταῖς ἐπιφανεστάταις πράξεσι πάντως ἔνεστι δήλωσις ἀρετῆς, ἢ κακίας, ἀλλὰ πρᾶγμα βραχὺ πολλάκις καὶ ῥῆμα, καὶ παιδιά τις, ἔμφασιν ἤθους ἐποίησε μᾶλλον, ἢ μάχαι μυριόνεκροι, καὶ παρατάξεις αἱ μέγισται, καὶ πολιορκίαι [4] πόλεων. ὥσπερ οὖν οἱ ζωγράφοι τὰς ὁμοιότητας ἀπὸ τοῦ προσώπου, καὶ τῶν περὶ τὴν ὄψιν εἰδῶν, οἷς ἐμφαίνεται τὸ ἦθος, ἀναλαμβάνουσιν, ἐλάχιστα τῶν λοιπῶν μερῶν φροντίζοντες· οὕτως ἡμῖν δοτέον εἰς τὰ τῆς ψυχῆς σημεῖα μᾶλλον ἐνδύεσθαι, καὶ διὰ τούτων εἰδοποιεῖν τὸν

1 SG. ἔχῃ. Ald. Junt. Crat. ἔχει.

2 Anon. καὶ τὸν Καίσαρος βίον.

3 V. ἐπεξειργασμένως.

4 Sic Br. dari voluit, deditque R. pro vulg. πολιορκίαι. Ita & exhibere voluisse videtur Anon. e quo enotatum est πολιορκίας.

τὸν ἑκάστου βίον, ἐάσαντας ἑτέροις τὰ μεγέθη καὶ τοὺς ἀγῶνας.

II. Ἀλέξανδρος, ὅτι τῷ γένει πρὸς πατρὸς μὲν ἦν Ἡρακλείδης ἀπὸ Καράνου, πρὸς δὲ μητρὸς Αἰακίδης ἀπὸ Νεοπτολέμου, τῶν πάνυ πεπιστευμένων ἐστί. λέγεται δὲ Φίλιππος, ἐν Σαμοθράκῃ τῇ Ὀλυμπιάδι συμμυηθεὶς, αὐτός τε μειράκιον ὢν ἔτι, κἀκείνης παιδὸς, ὀρφανῆς γονέων, ἐρασθῆναι, καὶ τὸν γάμον οὕτως ἁρμόσαι, πείσας τὸν ἀδελφὸν αὐτῆς, Ἀρύμβαν [1]. ἡ μὲν οὖν νύμφη, πρὸ τῆς νυκτὸς, ᾗ συνείρχθησαν εἰς τὸν θάλαμον, ἔδοξε, βροντῆς γενομένης, ἐμπεσεῖν αὐτῆς τῇ γαστρὶ κεραυνόν. ἐκ δὲ τῆς πληγῆς, πολὺ πῦρ ἀναφθὲν, εἶτα ῥηγνύμενον εἰς φλόγας πάντη φερομένας, διαλυθῆναι. ὁ δὲ Φίλιππος ὑστέρῳ χρόνῳ μετὰ τὸν γάμον εἶδεν ὄναρ αὑτὸν ἐπιβάλλοντα σφραγῖδα τῇ γαστρὶ τῆς γυναικός. ἡ δὲ γλυφὴ τῆς σφραγῖδος, ὡς ᾤετο, λέοντος εἶχεν εἰκόνα. τῶν δ' ἄλλων μάντεων ὑφορωμένων τὴν ὄψιν, ὡς ἀκριβεστέρας φυλακῆς δεομένων [2] τῷ Φιλίππῳ τῶν περὶ τὸν γάμον, Ἀρίστανδρος ὁ Τελμισσεὺς [3] κύειν ἔφη τὴν ἄνθρωπον, (οὐθὲν γὰρ ἀποσφραγίζεσθαι τῶν κενῶν) καὶ κύειν παῖδα θυμοειδῆ καὶ λεοντώδη τὴν φύσιν. ὤφθη δέ ποτε καὶ δράκων, κοιμωμένης τῆς Ὀλυμπιάδος, παρεκτεταμένος τῷ σώματι. καὶ τοῦτο μάλιστα τοῦ Φιλίππου τὸν ἔρωτα καὶ τὰς φιλοφροσύνας [4] ἀμαυρῶσαι λέγουσιν, ὡς μηδὲ φοιτᾷν ἔτι πολλάκις παρ' αὐτὴν ἀναπαυσόμενον· εἴτε δείσαντά τινας μαγείας ἐπ' αὐτῷ καὶ φάρμακα τῆς γυναικὸς, εἴτε

1 Sic nomen hoc dedit Steph. cum Diod. Sic. & Just. — in Junt. Ald. Crat. Ἀρύββαν; Xyl. voluit τὸν ἀδελφὸν τοῦ πατρὸς αὐτῆς. Anon. quoque τὸν πατράδελφον.

2 Sic R. cum V. dedit. Vulgo δεομένῳ.

3 Sic scribendum cum Luciano censuerunt Br. & Mos. Dus. deditque R. a Τελμισσὸς, urbe Lyciae, quae, Herodoto & Cicerone testibus, haruspicum disciplina maxime floruit. Vulgo Τελμησσεύς. Aristandro hoc potissimum vate utebatur Alexander.

4 Legi quoque τὴν φιλοφροσύνην, testis est H. Steph.

εἴτε τὴν ὁμιλίαν, ὡς κρείτ]ονι συνέσης [1], ἀφοσιέμενον. ἕτερος δὲ περὶ τέτων ἐςὶ λόγος, ὡς πᾶσαι μὲν αἱ τῇδε γυναῖκες [2] ἔνοχοι τοῖς Ὀρφικοῖς ἔσαι καὶ τοῖς περὶ τὸν Διόνυσον ὀργιασμοῖς ἐκ τε πάνυ παλαιε, Κλώδωνές τε καὶ Μιμαλλόνες ἐπωνυμίαν ἔχεσαι, πολλὰ ταῖς Ἠδωνίσι καὶ ταῖς περὶ τὸν Αἷμον Θρήσσαις ὅμοια δρῶσιν· ἀφ᾽ ὧν δοκεῖ καὶ τὸ Θρησκεύειν ὄνομα ταῖς κατακόροις [3] γενέϑαι καὶ περιέργοις ἱερεργίαις. ἡ δ᾽ Ὀλυμπιὰς, μᾶλλον ἑτέρων ζηλώσασα τὰς κατοχὰς, καὶ τὲς ἐνθεσιασμὲς ἐξάγεσα βαρβαρικώτερον, ὄφεις [4] μεγάλες χειροήϑεις ἐφείλκετο τοῖς ϑιάσοις, οἳ πολλάκις ἐκ τε κιτ]ε καὶ τῶν μυςικῶν λίκνων παραναδυόμενοι, καὶ περιελιτ]όμενοι τοῖς ϑυρσοις τῶν γυναικῶν καὶ τοῖς ςεφάνοις, ἐξέπληττον τὲς ἄνδρας.

III. Οὐ μὴν ἀλλὰ Φιλίππῳ μὲν μετὰ τὸ φάσμα πέμψαντι Χαίρωνα τὸν Μεγαλοπολίτην εἰς Δελφὲς, χρησμὸν κομιϑῆναι λέγεσι παρὰ τε ϑεε, κελεύοντος Ἄμμωνι ϑύειν καὶ σέβεϑαι μάλιςα τετον τὸν ϑεόν· ἀποβαλεῖν δὲ τῶν ὄψεων αὐτὸν τὴν ἑτέραν, ἣν τῷ τῆς ϑύρας ἁρμῷ προσβαλὼν, κατώπ]ευσεν ἐν μορφῇ δράκοντος συνευναζόμενον τῇ γυναικὶ τὸν ϑεόν. ἡ δ᾽ Ὀλυμπιὰς, ὡς Ἐρατοϑένης φησὶ, προπέμπεσα τὸν Ἀλέξανδρον ἐπὶ [5] τὴν ςρατείαν, καὶ φράσασα μόνῳ τὸ περὶ τὴν τέκνωσιν ἀπόῤῥητον, ἐκέλευεν ἄξια φρονεῖν τῆς γενέσεως. ἕτεροι δέ φασιν, αὐτὴν ἀφοσιεϑαι καὶ λέγειν· Οὐ παύσεταί με διαβάλλων Ἀλέξανδρος πρὸς τὴν Ἥραν [6]; Ἐγεννήϑη δ᾽ ἒν Ἀλέξανδρος ἱςαμένε μηνὸς

1 Sic cum Anon. fcribi voluit Br. deditque R. Vulgo συνέτῃ.

2 Quaenam intelligantur mulieres, Molofliaene an Macedoniae, Xyl. quaerit, pofterius tamen probare mavult ob vicinitatem cum Thracia.

3 Anon. ταῖς κατακόποις. In feq. R. quaerit, num προσγενέϑαι pro γενέϑαι.

4 Vide, Mofe Duf. monente, Lucian. in Alex. c. 7. hac de re.

5 V. εἰς τὴν.

6 Interrogationis notam poft h. v. monente jam H. Steph. addidit R.

νὸς Ἑκατομβαιῶνος, ὃν Μακεδόνες Λῶον καλῦσιν, ἕκ]η [1], καθ' ἣν ἡμέραν ὁ τῆς Ἐφεσίας Ἀρτέμιδος ἐνεπρήσθη νεώς· ᾧ [2] Ἡγησίας ὁ Μάγνης ἐπιπεφώνηκεν ἐπιφώνημα, κατασβέσαι τὴν πυρκαϊὰν ἐκείνην ὑπὸ ψυχρίας δυνάμενον· εἰκότως γὰρ ἔφη καταφλεχθῆναι τὸν νεὼν, τῆς Ἀρτέμιδος ἀχολȣμένης περὶ τὴν Ἀλεξάνδρȣ μαίωσιν. ὅσοι δὲ τῶν μάγων ἐν Ἐφέσῳ διατρίβοντες ἔτυχον, τὸ περὶ τὸν νεὼν πάθος ἡγȣμενοι πάθȣς ἑτέρȣ σημεῖον εἶναι, διέθεον τὰ πρόσωπα τυπ]όμενοι, καὶ βοῶντες, ἄτην ἅμα καὶ συμφορὰν μεγάλην τῇ Ἀσίᾳ τὴν ἡμέραν ἐκείνην τετοκέναι. Φιλίππῳ δ' ἄρτι Ποτίδαιαν ᾑρηκότι τρεῖς ἧκον ἀγγελίαι κατὰ τὸν αὐτὸν χρόνον· ἡ μὲν, Ἰλλυριȣς ἡτ]ᾶσθαι μάχῃ μεγάλῃ διὰ Παρμενίωνος· ἡ δ', Ὀλυμπιάσιν ἵππῳ κέλητι νενικηκέναι· τρίτη δὲ, περὶ τῆς Ἀλεξάνδρȣ γενέσεως. ἐφ' οἷς ἡδόμενον, ὡς εἰκὸς, ἔτι μᾶλλον οἱ μάντεις ἐπῇραν, ἀποφαινόμενοι τὸν παῖδα τρισὶ [3] νίκαις συγγεγενημένον, ἀνίκητον ἔσεσθαι.

IV. Τὴν μὲν ȣ̃ν ἰδέαν τȣ̃ σώματος οἱ Λυσίππειοι μάλιστα τῶν ἀνδριάντων ἐμφαίνȣσιν, ὑφ' ȣ̃ μόνȣ καὶ αὐτὸς ἠξίȣ πλάτ]εσθαι. καὶ γὰρ ἃ [4] μάλιστα πολλοὶ τῶν διαδόχων ὕστερον καὶ τῶν φίλων ἀπεμιμȣ̃ντο, τήν τ' ἀνάτασιν τȣ̃ αὐχένος εἰς εὐώνυμον ἡσυχῇ κεκλιμένȣ, καὶ τὴν ὑγρότητα τῶν ὀμμάτων, διατετήρηκεν ἀκριβῶς ὁ τεχνίτης. Ἀπελλῆς δὲ, γράφων τὸν κεραυνοφόρον, ȣ̓κ

1 V. ἔκ]ης.

2 Sic cum Anon. dare haud dubitavi, Br. Mose Duf. & R. suadentibus, pro vulg. ὡς. Cf. de Hegesiae dicto Cicer. de nat. Deor. l. II.

3 Anon. δυσὶ, cujus lectionis auctorem censet Mos. Duf. sciolum quendam, captae Potidaeae immemorem.

4 Addi voluit ἃ Mos Duf. & dedit R. Vulgo deest. Anon. ἃ paulo post inserit ante voc. διατετήρηκεν. Pro μάλιστα Mos. Duf. voluit μάλα, aut id prorsus delendum censuit, ut ex l. praeced. repetitum.

ὀυκ ἐμιμήσατο τὴν χρόαν, ἀλλὰ φαιότερον καὶ πεπινωμένον ἐποίησεν. ἦν δὲ λευκὸς, ὥς φασιν, ἡ δὲ λευκότης ἐπεφοίνισσεν αὐτȣ̃ περὶ τὸ ϛῆθος μάλιϛα καὶ τὸ πρόσωπον. ὅτι δὲ τȣ̃ χρωτὸς ἥδιϛον ἀπέπνει, καὶ τὸ ϛόμα κατεῖχεν εὐωδία καὶ τὴν σάρκα πᾶσαν, ὥϛε πληρȣ̃σθαι τȣ̀ς χιτωνίσκȣς, ἀνέγνωμεν ἐν ὑπομνήμασιν Ἀριϛοξενείοις. αἰτία δ᾽ ἴσως ἡ τȣ̃ σώματος κρᾶσις, πολύθερμος ȣ̃σα καὶ πυρώδης. ἡ γὰρ εὐωδία γίνεται πέψει τῶν ὑγρῶν ὑπὸ θερμότητος, ὡς οἴεται Θεόφραϛος· ὅθεν οἱ ξηροὶ καὶ διάπυροι τόποι τῆς οἰκȣμένης τὰ πλεῖϛα καὶ κάλλιϛα τῶν ἀρωμάτων φέρȣσιν. ἐξαιρεῖ [1] γὰρ ὁ ἥλιος τὸ ὑγρὸν, ὥσπερ ὕλην σηπεδόνος, ἐπιπολάζον [2] τοῖς σώμασιν. Ἀλέξανδρον δ᾽ ἡ θερμότης τȣ̃ σώματος, ὡς ἔοικε, καὶ ποτικὸν καὶ θυμοειδῆ παρεῖχεν. ἔτι δ᾽ ὄντος αὐτȣ̃ παιδὸς, ἥ τε σωφροσύνη διεφαίνετο τῷ [3] πρὸς τἄλλα ῥαγδαῖον ὄντα καὶ φερόμενον σφοδρῶς, ἐν ταῖς ἡδοναῖς ταῖς περὶ τὸ σῶμα δυσκίνητον εἶναι, καὶ μετὰ πολλῆς πρᾳότητος ἅπτεσθαι τῶν τοιȣ́των. ἥ τε φιλοτιμία παρ᾽ ἡλικίαν ἐμβριθὲς εἶχε φρόνημα [4] καὶ μεγαλόψυχον. ȣ̓δὲ γὰρ ἀπὸ παντὸς, ȣ̓δὲ πᾶσαν ἠγάπα δόξαν, ὡς Φίλιππος, λόγȣ τε δεινότητι σοφιϛικῶς καλλωπιζόμενος, καὶ τὰς ἐν Ὀλυμπίᾳ νίκας τῶν ἁρμάτων ἐγχαράττων τοῖς νομίσμασιν· ἀλλὰ καὶ τῶν περὶ αὐτὸν ἀποπειρωμένων, εἰ βȣ́λοιτ᾽ ἂν Ὀλυμπιάσιν ἀγωνίσασθαι ϛάδιον (ἦν γὰρ ποδώκης) εἴ γ᾽, ἔφη, βασιλεῖς ἔμελλεν [5] ἕξειν ἀνταγωνιϛάς. φαίνεται δὲ καὶ καθό-

1 Sic R. dedit. In omnibus edd. prioribus ἐξαίρει.

2 Xyl. vertit: *in summis corporibus existentem* V. ἐπιπολάζοντος in ind. Br. — at in Frst. absque nota auctoris.

3 Praemitti voluit hunc artic. Mos Duf. cum V. & Anon. deditque R. Vulgo abest.

4 Vulgo secundum Steph. τὸ φρόνημα. R. artic. omisit auctoritate Junt. Ald. & Crat.

5 Ita R. dedit cum Junt. Ald. Crat. Vulgo secundum Steph. ἔμελλον.

καθόλε πρὸς τὸ τῶν ἀθλητῶν γένος ἀλλοτρίως ἔχων· πλείςες γέ τοι θεὶς ἀγῶνας ὐ μόνον τραγῳδῶν καὶ αὐλητῶν καὶ κιθαρῳδῶν, ἀλλὰ καὶ ῥαψῳδῶν [1], θήρας τε παντοδαπῆς καὶ ῥαβδομαχίας, ὔτε πυγμῆς, ὔτε παγκρατίε, μετά τινος σπεδῆς ἔθηκεν ἆθλον.

V. Τὲς δὲ παρὰ τε̃ Περσῶν βασιλέως πρέσβεις ἥκοντας, ἀποδημε̃ντος Φιλίππε, ξενίζων, καὶ γενόμενος συνήθης, ὕτως ἐχειρώσατο τῇ φιλοφροσύνῃ, καὶ τῷ μηδὲν ἐρώτημα παιδικὸν ἐρωτῆσαι, μηδὲ μικρὸν, ἀλλ' ὁδῶν τε μήκη, καὶ πορείας τῆς ἄνω τρόπον ἐκπυνθάνεσθαι, καὶ περὶ αὐτε̃ βασιλέως, ὁποῖος εἴη πρὸς τὲς πολέμες [2], καὶ τίς ἡ Περσῶν ἀλκὴ καὶ δύναμις· ὥςε θαυμάζειν ἐκείνες, καὶ τὴν λεγομένην Φιλίππε δεινότητα μηδὲν ἡγεῖσθαι πρὸς τὴν τε̃ παιδὸς ὁρμὴν καὶ μεγαλοπραγμοσύνην. ὁσάκις γε̃ν ἀπαγγελθείη Φίλιππος ἢ πόλιν ἔνδοξον ᾑρηκὼς, ἢ μάχην τινὰ περιβόητον νενικηκὼς, ὐ πάνυ φαιδρὸς ἦν ἀκέων, ἀλλὰ πρὸς τὲς ἡλικιώτας ἔλεγεν· Ὦ παῖδες, πάντα προλήψεται ὁ πατήρ· ἐμοὶ δ' ὐδὲν ἀπολείψει μεθ' ὑμῶν ἔργον ἀποδείξασθαι μέγα καὶ λαμπρόν. ὐ γὰρ ἡδονὴν ζηλῶν, ὐδὲ πλε̃τον, ἀλλ' ἀρετὴν καὶ δόξαν, ἐνόμιζεν, ὅσῳ πλείονα λήψεται παρὰ τε̃ πατρὸς, ἐλάττονα κατορθώσειν δι' ἑαυτε̃. διὸ τοῖς πράγμασιν αὐξομένοις καταναλίσκεσθαι τὰς πράξεις εἰς ἐκεῖνον ἡγέμενος, ἐβέλετο μὴ χρήματα, μηδὲ τρυφὰς καὶ ἀπολαύσεις, ἀλλ' ἀγῶνας καὶ πολέμες καὶ φιλοτιμίας ἔχεσαν ἀρχὴν παραλαβεῖν. πολλοὶ μὲν ὖν περὶ τὴν ἐπιμέλειαν, ὡς εἰκὸς, ἦσαν αὐτε̃ [3], τροφεῖς καὶ παιδαγωγοὶ καὶ διδάσκαλοι λεγόμενοι· πᾶσι δ' ἐφειςήκει Λεωνίδας, ἀνὴρ τό τ' ἦθος αὐςηρὸς, καὶ συγγενὴς Ὀλυμ-

1 Erant Rhapſodi, Xyl. monente, qui aliena carmina poëtarum in ſolemnibus conventibus recitarent, poëtarumque eſſent quaſi interpretes.

2 Sic R. de ſuo dedit pro vulg. πολεμίες.

3 Moſ. Duſ. maluit αὐτῷ, ſi per Codd. liceret.

Ὀλυμπιάδος· αὐτὸς μὲν οὖν φεύγων [1] τὸ τῆς παιδαγωγίας ὄνομα, καλὸν ἔργον ἐχούσης καὶ λαμπρὸν, ὑπὸ δὲ τῶν ἄλλων διὰ τὸ ἀξίωμα καὶ τὴν οἰκειότητα τροφεὺς Ἀλεξάνδρου καὶ καθηγητὴς καλούμενος. ὁ δὲ τὸ σχῆμα τοῦ παιδαγωγοῦ καὶ τὴν προσηγορίαν ὑποποιούμενος, ἦν Λυσίμαχος, τῷ γένει Ἀκαρνὰν, ἄλλο μὲν οὐδὲν ἔχων ἀστεῖον, ὅτι δ' ἑαυτὸν μὲν ὠνόμαζε Φοίνικα, τὸν δ' Ἀλέξανδρον Ἀχιλλέα, Πηλέα δὲ τὸν Φίλιππον, ἠγαπᾶτο, καὶ δευτέραν εἶχε χώραν.

VI. Ἐπεὶ δὲ, Φιλονείκου τοῦ Θεσσαλοῦ τὸν Βουκέφαλον ἀγαγόντος ὤνιον τῷ Φιλίππῳ τρισκαίδεκα ταλάντων, κατέβησαν εἰς τὸ πεδίον δοκιμάσοντες τὸν ἵππον· ἐδόκει τε χαλεπὸς εἶναι καὶ κομιδῇ δύσχρηστος, οὔτ' ἀναβάτην προσιέμενος, οὔτε φωνὴν ὑπομένων τινὸς τῶν περὶ τὸν Φίλιππον, ἀλλ' ἁπάντων κατεξανιστάμενος· δυσχεραίνοντος δὲ τοῦ Φιλίππου, καὶ κελεύοντος ἀπάγειν, ὡς παντάπασιν ἄγριον καὶ ἀκόλαστον· παρὼν Ἀλέξανδρος εἶπεν· Οἷον ἵππον ἀπολλύουσι, δι' ἀπειρίαν καὶ μαλακίαν χρήσασθαι μὴ δυνάμενοι. τὸ μὲν οὖν πρῶτον ὁ Φίλιππος ἐσιώπησε· πολλάκις δ' αὐτοῦ παραφθεγγομένου καὶ περιπαθοῦντος· Ἐπιτιμᾷς σὺ, ἔφη, πρεσβυτέροις, ὥς τι πλέον αὐτὸς εἰδὼς, ἢ μᾶλλον ἵππῳ χρήσασθαι δυνάμενος; Τούτῳ γοῦν, ἔφη, χρησαίμην ἂν ἑτέρου [2] βέλτιον. ἂν δὲ μὴ χρήσῃ, τίνα δίκην τῆς προπετείας ὑφέξεις; Ἐγὼ, νὴ Δί', εἶπεν, ἀποτίσω τοῦ ἵππου τὴν τιμήν. γενομένου δὲ γέλωτος, εἶτα ὁρισμοῦ [3]

πρὸς

1 Br. & Mos. Dus. susp. οὐ φεύγων, quasi diceret: *non sordebat ipsi nomen Paedagogi — sed ab aliis. &c.* R. susp. αὐτὸς μὲν οὐκ ἂν φεύγων, *qui ipse quidem haud videtur detrectaturus fuisse appellationem paedagogi.*

2 V. ἑτέροι.

3 ut inter se deciderant de mulcta Alexandro, si certamine caderet. Anon. ἐρισμοῦ; Junt. ὁρισμούς.

πρὸς ἀλλήλους εἰς τὸ ἀργύριον, εὐθὺς [1] προσδραμὼν τῷ ἵππῳ, καὶ παραλαβὼν τὴν ἡνίαν, ἐπέστρεψε πρὸς τὸν ἥλιον, ὡς ἔοικεν, ἐννοήσας, ὅτι τὴν σκιὰν προσπίπτουσαν καὶ σαλευομένην ὁρῶν πρὸ αὐτοῦ, διαταράττοιτο. μικρὰ δὲ οὕτω παρακαλπάσας [2] καὶ καταψήσας, ὡς ἑώρα πληρούμενον θυμοῦ καὶ πνεύματος, ἀποῤῥίψας ἡσυχῇ τὴν χλαμύδα, καὶ μετεωρίσας αὑτὸν, ἀσφαλῶς περιέβη. καὶ μικρὰ μὲν περιλαβὼν ταῖς ἡνίαις τὸν χαλινὸν ἄνευ πληγῆς καὶ σπαραγμοῦ προσανέστειλεν [3]. ὡς δ' ἑώρα τὸν ἵππον ἀφεικότα τὴν ἀπειλὴν, ὀργῶντα δὲ πρὸς τὸν δρόμον, ἀφεὶς ἐδίωκεν [4], ἤδη φωνῇ θρασυτέρᾳ καὶ ποδὸς κρούσει χρώμενος. τῶν δὲ περὶ τὸν Φίλιππον ἦν ἀγωνία καὶ σιγὴ τὸ πρῶτον· ὡς δὲ κάμψας ἐπέστρεψεν ὀρθῶς, σοβαρὸς καὶ γεγηθὼς, οἱ μὲν ἄλλοι πάντες ἠλάλαξαν, ὁ δὲ πατὴρ καὶ δακρῦσαί τι [5] λέγεται πρὸς τὴν χαρὰν, καὶ καταβάντος αὐτοῦ τὴν κεφαλὴν φιλήσας· Ὦ παῖ, φάναι, ζήτει σεαυτῷ βασιλείαν ἴσην· Μακεδονία γάρ σε οὐ χωρεῖ.

VII. Καθορῶν δὲ τὴν φύσιν αὐτοῦ δυσνίκητον [6] μὲν οὖσαν

1 V. οὗτος.

2 Palmerius, Mose Duf. notante, pro hac voce voluit παραπαλπάσας, uti pro seq. πληρούμενον, χηρούμενον vel στερούμενον, pro περιέβη, περιανέβη. Postremam hanc vocem, pro qua Anon. ἀνέβη habet, emendatione non indigere, alibi satis hoc sensu obviam, censet Mos. Duf. Idem pro παρακαλπ. susp. παρακροτήσας. R. fatetur, sibi hoc in loco nonnulla esse obscura, quae propterea tacitus praetereat.

3 V. προσέστειλε.

4 Anon. ἐνέδωκεν. R. probat vulgatam, adnotans, Plutarchum haud raro usurpare pro *urgere cursum*, *laxatis frenis equum in cursum effundere*, *zujagen*, *darauf losreiten*, & in eo Homerum imitari.

5 Mos. Duf. maluit τε, ob insequens καί. Tum vero R. monente, delendum esset καί ante δακρ.

6 Sic R. de suo dedit — *aegerrime patientem se vinci*, pro vulg. δυσκίνητον. Dictio sequens ἐρίζειν μὴ βιασθῆναι, eo monen-

ἔσαν, ἐρίσαντος μὴ βιαθῆναι, ῥαδίως δ' αγομένην ὑπὸ λόγε πρὸς τὸ δέον, αὐτός τε πείθειν ἐπειρᾶτο μᾶλλον, ἢ προστάττειν, καὶ τοῖς περὶ μεσικὴν καὶ τὰ ἐγκύκλια παιδευταῖς ἐ πάνυ τι πιςεύων τὴν ἐπιςασίαν αὐτε καὶ κατάρτισιν, ὡς μείζονος ἔσαν πραγματείας, καὶ κατὰ τὸν Σοφοκλέα·

Πολλῶν χαλινῶν ἔργον οἰάκων θ' ἅμα·

μετεπέμψατο τῶν Φιλοσόφων τὸν ἐνδοξότατον καὶ λογιώτατον, Ἀριςοτέλην, καλὰ καὶ πρέποντα διδασκάλια τελέσας αὐτῷ. τὴν γὰρ Σταγειριτῶν πόλιν, ἐξ ἧς ἦν Ἀριςοτέλης, ἀνάςατον ὑπ' αὐτε γεγενημένην, συνῴκισε πάλιν, καὶ τὲς διαφυγόντας, ἢ δελεύοντας τῶν πολιτῶν ἀποκατέςησε. σχολὴν μὲν ἐν αὐτοῖς καὶ διατριβὴν τὸ περὶ Μίεζαν νυμφαῖον [1] ἀπέδειξεν, ὅπε μέχρι νῦν Ἀριςοτέλες ἕδρας τε λιθίνας [2], καὶ ὑποσκίες περιπάτες δεικνύεσιν. ἔοικε δ' Ἀλέξανδρος ἐ μόνον τὸν ἠθικὸν καὶ πολιτικὸν παραλαβεῖν λόγον, ἀλλὰ καὶ τῶν ἀποῤῥήτων καὶ βαρυτέρων διδασκαλιῶν, ἃς οἱ ἄνδρες ἰδίως ἀκροαματικὰς καὶ ἐποπτικὰς προσαγορεύοντες, ἐκ ἐξέφερον εἰς πολλὲς, μετασχεῖν. ἤδη γὰρ εἰς Ἀσίαν διαβεβηκὼς, καὶ πυθόμενος, λόγες τινὰς ἐν βιβλίοις περὶ τέτων ὑπ' Ἀριςοτέλες ἐκδεδόσθαι, γράφει πρὸς αὐτὸν ὑπὲρ φιλοσοφίας παῤῥησιαζόμενος ἐπιςολὴν, ἧς ἀντίγραφόν ἐςιν· Ἀλέξανδρος Ἀριςοτέλει εὖ πράττειν. ἐκ ὀρθῶς ἐποίησας, ἐκδὲς τὲς ἀκροαματικὲς τῶν λόγων. τίνι γὰρ δὴ διοίσομεν ἡμεῖς τῶν ἄλλων, εἰ, καθ' ἒς ἐπαιδεύθημεν λόγες, ἔτοι πάντων ἔσονται κοινοί; ἐγὼ



nente, *est*, *contendere*, *prohibere*, *quo minus invitus cogare*; & ad ἐρίσ. subauditur αὐτε, *ubi Alexander pertinaciter contenderet*, *ut ab alio invitus ad aliquid*, *quod nollet*, *ne adigeretur*.

1 Νυμφαῖον sacrum locum & dedicatum Nymphis intelligi posse, putat Xyl. si non sit proprium loci nomen. *Miezam*, eodem teste, quidam per y scribunt.

2 V. λιθίνες.

δὲ βȣλοίμην ἂν ταῖς περὶ τὰ ἄριςα ἐμπειρίαις, ἢ ταῖς δυνάμεσι, διαφέρειν. ἔρρωσο. Ταύτην μὲν ȣ̃ν τὴν φιλοτιμίαν αὐτȣ̃ παραμυθȣ́μενος Ἀριςοτέλης, ἀπολογεῖται περὶ τῶν λόγων ἐκείνων, ὡς ἐκδεδομένων καὶ μὴ ἐκδεδομένων. ἀληθῶς γὰρ ἡ μετὰ τὰ φυσικὰ πραγματεία, πρὸς διδασκαλίαν καὶ μάθησιν ȣ̓δὲν ἔχȣσα χρήσιμον, ὑπόδειγμα τοῖς πεπαιδευμένοις ἀπ' ἀρχῆς γέγραπται.

VIII. Δοκεῖ δέ μοι καὶ τὸ φιλιατρεῖν Ἀλεξάνδρῳ προστρίψασθαι [1] μᾶλλον ἑτέρων Ἀριςοτέλης. ȣ̓ γὰρ μόνον τὴν θεωρίαν ἠγάπησεν, ἀλλὰ καὶ νοσȣ̃σιν ἐβοήθει τοῖς φίλοις, καὶ συνέταττε θεραπείας τινὰς καὶ διαίτας, ὡς ἐκ τῶν ἐπιςολῶν λαβεῖν ἐςιν. ἦν δὲ καὶ φύσει φιλολόγος καὶ φιλομαθὴς [2] καὶ φιλαναγνώςης· καὶ τὴν μὲν Ἰλιάδα τῆς πολεμικῆς ἀρετῆς ἐφόδιον καὶ νομίζων καὶ ὀνομάζων, ἔλαβε μὲν Ἀριςοτέλȣς διορθώσαντος, ἣν ἐκ τȣ̃ νάρθηκος καλȣ̃σιν [3]. εἶχε δ' ἀεὶ μετὰ τȣ̃ ἐγχειριδίȣ κειμένην ὑπὸ τὸ προσκεφάλαιον, ὡς Ὀνησίκριτος [4] ἱςόρηκε. τῶν δ' ἄλλων βιβλίων ȣ̓κ εὐπορῶν ἐν τοῖς ἄνω τόποις, Ἅρπαλον ἐκέλευσε πέμψαι. κἀκεῖνος ἔπεμψεν αὐτῷ τάς τε Φιλίςȣ βίβλȣς, καὶ τῶν Εὐριπίδȣ καὶ Σοφοκλέȣς καὶ Αἰσχύλȣ τραγῳδιῶν συχνὰς, καὶ Τελέςȣ καὶ Φιλοξένȣ διθυράμβȣς. Ἀριςοτέλη δὲ θαυμάζων ἐν ἀρχῇ, καὶ ἀγαπῶν ȣ̓χ ἧττον, ὡς αὐτὸς ἔλεγε, τȣ̃ πατρὸς, ὡς δι' ἐκεῖνον [5] μὲν ζῶν, διὰ τȣ̃τον δὲ καλῶς ζῶν, ὕςερον ὑποπτότερον ἔσχεν, ȣ̓χ ὥςε ποιῆσαί τι κακὸν, ἀλλ' αἱ φιλοφροσύναι

1 V. προτρίψαθαι.

2 Duo haec verba καὶ φιλομ. desunt Junt. Ald. Crat. Ea ex vetustis codd. adjecit H. Steph.

3 Conf. Plin. H. N. L. VI. c. 19.

4 Sic scribi voluit Mos. Dus. deditque R. Vulgo Ὀνησικράτης.

5 redit ad patrem, uti sequens τȣ̃τον ad Aristotelem.

και τὸ σφοδρὸν [1] ἐκεῖνο καὶ στερκτικὸν οὐκ ἔχουσαι πρὸς αὐτὸν, ἀλλοτριότητος ἐγένοντο τεκμήριον. ὁ μέντοι πρὸς φιλοσοφίαν ἐμπεφυκὼς καὶ συντεθραμμένος ἀπ᾽ ἀρχῆς αὐτῷ ζῆλος καὶ πόθος οὐκ ἐξεῤῥύη τῆς ψυχῆς, ὡς ἡ περὶ [2] Ἀνάξαρχόν τε τιμὴ, καὶ τὰ πεμφθέντα Ξενοκράτει πεντήκοντα τάλαντα, καὶ Δάνδαμις καὶ Κάλανος [3] οὕτω σπουδασθέντες μαρτυροῦσιν.

IX. Φιλίππου δὲ στρατεύοντος ἐπὶ Βυζαντίους, ἦν μὲν ἑκκαιδεκέτης ὁ Ἀλέξανδρος. ἀπολειφθεὶς δὲ κύριος ἐν Μακεδονίᾳ τῶν πραγμάτων καὶ τῆς σφραγῖδος, Μεδάρων [4] τε τοὺς ἀφεστῶτας κατεστρέψατο, καὶ πόλιν ἑλὼν αὐτῶν, τοὺς μὲν βαρβάρους ἐξαπήλασε [5], συμμίκτους δὲ κατοικίσας, Ἀλεξανδρόπολιν προσηγόρευσεν. ἐν δὲ Χαιρωνείᾳ τῆς πρὸς τοὺς Ἕλληνας μάχης παρὼν μετέχε, καὶ λέγεται πρῶτος ἐνσεῖσαι τῷ [6] ἱερῷ λόχῳ τῶν Θηβαίων. ἔτι δὲ καὶ καθ᾽ ἡμᾶς ἐδείκνυτο παλαιὰ παρὰ τὸν Κηφισὸν [7] Ἀλεξάνδρου καλουμένη δρῦς, πρὸς ἣ τότε κατεσκήνωσε, καὶ τὸ πολυάνδριον οὐ πόῤῥω τῶν Μακεδόνων ἐστίν. ἐκ μὲν οὖν τούτων, ὡς εἰκὸς, Φίλιππος ὑπερηγάπα τὸν υἱὸν, ὥστε καὶ χαίρειν, τῶν Μακεδόνων Ἀλέξανδρον μὲν βασιλέα, Φίλιππον δὲ στρατηγὸν καλοῦν-



1 Legi quoque στεῤῥὸν, testis est H. Steph.

2 R. susp. ὡς ἡ τῶν περὶ Ἀν.

3 V. Δάρδαμις καὶ Κάλαμος.

4 *Medaros* Xyl. non novit. Hinc scripsit *Medos*, gentem Thracicam, Macedoniae vicinam. V. Μέδρων. Mos. Dus. scribi vult Μαίδων, Cellarii auctoritatem sequens. Guarinus male dedit *Megarenses*.

5 Mos. Dus. ex V. reponi vult ἐξήλασεν. R. aut ἐξήλασε, aut ἀπήλασε tenendum censet.

6 Mos. Dus. adnotat, non sic construi solere hoc verbum, sed cum praepos. εἰς. V. ἐνδῦσαι, uti paulo ante παρασχὼν pro παρὼν, & paulo post λόγῳ pro λόχῳ.

7 Non Junt. sola, uti est in R. nota, sed & Ald. Crat. & Steph. Κησιφὸν. Frst. Κηφισὸν. In ej. Var. ind. haec notantur: Anon. pro τὸν Κηφισὸν legi non vult τὸν Κησιφόν.

καλέυΐων. αἱ δὲ περὶ τὴν οἰκίαν ταραχαὶ, διὰ τὲς γάμες καὶ τὲς ἔρωτας αὐτε̃ τρόπον τινὰ τῆς βασιλείας τῇ γυναικωνίτιδι συννοσέσης, πολλὰς αἰτίας καὶ μεγάλας διαφορὰς παρεῖχον· ἃς ἡ τῆς Ὀλυμπιάδος χαλεπότης, δυσζήλε καὶ βαρυθύμε γυναικὸς, ἔτι μείζονας ἐποίει, παροξυνέσης τὸν Ἀλέξανδρον. ἐκφανεςάτην δ' Ἄτ]αλος παρέχεν ἐν τοῖς Κλεοπάτρας γάμοις, ἣν ὁ Φίλιππος ἠγάγετο παρθένον, ἐραθεὶς παρ' ἡλικίαν τῆς κόρης. θεῖος γὰρ ὢν αὐτῆς ὁ Ἄτ]αλος, ἐν τῷ πότῳ μεθύων, παρεκάλει τὲς Μακεδόνας αἰτεῖθαι παρὰ θεῶν γνήσιον ἐκ Φιλίππε καὶ Κλεοπάτρας γενέθαι διάδοχον τῆς βασιλείας. ἐπὶ τέτῳ παροξυνθεὶς ὁ Ἀλέξανδρος, καὶ εἰπών· Ἡμεῖς δέ σοι, κακὴ κεφαλὴ, νόθοι δοκε̃μεν; ἔβαλε σκύφον ἐπ' αὐτόν. ὁ δὲ Φίλιππος ἐπ' ἐκεῖνον ἐξανέςη, σπασάμενος τὸ ξίφος. εὐτυχίᾳ δ' ἑκατέρε, διὰ τὸν θυμὸν καὶ τὸν οἶνον ἔπεσε σφαλείς. ὁ δ' Ἀλέξανδρος ἐφυβρίζων· Οὗτος μέντοι, εἶπεν, ἄνδρες, εἰς Ἀσίαν ἐξ Εὐρώπης παρεσκευάζετο διαβαίνειν, ὃς ἐπὶ κλίνην ἀπὸ κλίνης διαβαίνων ἀνατέτραπ]αι. μετὰ ταύτην τὴν παροινίαν, ἀναλαβὼν τὴν Ὀλυμπιάδα, καὶ καταςήσας εἰς Ἤπειρον, αὐτὸς ἐν Ἰλλυριοῖς [1] διέτριβεν. ἐν τέτῳ δὲ Δημάρατος ὁ Κορίνθιος, ξένος ὢν τῆς οἰκίας, καὶ παῤῥησίας μετέχων, ἀφίκετο πρὸς Φίλιππον, μετὰ δὲ τὰς πρώτας δεξιώσεις καὶ φιλοφροσύνας, ἐπερωτῶντος τε̃ Φιλίππε, πῶς ἔχεσιν ὁμονοίας πρὸς ἀλλήλες οἱ Ἕλληνες· Πάνυ γε̃ν, ἔφη, σοι προσήκει, Φίλιππε, κήδεθαι τῆς Ἑλλάδος, ὃς τὸν οἶκον τὸν σεαυτε̃ ςάσεως τοσαύτης καὶ κακῶν ἐμπέπ]ληκας. ἔτω δὴ συμφρονήσας ὁ Φίλιππος, ἔπεμψε καὶ κατήγαγε, πείσας διὰ τε̃ Δημαράτε τὸν Ἀλέξανδρον.

X.

1 Sic Mos. Dus. cum Anon. voluit scribi, & dedit R. pro vulg. Ἰλλυροῖς. Haec vox ex Ald. est profecta. In Crat. est Ἰλλυριοῖς, uti in Junt.

X. Ἐπεὶ δὲ Πηξόδωρος [1], ὁ Καρίας σατράπης, ὑποδυόμενος δι' οἰκειότητος εἰς τὴν Φιλίππȣ συμμαχίαν, ἐβȣ́λετο τὴν πρεσβυτάτην τῶν θυγατέρων Ἀῤῥιδαίῳ τῷ Φιλίππȣ γυναῖκα δȣ̃ναι, καὶ περὶ τȣ́των Ἀριςόκριτον εἰς Μακεδονίαν ἀπέςειλεν, αὖθις ἐγίνοντο λόγοι καὶ διαβολαὶ παρὰ τῶν φίλων καὶ τῆς μητρὸς πρὸς Ἀλέξανδρον, ὡς Ἀῤῥιδαῖον ἐπὶ τῇ βασιλείᾳ Φιλίππȣ γάμοις λαμπροῖς καὶ πράγμασι μεγάλοις εἰσοικειȣ̃ντος. ὑφ' ὧν διαταραχθεὶς, πέμπει Θεσσαλὸν εἰς Καρίαν, τὸν τῶν τραγῳδιῶν ὑποκριτὴν, Πηξοδώρῳ διαλεξόμενον, ὡς χρὴ τὸν νόθον ἐάσαντα, καὶ ȣ̓ φρενήρη, μεθαρμόσασθαι τὸ κῆδος εἰς Ἀλέξανδρον. καὶ Πηξοδώρῳ μὲν ȣ̓ παρὰ μικρὸν ἤρεσκε ταῦτα τῶν προτέρων μᾶλλον. ὁ δὲ Φίλιππος, αἰσθόμενος ὄντα [2] τὸν Ἀλέξανδρον εἰς τὸ δωμάτιον, παραλαβὼν τῶν φίλων αὐτȣ̃ καὶ συνήθων ἕνα, Φιλώταν τὸν Παρμενίωνος, ἐπετίμησεν ἰσχυρῶς, καὶ πικρῶς ἐλοιδόρησεν ὡς ἀγεννῆ καὶ τῶν ὑπαρχόντων περὶ αὐτὸν ἀγαθῶν ἀνάξιον, εἰ Καρὸς ἀνθρώπȣ, καὶ βαρβάρῳ βασιλεῖ δȣλεύοντος, ἀγαπᾷ γαμβρὸς γενέσθαι. τὸν δὲ Θεττάλὸν ἔγραψε Κορινθίοις ὅπως ἀναπέμψωσιν ἐπὶ [3], πέδαις δεδεμένον. τῶν δ' ἄλλων ἑταίρων Ἅρπαλον καὶ Νέαρχον, ἔτι δὲ Φρύγιον καὶ Πτολεμαῖον, ἐκ Μακεδονίας μετέςησεν· ȣ̔̀ς ὕςερον Ἀλέξανδρος καταγαγὼν ἐν



1 Poſt datur per ἰῶτα in Junt. Ald. & Crat. quod reprobat Xyl. In Arriano Πηξόδαρον.

2 H. Steph. ſcribi voluit ἰόντα. Anon. ἰὼν εἰς τὸ Ἀλεξάνδρȣ δωμάτιον. Probant hanc lectionem Br. & Dacer. Accedit eorum ſententiae Moſ. Duſ. modo poſt παραλαβὼν inſeratur τε. R. ſuſp. ὄντα τὸν Ἀλέξανδρον εἰς τὸ τῆς Ὀλυμπιάδος δωμάτιον, ſentiens, Alexandrum apud Olympiadem in diaeta ejus eſſe — (Eodem docente, εἶναι εἰς δωμάτ. idem eſt, ac εἶναι ἐν δωματίῳ) ibat Philippus illuc aſſumto Philota, & Alexandrum coram matre atque Philota acerbe objurgabat.

3 Sic R. diſtinxit poſt h. v. alias cum ſeq. v. conjunctam, interponendum cenſens τιμωρίᾳ, *quo poenas meritas det.* V. ἐν πέδαις, quod probavit Moſ. Dus.

ἐν ταῖς μεγίϛαις ἔχε τιμαῖς. ἐπεὶ δὲ Παυσανίας, Ἀττάλε γνώμῃ καὶ Κλεοπάτρας ὑβρισθεὶς, καὶ μὴ τυχὼν δίκης, ἀνεῖλε Φίλιππον, τὸ μὲν πλεῖϛον εἰς Ὀλυμπιάδα τῆς αἰτίας περιῆλθεν, ὡς θυμεμένῳ τῷ νεανίσκῳ προσεγκελευσαμένην [1] καὶ παροξύνασαν· ἔθιγε δέ τις καὶ Ἀλεξάνδρε διαβολή. λέγεται γὰρ, ἐντυχόντος αὐτῷ τε Παυσανίε μετὰ τὴν ὕβριν ἐκείνην, καὶ ἀποδυρομένε, προενέγκασθαι τὸ τῆς Μηδείας ἰαμβεῖον [2].

Τὸν δόντα καὶ γήμαντα καὶ γαμεμένην.

ε μὴν ἀλλὰ καὶ τὲς συναιτίες τῆς ἐπιβελῆς ἀναζητήσας ἐκόλασε, καὶ τὴν Κλεοπάτραν, ἀποδημεντος αὐτε, τῆς Ὀλυμπιάδος ὠμῶς μεταχειρισαμένης ἠγανάκτησεν.

XI. Παρέλαβε μὲν ἓν ἔτη γεγονὼς εἴκοσι τὴν βασιλείαν, φθόνες μεγάλες καὶ δεινὰ μίση καὶ κινδύνες πανταχόθεν ἔχεσαν. ὅτε γὰρ τὰ βάρβαρα καὶ πρόσοικα γένη τὴν δελωσιν ἔφερε, ποθεντα τὰς πατρίες βασιλείας· ὅτε τὴν Ἑλλάδα κρατήσας τοῖς ὅπλοις ὁ Φίλιππος, οἷον καταζεῦξαι καὶ τιθασεῦσαι χρόνον ἔχεν, ἀλλὰ μόνον μεταβαλὼν καὶ ταράξας τὰ πράγματα, πολὺν σάλον ἔχοντα καὶ κίνησιν ὑπ᾽ ἀηθείας, ἀπέλιπε. φοβεμένων δὲ τῶν Μακεδόνων τὸν καιρὸν, καὶ τὰ μὲν Ἑλληνικὰ πάντως ἀφεῖναι, καὶ μὴ προσβιάζεσθαι τὸν Ἀλέξανδρον οἰομένων δεῖν, τὲς δ᾽ ἀφιϛαμένες τῶν βαρβάρων ἀνακαλεῖσθαι πράως, καὶ θεραπεύειν τὰς ἀρχὰς τῶν νεωτερισμῶν, αὐτὸς ἀπ᾽ ἐναντίων λογισμῶν ὥρμησε τόλμῃ καὶ μεγαλοφροσύνῃ κτᾶσθαι τὴν ἀσφάλειαν καὶ σωτηρίαν τοῖς πράγμασιν· ὡς, κἂν ὁτιεν ὑφιέμενος ὀφθῇ τε φρονήματος, ἐπιβησομένων [3] ἁπάντων.

1 V. προσεγκαλεσάμην.

2 Eurip. Medea, v. 288. Per δόντα h. l. intellige Attalum, per γήμαντα Philippum, per γαμεμένην Cleopatram, uti in Eurip. verba ſunt Medeae de Jaſone, ſoceroque & uxore novis ejus, Creonte & Glauca, necandis deliberantis.

3 Moſ. Duſ. maluit ἐπιθησομένων.

των. τὰ μὲν ἔν βαρβαρικὰ κινήματα καὶ [1] τὲς ἐκεῖ πολέμες κατέπαυσεν ὀξέως ἐπιδραμὼν ςρατῷ μέχρι πρὸς τὸν Ἴςρον· καὶ Σύρμον ἐνίκησε μάχῃ μεγάλῃ, τὸν βασιλέα τῶν Τριβαλλῶν. Θηβαίες δ' ἀφεςάναι πυθόμενος, καὶ συμφρονεῖν αὐτοῖς [2] Ἀθηναίες, ἐθέλων ἀνὴρ φανῆναι, εὐθὺς ἦγε διὰ Πυλῶν τὴν δύναμιν, εἰπὼν, ὅτι Δημοσθένει, παῖδα μὲν αὐτὸν, ἕως ἦν ἐν Ἰλλυριοῖς καὶ Τριβαλλοῖς, ἀποκαλἔντι, μειράκιον δὲ περὶ Θετταλίαν γενόμενον, βέλεται πρὸς τοῖς Ἀθηναίων τείχεσιν ἀνὴρ φανῆναι. προσμίξας δὲ ταῖς Θήβαις, καὶ διδὲς ἔτι τῶν πεπραγμένων μετάνοιαν, ἐξήτει Φοίνικα καὶ Προθύτην· καὶ τοῖς μεταβαλλομένοις πρὸς αὐτὸν ἄδειαν ἐκήρυττε. τῶν δὲ Θηβαίων ἀντεξαιτἔντων μὲν παρ' αὐτἔ Φιλώταν καὶ Ἀντίπατρον, κηρυττόντων δὲ, τὲς τὴν Ἑλλάδα βελομένες συνελευθερἔν, τάττεσθαι μετ' αὐτῶν, ἕτως ἔτρεψε [3] τὲς Μακεδόνας πρὸς πόλεμον. ἠγωνίσθη μὲν ἔν ὑπὲρ δύναμιν ἀρετῇ καὶ προθυμίᾳ τὰ [4] παρὰ τῶν Θηβαίων πολλαπλασίοις ἔσι τοῖς πολεμίοις ἀντιταχθέντων. ἐπεὶ δὲ καὶ τὴν Καδμείαν ἀφέντες οἱ φρερροὶ τῶν Μακεδόνων ἐπέπιπτον αὐτοῖς ἐξόπισθεν, κυκλωθέντες οἱ πλεῖςοι κατὰ τὴν μάχην αὐτὴν ἔπεσον· ἡ δὲ πόλις ἥλω, καὶ διαρπασθεῖσα κατεσκάφη· τὸ μὲν ὅλον, προσδοκήσαντος αὐτἔ τὲς Ἕλληνας ἐκπλαγέντας πάθει τηλικέτῳ καὶ πτήξαντας ἀτρεμήσειν, ἄλλως δὲ καλλωπισαμένε χαρίζεσθαι τοῖς τῶν συμμάχων ἐγκλήμασι· καὶ γὰρ Φωκεῖς καὶ Πλαταιεῖς τῶν Θηβαίων κατηγόρησαν. ὑπεξελόμενος δὲ τὲς ἱερεῖς, καὶ τὲς ξένες τῶν Μακεδόνων ἅπαντας, καὶ τὲς ἀπὸ Πινδάρε



1 Ante καὶ vulgo datur ἢ, quod suo arbitratu delevit R.

2 Sic scribi voluit Mos. Duf. & dedit R. pro vulg. αὐτὲς. Voces ἐθέλ. ἀν. φαν. delendas censuit Duf. quia satis in ipsis, quae sequantur, Alexandri verbis contineantur.

3 V. ἔταξε, ἔτραψε.

4 R. τὰ mavult abesse.

δάρχ γεγονότας, καὶ τὰς ὑπεναντιωθέντας τοῖς ψηφισαμένοις τὴν ἀπόςασιν, ἀπέδοτο τὰς ἄλλας, περὶ τρισμυρίας γενομένας· οἱ δ' ἀποθανόντες ὑπὲρ ἑξακισχιλίας ἦσαν.

XII. Ἐν δὲ τοῖς πολλοῖς πάθεσι καὶ χαλεποῖς ἐκείνοις, ἃ τὴν πόλιν κατεῖχε, Θρᾷκές τινες ἐκκόψαντες οἰκίαν Τιμοκλείας, γυναικὸς ἐνδόξα καὶ σώφρονος, αὐτοὶ μὲν τὰ χρήματα διήρπαζον, ὁ δ' ἡγεμὼν τῇ γυναικὶ πρὸς βίαν συγγενόμενος καὶ καταισχύνας, ἀνέκρινεν, εἴ πα χρυσίον ἔχοι κεκρυμμένον, ἢ ἀργύριον. ἡ δ' ἔχειν ὡμολόγησε, καὶ μόνον εἰς τὸν κῆπον ἀγαγᾶσα, καὶ δείξασα φρέαρ, ἐνταῦθα ἔφη, τῆς πόλεως ἁλισκομένης, καταβαλεῖν αὐτὴ [1] τὰ τιμιώτατα τῶν χρημάτων. ἐγκύπτοντος δὲ τᾶ Θρᾳκὸς, καὶ κατασκεπτομένα τὸν τόπον, ἔωσεν αὐτὸν ἐξόπισθεν γενομένη, καὶ τῶν λίθων ἐπεμβαλᾶσα πολλὰς, ἀπέκτεινεν. ὡς δ' ἀνήχθη πρὸς [2] Ἀλέξανδρον ὑπὸ τῶν Θρᾳκῶν δεδεμένη, πρῶτον μὲν ἀπὸ τῆς ὄψεως καὶ τῆς βαδίσεως ἐφάνη τις ἀξιωματικὴ καὶ μεγαλόφρων, ἀνεκπλήκτως καὶ ἀδεῶς ἑπομένη τοῖς ἄγασιν. ἔπειτα τᾶ βασιλέως ἐρωτήσαντος, ἥτις εἴη γυναικῶν, ἀπεκρίνατο Θεαγένας ἀδελφὴ γεγονέναι, τᾶ παραταξαμένα πρὸς Φίλιππον ὑπὲρ τῆς τῶν Ἑλλήνων ἐλευθερίας, καὶ πεσόντος ἐν Χαιρωνείᾳ ςρατηγᾶντος. θαυμάσας ἂν ὁ Ἀλέξανδρος αὐτῆς καὶ τὴν ἀπόκρισιν καὶ τὴν πρᾶξιν, ἐκέλευσεν ἐλευθέραν ἀπιέναι μετὰ τῶν τέκνων.

XII. Ἀθηναίοις δὲ διηλλάγη, καίπερ ἀ μετρίως ἐνεγκᾶσι τὸ περὶ Θήβας δυςύχημα. καὶ γὰρ τὴν τῶν μυςηρίων ἑορτὴν ἐν χεροῖν ἔχοντες, ὑπὸ πένθας ἀφῆκαν,

1 V. αὐτήν. In Junt. Ald. Crat. αὐτῇ. De Timoclea hac cf. Plut. de virtutibus mulierum.

2 Vulgo secundum Steph. additur artic. τόν. Eum omisit R. cum Junt. Ald. & Crat.

καν, καὶ τοῖς καταφυγοῦσιν ἐπὶ [1] τὴν πόλιν ἁπάντων μετεδίδοσαν τῶν φιλανθρώπων. ἀλλ' εἴτε μεςὸς ὢν ἤδη τὸν θυμὸν, ὥσπερ οἱ λέοντες, εἴτ' ἐπιεικὲς ἔργον ὠμοτάτῳ καὶ σκυθρωποτάτῳ παραβαλεῖν βουλόμενος, οὐ μόνον ἀφῆκεν αἰτίας πάσης, ἀλλὰ καὶ προσέχειν ἐκέλευσε τοῖς πράγμασι τὴν νοῦν τὴν πόλιν, ὡς, εἴ τι συμβαίη περὶ αὐτὸν, ἄρξουσαν τῆς Ἑλλάδος. ὕςερον μέντοι πολλάκις αὐτὸν ἡ Θηβαίων ἀνιάσαι συμφορὰ λέγεται, καὶ πρᾳότερον οὐκ ὀλίγοις παρασχεῖν. ὅλως δὲ καὶ τὸ περὶ Κλεῖτον ἔργον ἐν οἴνῳ γενόμενον, καὶ τὴν πρὸς Ἰνδοῖς [2] τῶν Μακεδόνων ἀποδειλίασιν, ὥσπερ ἀτελῆ τὴν ςρατείαν καὶ τὴν δόξαν [3] αὐτοῦ προεμένων, εἰς μῆνιν ἀνῆγε Διονύσου [4] καὶ νέμεσιν. ἦν δὲ Θηβαίων οὐδεὶς τῶν περιγενομένων, ὃς ἐντυχών τι [5] καὶ δεηθεὶς ὕςερον οὐ διεπράξατο παρ' αὐτοῦ. ταῦτα μὲν τὰ περὶ Θήβας.

XIV. Εἰς δὲ τὸν Ἰσθμὸν τῶν Ἑλλήνων συλλεγέντων, καὶ ψηφισαμένων ἐπὶ Πέρσας μετ' Ἀλεξάνδρου ςρατεύειν, ἡγεμὼν ἀνηγορεύθη. πολλῶν δὲ καὶ πολιτικῶν ἀνδρῶν καὶ φιλοσόφων ἀπηντηκότων αὐτῷ, καὶ συνηδομένων, ἤλπιζε καὶ Διογένη τὸν Σινωπέα ταὐτὸ [6] ποιήσειν, διατρίβοντα περὶ Κόρινθον. ὡς δ' ἐκεῖνος, ἐλάχιςον Ἀλεξάνδρου λόγον ἔχων, ἐν τῷ Κρανείῳ σχολὴν ἦγεν, αὐτὸς ἐπορεύετο πρὸς αὐτόν. ἔτυχε δὲ κατακείμενος ἐν ἡλίῳ, καὶ μικρὸν μὲν ἀνεκάθισεν, ἀνθρώπων τοσούτων ἐπερχομένων, καὶ διέβλεψεν εἰς τὸν Ἀλέξ-

1 V. εἰς.

2 R. monet, Latinum Interpretem ita reddidisse, ac si legisset πρὸς Ἰνδοὺς, ac se non meminisse fatetur, quaenam sit illa adversus Indos, aut ἐν Ἰνδοῖς trepidatio, vel ignavia. Quaerit, num πρὸς Γάγγην — quod nollent Gangem transire?

3 Articulum e Junt. R. restituit. Vulgo δόξαν absque eo.

4 Dei tutelaris Thebarum.

5 Mos. Dus. aut delendum censet τι, aut pro eo τε scribendum. Post ὕςερον Junt. vitiose οὐ omittit.

6 V. ταὐτὸν.

Ἀλέξανδρον· ὡς δ' ἐκεῖνος ἀσπασάμενος καὶ προσειπὼν αὐτὸν ἠρώτησεν, εἴ τινος τυγχάνει δεόμενος· Μικρὸν, εἶπεν, ἀπὸ τῦ ἡλίȣ μετάστηθι. πρὸς τῦτο λέγεται τὸν Ἀλέξανδρον ὕτω διατεθῆναι καὶ θαυμάσαι καταφρονηθέντα τὴν ὑπεροψίαν καὶ τὸ μέγεθος τῦ ἀνδρὸς, ὥστε τῶν περὶ αὐτὸν, ὡς ἀπῄεσαν, διαγελώντων καὶ σκωπτόντων· Ἀλλὰ μὴν ἐγὼ, εἰπεῖν [1], εἰ μὴ Ἀλέξανδρος ἤμην, Διογένης ἂν ἤμην. βυλόμενος δὲ τῷ θεῷ χρήσασθαι περὶ τῆς στρατείας, ἦλθεν εἰς Δελφύς· καὶ κατὰ τύχην ἡμερῶν ἀποφράδων ὐσῶν, ἐν αἷς ὐ νενόμισται θεμιστεύειν, πρῶτον μὲν ἔπεμπε παρακαλῶν τὴν πρόμαντιν· ὡς δ' ἀρνυμένης, καὶ προϊσχομένης τὸν νόμον, αὐτὸς ἀναβὰς βίᾳ πρὸς τὸν ναὸν εἷλκεν αὐτήν· ἡ δ', ὥσπερ ἐξηττημένη τῆς σπυδῆς, εἶπεν· Ἀνίκητος εἶ, ὦ παῖ. τῦτ' ἀκύσας Ἀλέξανδρος, ὐκ ἔτ' ἔφη χρῄζειν [2] ἑτέρυ μαντεύματος, ἀλλ' ἔχειν, ὃν ἐβύλετο παρ' αὐτῆς, χρησμόν. ἐπεὶ δ' ὥρμησε πρὸς τὴν στρατείαν, ἄλλα τε δοκεῖ σημεῖα παρὰ τῦ δαιμονίυ γενέσθαι, καὶ τὸ περὶ Λείβηθρα [3] τῦ Ὀρφέως ξόανον (ἦν δὲ κυπαρίττινον) ἱδρῶτα πολὺν ὑπὸ τὰς ἡμέρας ἐκείνας ἀφῆκε. φοβυμένων [4] δὲ πάντων τὸ σημεῖον, Ἀρίστανδρος ἐκέλευε θαῤῥεῖν, ὡς ἀοιδίμυς καὶ περιβοήτυς κατεργασόμενον πράξεις, αἳ πολὺν ἱδρῶτα καὶ πόνον ὑμνῦσι ποιηταῖς καὶ μυσικοῖς παρέξυσι.

XV. Τῆς δὲ στρατιᾶς τὸ πλῆθος, οἱ μὲν ἐλάχιστον λέγοντες, τρισμυρίυς πεζὺς, καὶ πεντακισχιλίυς ἱππεῖς· οἱ δὲ πλεῖστον, πεζὺς μὲν τετρακισχιλίυς καὶ τρισμυρίυς,

1 Sic ob praecedens ὥστε dari voluit Br. & dedit R. pro vulg. εἶπεν.

2 Sic se restituisse e Junt. monet R. pro vulg. χρήσειν. Sola in Br. est χρήσειν: In omnibus rel. χρῄζειν.

3 Arrian. pro his habet τὸ ἐν Πιερίδι.

4 V. βυλομένων, in ind. Frft.

μυρίυς [1], ἱππέας δὲ τετρακισχιλίυς ἀναγράφυσιν. ἐφόδιον δὲ τύτοις ὑ πλέον ἑβδομήκοντα ταλάντων ἔχειν αὐτὸν Ἀριςόβυλος ἱςορεῖ. Δῦρις δὲ, τριάκοντα μόνον ἡμερῶν διατροφήν· Ὀνησίκριτος δὲ, καὶ διακόσια τάλαντα προσοφείλειν. ἀλλὰ καίπερ ἀπὸ μικρῶν καὶ ςενῶν ὕτως ὁρμώμενος, ὐ πρότερον ἐπέβη τῆς νεὼς, ἢ τὰ τῶν ἑταίρων πράγματα σκεψάμενος, ἀπονεῖμαι τῷ μὲν ἀγρὸν, τῷ δὲ κώμην, τῷ δὲ συνοικίας πρόσοδον, ἢ λιμένος. ἤδη δὲ κατηνηλωμένων καὶ διαγεγραμμένων [2] σχεδὸν ἁπάντων τῶν βασιλικῶν, ὁ Περδίκκας· Σεαυτῷ δ', εἶπεν, ὦ βασιλεῦ, τί καταλείπεις; τῦ δὲ φήσαντος, ὅτι τὰς ἐλπίδας· Οὐκῦν, ἔφη, καὶ ἡμεῖς τύτων κοινωνήσομεν, οἱ μετὰ σῦ ςρατευόμενοι; παραιτησαμένυ δὲ τῦ Περδίκκυ τὴν διαγεγραμμένην κτῆσιν αὐτῷ, καὶ τῶν ἄλλων φίλων ἔνιοι τὸ αὐτὸ ἐποίησαν· τοῖς δὲ λαμβάνυσι καὶ δεομένοις προθύμως ἐχαρίζετο, καὶ τὰ πλεῖςα τῶν ἐν Μακεδονίᾳ διανέμων ὕτω κατηνάλωσε. τοιαύτῃ μὲν [3] ὁρμῇ καὶ παρασκευῇ διανοίας τὸν Ἑλλήσποντον διεπέρασεν. ἀναβὰς δ' εἰς Ἴλιον, ἔθυσε τῇ Ἀθηνᾷ, καὶ τοῖς Ἥρωσιν ἔσπεισε. τὴν δ' Ἀχιλλέως ςήλην ἀλειψάμενος λίπα, καὶ μετὰ τῶν ἑταίρων συναναδραμὼν γυμνὸς, ὥσπερ ἔθος ἐςὶν, ἐςεφάνωσε, μακαρίσας αὐτὸν, ὅτι καὶ ζῶν φίλυ πιςῦ, καὶ τελευτήσας μεγάλυ κήρυκος ἔτυχεν. ἐν δὲ τῷ περιϊέναι καὶ θεᾶσθαι τὰ κατὰ τὴν πόλιν, ἐρομένυ τινὸς αὐτὸν, εἰ βύλεται τὴν Ἀλεξάνδρυ λύραν ἰδεῖν, ἐλάχιςα φροντίζειν ἐκείνης ἔφη· τὴν δ'

1 V. τετρακισμυρίυς καὶ τρισχιλίυς. Sodem sequentis vocabuli τετρακισχιλίυς mutandam censet R. cum πεντακισχιλίυς, quod paulo ante legitur, cum alias non constet, quod de minimo & maximo numero ait.

2 Cum διαγράφειν alias sit *aes alienum diluere, nomen contractum dispungere, die gemachte Schuld abstossen, abtragen*: quaerit R. annon h. l. quoque conveniat: *durch schriftliche Anweisungen verpfändet oder veräussert?*

3 R. susp. καὶ τοιαύτῃ μὲν.

δ' Ἀχιλλέως ζητεῖν, ἢ τὰ κλέα καὶ τὰς πράξεις ὕμνει τῶν ἀγαθῶν ἀνδρῶν ἐκεῖνος [1].

XVI. Ἐν δὲ τέτῳ τῶν Δαρείε ϛρατηγῶν μεγάλην δύναμιν ἠθροικότων, καὶ παρατεταγμένων ἐπὶ τῇ διαβάσει τε Γρανικε, μάχεσθαι μὲν ἴσως ἀναγκαῖον ἦν, ὥσπερ ἐν πύλαις τῆς Ἀσίας, περὶ τῆς εἰσόδε καὶ ἀρχῆς [2]. τε δὲ ποταμε τὸ βάθος, καὶ τὴν ἀνωμαλίαν καὶ τραχύτητα τῶν πέραν ὀχθῶν [3], πρὸς ἃς ἔδει γίνεσθαι τὴν ἀπόβασιν μετὰ μάχης, τῶν πλείϛων δεδιότων, ἐνίων δὲ καὶ τῶν περὶ τὸν μῆνα νενομισμένων οἰομένων δεῖν φυλάξασθαι· Δαισίε γὰρ ἐκ εἰώθεισαν οἱ βασιλεῖς τῶν Μακεδόνων ἐξάγειν τὴν ϛρατιάν· τετο μὲν ἐπηνωρθώσατο, κελεύσας δεύτερον Ἀρτεμίσιον ἄγειν. τε δὲ Παρμενίωνος, ὡς ὀψὲ τῆς ὥρας ἔσης, ἐκ ἐῶντος ἀποκινδυνεύειν, εἰπὼν αἰσχύνεσθαι τὸν Ἑλλήσποντον, εἰ φοβήσεται τὸν Γρανικὸν, διαβεβηκὼς ἐκεῖνον, ἐμβάλλει τῷ ῥεύματι σὺν ἴλαις ἱππέων τρισκαίδεκα· καὶ πρὸς ἐναντία βέλη καὶ τόπες ἀποῤῥῶγας, ὅπλοις καταπεφραγμένες καὶ ἵπποις [4], ἐλαύνων καὶ διὰ ῥεύματος παραφέροντος [5] καὶ περικλύζοντος, ἔδοξε μανικῶς καὶ πρὸς ἀπόνοιαν μᾶλλον, ἢ γνώμῃ, ϛρατηγεῖν. ἐ μὴν ἀλλ' ἐμφὺς τῇ διαβάσει, καὶ κρατήσας τῶν τόπων χαλεπῶς καὶ μόλις, ὑγρῶν καὶ περισφαλῶν γενομένων διὰ τὸν πηλὸν, εὐθὺς ἠναγκάζετο φύρδην μάχεσθαι, καὶ κατ' ἄνδρα συμπλέκεσθαι τοῖς ἐπιφερομένοις, πρὶν εἰς τάξιν τινὰ καταϛῆναι τὲς διαβαίνοντας. ἐνέκειντο γὰρ κραυγῇ, καὶ τὲς ἵππες παραβάλλοντες τοῖς ἵπποις, ἐχρῶντο

1 Iliad. I. 189.

2 R. quaerit, num περὶ τῆς εἰσόδε τῆς ἀρχῆς, *de ostio imperii?* an περὶ τῆς εἰσόδε καὶ αὐλῆς, de aula *velut imperii, dem Vorhofe.*

3 V. ὄχθων, & paulo post γενέσθαι pro γίνεσθαι.

4 Sic cum V. Anon. & Junt. dandum censuit Mos. Duf. deditque R. pro vulg. ἵππες.

5 V. παραῤῥέοντος.

το δόρασι, καὶ ξίφεσι, τῶν δοράτων συντριβέντων. ὠσαμένων δὲ πολλῶν ἐπ' αὐτὸν, (ἦν δὲ τῇ πέλτῃ [1] καὶ τῇ κράνους τῇ χαίτῃ διαπρεπὴς, ἧς ἑκατέρωθεν εἱστήκει πτερὸν λευκότητι καὶ μεγέθει θαυμαστὸν) ἀκοντισθεὶς μὲν ὑπὸ τὴν ὑποπτυχίδα [2] τοῦ θώρακος οὐκ ἐτρώθη [3]. Ῥοισάκου δὲ καὶ Σπιθριδάτου [4], τῶν στρατηγῶν, προσφερομένων ἅμα, τὸν μὲν ἐκκλίνας, Ῥοισάκῃ δὲ προεμβαλὼν τεθωρακισμένῳ τὸ δόρυ, καὶ κατακλάσας τοῦτο, ἐπὶ τὸ ἐγχειρίδιον ὥρμησε. συμπεπτωκότων δ' αὐτῶν, ὁ Σπιθριδάτης ὑποστήσας [5] ἐκ πλαγίων τὸν ἵππον, καὶ μετὰ σπουδῆς συνεξαναστὰς [6], κοπίδι βαρβαρικῇ κατήνεγκε·

καὶ

1 R. fufp. poft τῇ πέλτῃ deeffe χρυσῇ οὔσῃ, cum inter mille alios peltatos neceffe fuerit, ut pelta ejus infignis aliqua nota effet.

2 R. ὑποπτυχὶς loricae videtur ille locus effe, ubi in concurfu thoracis cum humero extremae orae loricae cum extremis oris humeralium concurrentes inter fe complicantur, ut fuperiores aliae veluti fquamae tegant alias fubjacentes; & fic quoque circa inguina, ubi neceffe eft loricam effe flexilem — *der Schoos an der Weiche des Leibes, und der Zwickel über und unter den Schultern.*

3 quod ferri laminae ibi geminatae effent. R.

4 Diod. Σπιθροβάτην appellat, & alterum Ῥωσάκην. Aliter haec omnia apud Arrianum narrari, ac apud Noftrum, monet Br.

5 Br. fufp. ἐπιστήσας. R. ὑποστῆσαι vel ὑφιστάναι ἵππον videtur effe calcari compunctum equum adigere, ut in crura poftica nonnihil affurgat, eoque equitem ultra alterum equitem, quem prior aggreditur, attollat, quo pofterior in caput prioris hoc gravius atque altius enfem adigere poffit; praefertim fi eques feriens fuper equo fic jam fublato adhuc altius affurgat: id quod Plutarchus Spithridatem ait fecifie. Idem addit, ὑπὸ in compofitis faepe minuere fignificatum; & στῆσαι equum effe eum adigere, ut quantam poteft maximam ad proceritatem, paene perpendicularem fefe attollat.

6 una cum equo affurgente, & in eo, affurgere, &, pofteaquam in equo fediffes, jam ftare, pedibus in ftapede nixis. R.

Ad

καὶ τὸν μὲν λόφον ἀπήῤῥαξε μετὰ θατέρου πτεροῦ, τὸ δὲ κράνος πρὸς τὴν πληγὴν ἀκριβῶς καὶ μόλις ἀντέσχεν, ὥστε τῶν πρώτων ψαῦσαι τριχῶν [1] τὴν πτέρυγα τῆς κοπίδος. ἑτέραν δὲ τὸν Σπιθριδάτην πάλιν ἐπαιρόμενον [2] ἔφθασε Κλεῖτος ὁ μέλας [3], τῷ ξυστῷ διελάσας μέσον. ὁμοῦ δὲ καὶ Ῥοισάκης ἔπεσε, ὑπ' Ἀλεξάνδρου ξίφει πληγείς. ἐν τούτῳ δὲ κινδύνου καὶ ἀγῶνος οὔσης τῆς ἱππομαχίας, ἥ τε φάλαγξ διέβαινε τῶν Μακεδόνων, καὶ συνῆγον αἱ πεζαὶ δυνάμεις [4]. οὐ μὴν ὑπέστησαν εὐρώστως, οὐδὲ πολὺν χρόνον, ἀλλ' ἔφυγον τραπόμενοι, πλὴν τῶν μισθοφόρων Ἑλλήνων. οὗτοι δὲ πρός τινι λόφῳ συστάντες, ᾔτουν τὰ πιστὰ [5] τὸν Ἀλέξανδρον. ὁ δὲ θυμῷ μᾶλλον, ἢ λογισμῷ, πρῶτος ἐμβαλὼν, τόν τε ἵππον ἀποβάλλει, ξίφει πληγέντα διὰ τῶν πλευρῶν (ἦν δ' ἕτερος, οὐχ ὁ Βουκεφάλας [6]) καὶ τοὺς πλείστους τῶν ἀποθανόντων καὶ τραυματισθέντων ἐκεῖ συνέβη κινδυνεῦσαι καὶ πεσεῖν, πρὸς ἀνθρώπους ἀπεγνωκότας καὶ μαχίμους συμ-

Ad seq. κατήνεγκε subaud. eodem monente, aut πληγὴν aut τραῦμα; & λόφος est clavus ille ligneus e galea eminens, cui infixa & alligata est crista. Avulso igitur illo clavo, cum necesse esset ambas pinnas cadere, non intelligere se R. fatetur, qui dicat Plutarchus, alteram modo pinnam concidisse.

1 V. πτερῶν.

2 Br. susp. ante ἑτέραν excidisse εἰς. Defendit autem Mos. Dus. vulgatam ex usu aliorum.

3 Sic Blancardus ad Arrian. legere jussit, & dedit R. pro vulg. μέγας. Diodor. Κλεῖτος ὁ μέλας habet. Et Athenaeo alius est Clitus ὁ λευκὸς καλούμενος.

4 Br. susp. αἱ Περσικαὶ, vel αἱ πεζαὶ Περσῶν δυν. Intelligendas esse Persarum copias, facile quivis observabit, uti ad sequens ὑπέστησαν, non sustinebant phalangem Macedonicam.

5 R. interprete, begehrten Quartiere, postulabant sibi fidem dari de noxa abstinenda, & de discessu salvo atque libero.

6 V. Βουκεφάλος. Id quoque legi, testis est H. Steph. addens, esse quoque usitatum hoc in illa terminatione.

συμπλεκομένους. λέγονται δὲ πεζοὶ μὲν δισμύριοι [1] τῶν βαρβάρων, ἱππεῖς δὲ δισχίλιοι πεντακόσιοι πεσεῖν. τῶν δὲ περὶ τὸν Ἀλέξανδρον Ἀριστόβουλος φησὶ τέσσαρας καὶ τριάκοντα νεκροὺς γενέσθαι τοὺς πάντας, ὧν ἐννέα πεζοὺς εἶναι. τούτων μὲν οὖν ἐκέλευσεν εἰκόνας ἀνασταθῆναι χαλκᾶς, ἃς Λύσιππος εἰργάσατο. κοινούμενος δὲ τὴν νίκην τοῖς Ἕλλησιν, ἰδίᾳ μὲν τοῖς Ἀθηναίοις ἔπεμψε τῶν αἰχμαλώτων τριακοσίας ἀσπίδας, κοινῇ δὲ τοῖς ἄλλοις λαφύροις ἐκέλευσεν ἐπιγράψαι φιλοτιμοτάτην ἐπιγραφήν· Ἀλέξανδρος ὁ [2] Φιλίππου καὶ οἱ Ἕλληνες, πλὴν Λακεδαιμονίων, ἀπὸ τῶν βαρβάρων τῶν τὴν Ἀσίαν κατοικούντων. ἐκπώματα δὲ, καὶ πορφύρας, καὶ ὅσα τοιαῦτα τῶν Περσικῶν ἔλαβε, πάντα τῇ μητρὶ, πλὴν ὀλίγων, ἔπεμψεν.

XVII. Οὗτος ὁ ἀγὼν μεγάλην εὐθὺς ἐποίησε τῶν πραγμάτων μεταβολὴν πρὸς Ἀλέξανδρον· ὥστε καὶ Σάρδεις, τὸ πρόσχημα [3] τῆς ἐπὶ θαλάσσῃ τῶν βαρβάρων ἡγεμονίας, παραλαβεῖν [4], καὶ τἄλλα προστίθεσθαι. μόνη δ' Ἁλικαρνασσὸς ἀντέστη καὶ Μίλητος, ἃς ἑλὼν κατὰ κράτος, καὶ τὰ περὶ αὐτὰς πάντα χειρωσά-

1 Teste H. Steph. quidam codd. habent tantum μύριοι. Hic numerus est quoque apud Diod. qui & haud plures duobus millibus equites cecidisse tradit: Arrian. εἰς χιλίους. — Differt idem hic in numero caesorum ex parte Alexandri — τῶν ἑταίρων ἀμφὶ τοὺς εἴκοσι καὶ πέντε — τῶν δ' ἄλλων ἱππέων ὑπὲρ τοὺς ἑξήκοντα, πεζοὶ δὲ ἐς τοὺς τριάκοντα. Statuas ἑταίρων tantum effictas fuisse, non omnium, qui in eo proelio ceciderant, monet Br.

2 Articulum omisit Arrianus, quod probat Br.

3 R. docente, est *cultus*, *mundus*, *decus*, quod quisque prae se tenet gloriabundus & exultans, aut τὸ ἐν ἑκάστῳ προέχον, *flos rei*. — Pro seq. θαλάσσῃ Junt. Ald. Crat. θαλάσσης.

4 scil. αὐτὸν. Seq. προστίθ. est R. docente, *ad imperium, arbitrium suum adigere.* Sin autem significet, *alicui sese submittere*, subaudiendum αὐτῷ.

ρωσάμενος, ἀμφίβολος ἦν πρὸς τὰ λοιπὰ τῇ γνώμῃ. καὶ πολλάκις μὲν ἔσπευδε Δαρείῳ συμπεσὼν ἀποκινδυνεῦσαι περὶ τῶν ὅλων, πολλάκις δὲ τοῖς ἐπὶ θαλάσσῃ πράγμασι καὶ χρήμασι διενοεῖτο πρῶτον οἷον ἐνασκήσας καὶ ῥώσας αὐτὸν, ὅτως ἀναβαίνειν ἐπ' ἐκεῖνον. ἔςι δὲ τῆς Λυκίας κρήνη περὶ [1] τὴν Ξανθίων πόλιν, ἧς τότε λέγεσιν αὐτομάτως περιτραπείσης καὶ ὑπερβαλέσης, ἐκ βυθε δέλτον ἐκπεσεῖν χαλκῆν, τύπες ἔχεσαν ἀρχαίων γραμμάτων, ἐν οἷς ἐδηλᾶτο παύσεθαι [2] τὴν Περσῶν ἀρχὴν ὑπὸ Ἑλλήνων καταλυθεῖσαν. τέτοις ἐπαρθεὶς, ἠπείγετο τὴν παραλίαν ἀνακαθ'ραθαι μέχρι τῆς Φοινίκης καὶ Κιλικίας. ἡ δὲ τῆς Παμφυλίας παραδρομὴ πολλοῖς γέγονε τῶν ἱςορικῶν ὑπόθεσις γραφικὴ πρὸς ἔκπληξιν καὶ ὄγκον, ὡς θείᾳ τινὶ τύχῃ παραχωρήσασαν Ἀλεξάνδρῳ τὴν θάλασσαν, ἄλλως ἀεὶ τραχεῖαν ἐκ πελάγες προσφερομένην, σπανίως δὲ λεπτὲς καὶ προσεχεῖς [3] ὑπὸ τὰ κρημνώδη καὶ παρεῤῥωγότα τῆς ὀρεινῆς πάγες διακαλύπτεσαν [4]. δηλοῖ δὲ καὶ Μένανδρος, ἐν κωμῳδίᾳ παίζων πρὸς τὸ παράδοξον·

Ὡς Ἀλεξανδρῶδες ἤδη τέτο. κἂν ζητῶ τινα,
Αὐτόματος ὅτος παρέςαι. κἂν διελθεῖν δηλαδὴ
Διὰ θαλάσσης δέῃ τόπον τιν', ὅτος ἔςαι μοι βατός.

αὐτὸς δ' Ἀλέξανδρος ἐν ταῖς ἐπιςολαῖς, ἐδὲν τοιέτον τερατευσάμενος, ὁδοποιῆσαι φησὶ τὴν λεγομένην Κλίμακα, καὶ διελθεῖν, ὁρμήσας ἐκ Φασήλιδος [5]. διὸ καὶ πλείονας ἡμέρας ἐν τῇ πόλει διέτριψεν· ἐν αἷς καὶ Θεοδέκτε τεθνηκότος (ἦν δὲ Φασηλίτης) ἰδὼν εἰκόνα ἀνακειμένην ἐν ἀγορᾷ, μετὰ δεῖπνον ἐπεκώμασε μεθύων, καὶ τῶν

1 Mos. Dus. susp. παρά.
2 Junt. παύσαθαι. Sic & Ald. & Crat.
3 Sic cum Anon. R. dedit pro vulg. προσηχεῖς.
4 Anon. ἀνακαλύπτεσαν, quod mavult Mos. Dus.
5 V. Βασηλίδος. Junt. Φασιλίδος.

τῶν ϛεφάνων ἐπέῤῥιψε πολλάς· οὐκ ἄχαριν ἐν παιδιᾷ ἀποδιδοὺς τιμὴν τῇ γενομένῃ δι' Ἀριϛοτέλην καὶ Φιλοσοφίαν ὁμιλίᾳ πρὸς τὸν ἄνδρα.

XVIII. Μετὰ ταῦτα Πισιδῶν τε τοὺς ἀντιϛάντας ᾕρει, καὶ Φρυγίαν ἐχειροῦτο· καὶ Γόρδιον πόλιν, ἑϛίαν Μίδου τοῦ παλαιοῦ γενέϑαι λεγομένην, παραλαβὼν, τὴν θρυλλουμένην [1] ἅμαξαν εἶδε Φλοιῷ κρανείας ἐνδεδεμένην, καὶ λόγον ἐπ' αὐτῇ πιϛευόμενον ὑπὸ τῶν βαρβάρων ἤκουσεν, ὡς τῷ λύσαντι τὸν δεσμὸν εἵμαρται βασιλεῖ γενέϑαι τῆς οἰκουμένης. οἱ μὲν οὖν πολλοί Φασι, τῶν δεσμῶν τυφλὰς ἐχόντων τὰς ἀρχὰς καὶ δι' ἀλλήλων πολλάκις σκολιοῖς ἑλιγμοῖς ὑποφερομένων, τὸν Ἀλέξανδρον ἀμηχανοῦντα λῦσαι, διατεμεῖν τῇ μαχαίρᾳ τὸ σύναμμα, καὶ πολλὰς ἐξ αὐτοῦ κοπέντος ἀρχὰς Φανῆναι. Ἀριϛόβουλος δὲ καὶ πάνυ λέγει ῥᾳδίαν αὐτῷ τὴν λύσιν γενέϑαι ἐξελόντι τοῦ ῥυμοῦ τὸν ἕϛορα [2] καλούμενον, ὃς συνεῖχε τὸ ζυγόδεσμον, εἶθ' οὕτως ὑφελκύσαντι [3] τὸν ζυγόν. ἐντεῦθεν Παφλαγόνας τε καὶ Καππαδόκας προσαγαγόμενος, καὶ τὴν Μέμνονος [4] ἀκούσας τελευτὴν, ὃς τῶν ἐπὶ θαλάττῃ Δαρείου ϛρατηγῶν ἐπίδοξος ἦν Ἀλεξάνδρῳ πολλὰ πράγματα καὶ μυρίας ἀντιλήψεις καὶ ἀσχολίας παρέξειν, ἐπεῤῥώϑη πρὸς τὴν ἄνω ϛρατείαν μᾶλλον. ἤδη δὲ καὶ Δαρεῖος ἐκ Σούσων [5] κατέβαινεν, ἐπαιρόμενός τε τῷ πλήϑει τῆς δυνάμεως, (ἑξήκοντα γὰρ ἦγε μυριάδας ϛρατοῦ) καί τινος ὀνείρου θαῤῥύνοντος αὐτὸν, ὃν οἱ μάγοι πρὸς χάριν ἐξηγοῦντο μᾶλλον, ἢ κατὰ τὸ εἰκός. ἔδοξε γὰρ πυρὶ νέμεϑαι πολλῷ τὴν Μακεδόνων Φά-



1 Quidam H. Steph. codd. κυλουμένην.

2 V. τὸν Νέϛορα. Seq. ὃς R. dedit de suo pro ὃ, quod vulgarem esse dicit lectionem. Sola autem est in Br. editione vitiose ὁ. Omnes priores edd. exhibent ᾧ.

3 V. ὑφελκύσαντι.

4 Junt. Ald. Crat. Μένονος. Steph. & Frst. Μέμνωνος.

5 Diod. ἐκ Βαβυλῶνος.

φάλαγγα· τὸν δ' Ἀλέξανδρον [1] ἔχοντα στολὴν, ἣν αὐτὸς ἐφόρει πρότερον, ἀσγάνδης [2] ὢν βασιλέως, ὑπηρετεῖν αὐτῷ· παρελθόντα δ' εἰς τὸ τοῦ Βήλου τέμενος, ἀφανῆ γενέσθαι. διὰ τούτων, ὡς ἔοικεν, ὑπεδηλοῦτο παρὰ τοῦ θεοῦ, λαμπρὰ γενέσθαι [3] καὶ περιφανῆ τὰ τῶν Μακεδόνων· Ἀλέξανδρον δὲ τῆς μὲν Ἀσίας κρατήσειν, ὥσπερ ἐκράτησε Δαρεῖος, ἐξ ἀσγάνδου βασιλεὺς γενόμενος, ταχὺ δὲ σὺν δόξῃ τὸν βίον ἀπολείψειν.

XIX. Ἔτι δὲ μᾶλλον ἐθάῤῥησε, καταγνοὺς δειλίαν Ἀλεξάνδρου πολὺν χρόνον ἐν Κιλικίᾳ διατρίψαντος. ἦν δ' ἡ διατριβὴ διὰ νόσον, ἣν οἱ μὲν ἐκ κόπων, οἱ δὲ λουσαμένῳ ἐν τῷ τοῦ Κύδνου ῥεύματι καταπαγέντι [4] προσπεσεῖν λέγουσι. τῶν μὲν οὖν ἄλλων ἰατρῶν οὐδεὶς ἐθάῤῥει βοηθήσειν [5], ἀλλὰ τὸν κίνδυνον οἰόμενοι

1 V. Ἀλέξανδρος.

2 Varie hanc vocem scriptam volunt Eruditi, varie eam interpretantur. Xyl. eam a voce ἀσκάντης, quae *lecticam* aut grabbatum significat, derivandam censet, ut denotet *unum e regiis cubiculariis*. Cruser. aut legi vult *ascandes*, i. e. nuncius, aut *ascantes*, i. e. cubicu arius. H. Steph. reponi vult ἀστάνδης, quae vox, Hesychio teste, idem valet ac ἡμεροδρόμος. Suidas: Ἀστάνδαι, ait, οἱ ἐκ διαδοχῆς γραμματοφόροι. οἱ δὲ αὐτοὶ καὶ Ἄγγαροι. Τὰ δὲ ὀνόματα Περσικά. Conferantur iidem, & praesertim ea legantur, quae in nota ad Hesychium copiosius varias Eruditorum sententias exponunt. Br. item mavult Ἀστάνδης. In Anon. cod. idem legitur, uti mox ἀστάνδου. Schirach vertit: *als königlicher Courier*. Guarin. *regi serviens*.

3 H. Steph. scribi vult γενήσεσθαι.

4 R. dubitat, utrum ad Alexandrum, an ad Cydnum referat. Si ad Cydnum, denotari monet *congelato*, *gelu concreto*; sin ad Alexandrum — *prae frigore rigidato*, rigore artus immobiles reddente & sensu privante, *erstarret*.

5 H. Steph. ut futuro infinitivi sit locus, ita interpretatur: *cum caeterorum medicorum nemo remedium se allaturum esse confideret*. Si ἐθάῤῥει pro *auderet* accipiamus, βοηθήσειν mutandum videri cum βοηθεῖν monet.

μενοι πάσης ἰσχυρότερον εἶναι βοηθείας, ἐφοβῦντο τὴν ἐκ τῦ σφαλῆναι διαβολὴν πρὸς τὰς Μακεδόνας· Φίλιππος δ' ὁ Ἀκαρνὰν μοχθηρὰ μὲν ἑώρα τὰ περὶ αὐτὸν ὄντα, τῇ δὲ φιλίᾳ πιςεύων, καὶ δεινὸν ἡγάμενος, εἰ κινδυνεύοντι μὴ συγκινδυνεύσει, μέχρι τῆς ἐσχάτης πείρας βοηθῶν καὶ παραβαλλόμενος, ἐπεχείρησε φαρμακείᾳ· καὶ συνέπεισεν αὐτὸν ὑπομεῖναι καὶ πιεῖν, σπεύδοντα ῥωσθῆναι πρὸς τὸν πόλεμον. ἐν τάτῳ δὲ Παρμενίων ἔπεμψεν ἐπιςολὴν ἀπὸ ςρατοπέδε, διακελευόμενος αὐτῷ φυλάξαθαι τὸν Φίλιππον, ὡς ὑπὸ Δαρείε πεπεισμένον ἐπὶ δωρεαῖς μεγάλαις καὶ γάμῳ θυγατρὸς ἀνελεῖν Ἀλέξανδρον. ὁ δὲ, τὴν ἐπιςολὴν ἀναγνὰς, καὶ μηδενὶ δείξας τῶν φίλων, ὑπὸ τὸ προσκεφάλαιον ὑπέθηκεν. ὡς δὲ, τῦ καιρῦ παρόντος, εἰσῆλθε μετὰ τῶν ἑταίρων ὁ Φίλιππος τὸ φάρμακον ἐν κύλικι κομίζων, ἐκείνῳ μὲν ἐπέδωκε τὴν ἐπιςολὴν, αὐτὸς δὲ τὸ φάρμακον ἐδέξατο προθύμως καὶ ἀνυπόπτως· ὥςε θαυμαςὴν καὶ θεατρικὴν τὴν ὄψιν εἶναι, τῦ μὲν ἀναγινώσκοντος, τῦ δὲ πίνοντος· εἶτα ἅμα πρὸς ἀλλήλας ἀποβλεπόντων ἐχ ὁμοίως, ἀλλὰ τῦ μὲν Ἀλεξάνδρε φαιδρῷ τῷ προσώπῳ καὶ διακεχυμένῳ τὴν πρὸς τὸν Φίλιππον εὐμένειαν καὶ πίςιν ἀποφαίνοντος· ἐκείνε δὲ πρὸς τὴν διαβολὴν ἐξιςαμένε, καὶ ποτὲ μὲν θεοκλυτῦντος καὶ πρὸς τὸν ἐρανὸν ἀνατείνοντος τὰς χεῖρας, ποτὲ δὲ τῇ κλίνῃ περιπίπτοντος, καὶ παρακαλῦντος τὸν Ἀλέξανδρον εὐθυμεῖν καὶ προσέχειν αὐτῷ. τὸ γὰρ φάρμακον ἐν ἀρχῇ κρατῆσαν τῦ σώματος, οἷον ἀπέωσε καὶ κατέδυσεν εἰς βάθος τὴν δύναμιν, ὥςε καὶ φωνὴν ἐπιλείπειν καὶ τὰ περὶ τὴν αἴθησιν ἀσαφῆ καὶ μικρὰ κομιδῆ γενέθαι, λειποθυμίας ἐπιπεσάσης. ὁ μὴν ἀλλὰ ταχέως ἀναληφθεὶς ὑπὸ τῦ Φιλίππε, καὶ ῥώσας αὐτὸν ἐπέδειξε τοῖς Μακεδόσιν. ὁ γὰρ ἐπαύοντο, πρὶν ἰδεῖν τὸν Ἀλέξανδρον, ἀθυμῦντες.

XX. Ἦν δέ τις ἐν τῷ Δαρείȣ ςρατῷ πεφευγὼς ἐκ Μακεδονίας, ἀνὴρ Μακεδὼν, Αμύντας, ȣ̓κ ἄπειρος τῆς Ἀλεξάνδρȣ φύσεως. ȣ̔͂τος ὡρμημένον ἰδὼν Δαρεῖον εἴσω τῶν ςενῶν βαδίζειν ἐπ᾽ Ἀλέξανδρον, ἐδεῖτο κατὰ χώραν ὑπομένειν, ἐν πλάτος ἔχȣσι πεδίοις καὶ ἀναπεπταμένοις πρὸς ἐλάττονας πλήθει τοσȣ́τῳ διαμαχȣ́μενον. ἀποκριναμένȣ δὲ Δαρείȣ δεδιέναι, μὴ φθάσωσιν αὐτὸν ἀποδράντες οἱ πολέμιοι, καὶ διαφυγὼν Ἀλέξανδρος· Ἀλλὰ τȣ́τȣ γ᾽, εἶπεν, ὦ βασιλεῦ, χάριν, θάῤῥει· βαδιεῖται γὰρ ἐκεῖνος ἐπί σε, καὶ σχεδὸν ἤδη βαδίζει. Ταῦτα λέγων Ἀμύντας ȣ̓κ ἔπειθεν, ἀλλ᾽ ἀνας὾ὰς ἐπορεύετο Δαρεῖος εἰς Κιλικίαν, ἅμα δ᾽ Ἀλέξανδρος εἰς Συρίαν ἐπ᾽ ἐκεῖνον. ἐν δὲ τῇ νυκτὶ διαμαρτόντες ἀλλήλων, αὖθις ἀνέςρεφον, Ἀλέξανδρος μὲν ἡδόμενός τε τῇ συντυχίᾳ, καὶ σπεύδων ἀπαντῆσαι περὶ τὰ ςενὰ, Δαρεῖος δὲ, τὴν προτέραν ἀναλαβεῖν ςρατοπεδείαν, καὶ τῶν ςενῶν ἐξελίξαι τὴν δύναμιν. ἤδη γὰρ ἐγνώκει παρὰ τὸ συμφέρον ἐμβεβληκὼς ἑαυτὸν εἰς χωρία θαλάττῃ καὶ ὄρεσι καὶ ποταμῷ διὰ μέσȣ ῥέοντι τῷ Πινάρῳ [1] δύσιππα, καὶ διεσπασμένα πολλαχȣ͂, καὶ πρὸς τῆς ὀλιγότητος τῶν πολεμίων ἔχοντα [τὴν [2]] θέσιν. Ἀλεξάνδρῳ δὲ τὸν μὲν τόπον ἡ τύχη παρέσχεν· ἐςρατήγησε δὲ τῶν ἀπὸ τῆς τύχης ὑπαρχόντων πρὸς τὸ νικῆσαι βέλτιον. ὅς γε τοσȣ́τῳ πλήθει τῶν βαρβάρων λειπόμενος, ἐκείνοις μὲν ȣ̓ παρέσχε κύκλωσιν, αὐτὸς δὲ τῷ δεξιῷ τὸ εὐώνυμον ὑπερβαλὼν, καὶ γενόμενος κατὰ κέρας, φυγὴν ἐποίησε τῶν καθ᾽ αὑτὸν βαρβάρων, ἐν πρώτοις ἀγωνιζόμενος· ὥςε τρωθῆναι ξίφει τὸν μηρὸν, ὡς μὲν Χάρης φησὶν, ὑπὸ Δαρείȣ, (συμπεσεῖν γὰρ αὐτȣ̀ς

τȣ̀ς

1 Sic hoc nomen auctoritate Strabonis XIV, & Cellarii scribi voluerunt Mos. Dus. & Br. deditque R. pro vulg. Πινδάρῳ. Anon. Πινάρῳ, additis his: Idem vocatur alio nomine Pyramus. H. Steph. scribi voluit Πίνδῳ.

2 R. uncis inclusit: deest Junt. Ald. Crat.

τὺς εἰς χεῖρας) Ἀλέξανδρος δὲ περὶ τῆς μάχης ἐπιςέλλων τοῖς περὶ τὸν Ἀντίπατρον, ὐκ εἴρηκεν, ὅςις ἦν ὁ τρώσας, ὅτι δὲ τρωθείη τὸν μηρὸν ἐγχειριδίῳ, δυσχερὲς δ' ὐδὲν ἀπὸ τῦ τραύματος συμβαίη, γέγραφε. νικήσας δὲ λαμπρῶς, καὶ καταβαλὼν ὑπὲρ ἕνδεκα [1] μυριάδας τῶν πολεμίων, Δαρεῖον μὲν ὐχ εἷλε, τέτταρας ςαδίυς, ἢ πέντε, προλαβόντα· τῇ Φυγῇ, τὸ δ' ἅρμα καὶ τὸ τόξον αὐτῦ λαβὼν ἐπανῆλθε· καὶ κατέλαβε τὺς Μακεδόνας τὸν μὲν ἄλλον πλῦτον ἐκ τῦ βαρβαρικῦ ςρατοπέδυ Φέροντας καὶ ἄγοντας ὑπερβάλλοντα πλήθει, καίπερ εὐζώνων πρὸς τὴν μάχην παραγενομένων, καὶ τὰ πλεῖςα τῆς ἀποσκευῆς ἐν Δαμασκῷ καταλιπόντων, τὴν δὲ Δαρείυ σκηνὴν ἐξῃρηκότας ἐκείνῳ, θεραπείας τε λαμπρᾶς καὶ παρασκευῆς καὶ χρημάτων πολλῶν γέμυσαν. εὐθὺς ὖν ἀποδυσάμενος τὰ ὅπλα, πρὸς τὸ λυτρὸν ἐβάδιζεν, εἰπών. Ἴωμεν ἀπολυσόμενοι τὸν ἀπὸ τῆς μάχης ἱδρῶτα τῷ Δαρείυ λυτρῷ. καί τις τῶν ἑταίρων· Μὰ τὸν Δί', εἶπεν, ἀλλὰ τῷ Ἀλεξάνδρυ· τὰ γὰρ τῶν ἡττωμένων εἶναί τε δεῖ καὶ προσαγορεύεσθαι τῦ κρατῦντος. ὡς δ' εἶδε μὲν ὄλκια [2] καὶ κρωσσὺς καὶ πυέλυς καὶ ἀλαβάςρυς, πάντα χρυσῦ ἠσκημένα περιττῶς, ὠδώδει δὲ θεσπέσιον, οἷον ὑπ' [3] ἀρωμάτων καὶ μύρων, ὁ οἶκος· ἐκ δὲ τύτυ παρῆλθεν εἰς σκηνὴν ὕψει τε καὶ μεγέθει, καὶ τῷ [4] περὶ τὴν ςρωμ-

S 4

1 Diodor. habet *tredecim.*

2 Sic duobus vocabulis dari voluit Mof. Duf. deditque R. pro uno, quod vulgo legitur μενόλκια. V. in ind. Frft. εἶδε μὲν ὄλκαϊα καὶ κρωσσὺς (in Br. καὶ κρωσσὺς) addita alia lectione absque cod. nota: εἶδε μὲν ὄλμια.

3 V. ἀπὸ, quod probat Mof. Duf.

4 Sic R. Mof. Duf. probante, dedit pro vulg. τῶν. Extat ea lectio in indic. Var. Frft. nulla codicis nota; in Br. ind. tribuitur Anonymo. Idem R. paulo post dedit αὐτὸ pro αὐτῦ, quod vulgo legitur — *circa dapes ipsas* — & ἀξίαν pro vulg. ἄξια, ut referatur ad σκηνήν. Pro ἑταίρυς Junt. ἑτέρυς.

στρωμνὴν καὶ τραπέζας καὶ τὸ δεῖπνον αὐτὸ κόσμῳ θαύμαστος ἀξίαν, διαβλέψας πρὸς τοὺς ἑταίρους· Τοῦτ' ἦν, ὡς ἔοικεν, ἔφη, τὸ βασιλεύειν [1].

XXI. Τρεπομένῳ δὲ πρὸς τὸ δεῖπνον αὐτῷ φράζει τις ἐν τοῖς αἰχμαλώτοις ἀγομένας μητέρα καὶ γυναῖκα Δαρείου, καὶ θυγατέρας δύο παρθένους, ἰδούσας τὸ ἅρμα καὶ τὰ τόξα κόπτεσθαι καὶ θρηνεῖν, ὡς ἀπολωλότος ἐκείνου. συχνὸν οὖν ἐπισχὼν χρόνον Ἀλέξανδρος, καὶ ταῖς ἐκείνων τύχαις μᾶλλον, ἢ ταῖς ἑαυτοῦ, ἐμπαθὴς [2] γενόμενος, πέμπει Λεοννάτον, ἀπαγγεῖλαι κελεύσας, ὡς οὔτε Δαρεῖος τέθνηκεν, οὔτ' Ἀλέξανδρον δεδιέναι χρή· Δαρείῳ γὰρ ὑπὲρ ἡγεμονίας πολεμεῖν, ἐκεῖνα δὲ πάντα ὑπάρξειν, ὧν καὶ Δαρείου βασιλεύοντος ἠξιοῦντο. Τοῦ δὲ λόγου ταῖς γυναιξὶν ἡμέρου καὶ χρηστοῦ φανέντος, ἔτι μᾶλλον [3] γενομέναις αἰχμαλώτοις τὰ ἀπὸ τῶν ἔργων ἀπήντα φιλάνθρωπα. θάψαι γὰρ, ὅσους ἐβούλοντο Περσῶν, ἔδωκεν, ἐσθῆτι καὶ κόσμῳ χρησαμέναις ἐκ τῶν λαφύρων· θεραπείας τε καὶ τιμῆς, ἣν εἶχον, οὐδ' ὁτιοῦν ἀφεῖλε, συντάξεις δὲ [4] μείζονας ἐκαρποῦντο τῶν προτέρων. ἡ δὲ καλλίστη καὶ βασιλικωτάτη χάρις ἦν παρ' αὐτοῦ, γυναιξὶ γενναίαις γενομέναις αἰχμαλώτοις καὶ σώφροσι, μήτ' ἀκοῦσαί τι, μήτε ὑπονοῆσαι, μήτε προσδοκῆσαι τῶν αἰσχρῶν, ἀλλ', ὥσπερ οὐκ ἐν στρατοπέδῳ πολεμίων, ἀλλ' ἐν ἱεροῖς καὶ ἁγίοις φυλαττομένας παρθενῶσιν, ἀπόῤῥητον ἔχειν καὶ ἀόρατον ἑτέροις δίαιταν. καίτοι λέγεταί γε, τὴν Δαρείου γυναῖκα πο-

1 Verba haec, monente Mose Dufoul, ita funt interpretanda: *Hoccine ergo erat, quod regnare homines putant?*

2 R. mavult συμπαθής.

3 R. poft h. v. excidiffe videtur προσφιλῆ, aut fimile quid. Mihi nondum locus hac medela fanus effe videtur. Malim γενομ. αἰχμ. ad priora ταῖς γυν. transponi, & reliqua fic ftrui: ἔτι μᾶλλον ἐφάνη τὰ ἀπὸ τ. ἔρ. ἀπαντῶντα αὐτῷ (dicto refpondentia) φιλάνθρωπα.

4 R. fufp. δὲ καί.

πολὺ πασῶν τῶν βασιλίδων εὐπρεπεστάτην γενέσθαι, καθάπερ καὶ αὐτὸς Δαρεῖος ἀνδρῶν κάλλιστος καὶ μέγιστος· τὰς δὲ παῖδας ἐοικέναι τοῖς γονεῦσιν. ἀλλ' Ἀλέξανδρος, ὡς ἔοικε, τοῦ νικᾷν τοὺς πολεμίους, τὸ κρατεῖν ἑαυτοῦ βασιλικώτερον ἡγούμενος, οὔτε τούτων ἔθιγεν, οὔτ' ἄλλην ἔγνω γυναῖκα πρὸ γάμου, πλὴν Βαρσίνης [1]. αὕτη δὲ, μετὰ τὴν Μέμνονος τελευτὴν χήρα γενομένη, περὶ Δαμασκὸν ἐλήφθη. πεπαιδευμένη δὲ παιδείαν Ἑλληνικὴν, καὶ τὸν τρόπον ἐπιεικὴς οὖσα, καὶ πατρὸς Ἀρταβάζου, γεγονότος ἐκ βασιλέως θυγατρὸς, ἐγνώσθη, Παρμενίωνος προτρεψαμένου τὸν Ἀλέξανδρον, ὥς φησιν Ἀριστόβουλος, καλῆς καὶ γενναίας καὶ τὸ κάλλος [2] ἅψασθαι γυναικός. τὰς δ' ἄλλας αἰχμαλώτους ὁρῶν ὁ Ἀλέξανδρος κάλλει καὶ μεγέθει διαφερούσας ἔλεγε παίζων, ὡς εἰσὶν ἀλγηδόνες ὀμμάτων αἱ Περσίδες. ἀντεπιδεικνύμενος δὲ πρὸς τὴν ἰδέαν τὴν ἐκείνων τὸ τῆς ἰδίας ἐγκρατείας καὶ σωφροσύνης κάλλος, ὥσπερ ἀψύχους εἰκόνας ἀγαλμάτων παρέπεμπεν [3].

XXII. Ἐπεὶ δὲ Φιλόξενος [4], ὁ τῶν ἐπὶ θαλάτ-



1 Sic fcribi voluit Br. deditque R. Vulgo Βαρσήνης.

2 Corruptum effe hunc locum, nemo non videt. Steph. tolli mavult copulam καὶ, aut faltim mutari in κατὰ. Crufer. interpretatur, ac fi fcriptum effet καὶ παρὰ τὸ κάλλος — *elegantem mulierem & praeter formam generofam.* Mofes Duf. aliquot verba excidiffe ftatuit. R. fi bene habeat vulgata, hanc fupponit fententiam: *ipfum adeo numen Decoris haud effe recufaturum*, vel *detrectaturum*, *matronam formofam & bene natam contingere* — ut fit τὸ κάλλος numen perfona indutum; aut mavult legi, καὶ τὸν καλὸν — *virum, qui ipfe formofus fit, haud dedecere, mulieri confuefcere formofae & nobili loco natae.* Schirach tandem καὶ τ. κάλ. prorfus vult deleri, ceu vocabula librarii negligentia per antecedens καλῆς male textui intrufa. Facile ea defiderari poffe falva fententia, nemo negabit.

3 V. παρέπεμψεν.

4 Aliis hoc munus tribuit Arrianus, & *Nicanori* & *Hegelocho*.

της στρατηγὸς, ἔγραψεν εἶναι παρ' αὐτῷ Θεόδωρόν τινα Ταραντῖνον, ἔχοντα παῖδας ὠνίους [1] δύο, τὴν ὄψιν ὑπερφυεῖς, καὶ πυνθανόμενος, εἰ πρίηται, χαλεπῶς ἐνεγκὼν, ἐβόα πολλάκις πρὸς τοὺς φίλους ἐρωτῶν, τί πώποτε Φιλόξενος αἰσχρὸν αὐτῷ συνεγνωκὼς, τοιαῦτα ὀνείδη προξενῶν κάθηται. τὸν δὲ Φιλόξενον αὐτὸν ἐν ἐπιστολῇ πολλὰ λοιδορήσας, ἐκέλευεν αὐτοῖς φορτίοις τὸν Θεόδωρον εἰς τὸν ὄλεθρον ἀποστέλλειν. ἐπέπληξε δὲ καὶ Ἄγνωνι νεανίσκῳ [2], γράψαντι πρὸς αὐτὸν, ὅτι Κρωβύλον, εὐδοκιμοῦντα ἐν Κορίνθῳ, βούλεται πριάμενος ἀγαγεῖν πρὸς αὐτόν. πυνθανόμενος δὲ, μισθοφόρων τινῶν γύναια διεφθαρκέναι Δάμωνα καὶ Τιμόθεον Μακεδόνας τῶν ὑπὸ Παρμενίωνι στρατευομένων, ἔγραψε Παρμενίωνι, κελεύων, ἐὰν ἐλεγχθῶσιν, ὡς θηρία ἐπὶ καταφθορᾷ τῶν ἀνθρώπων γεγονότα τιμωρησάμενον [3] ἀποκτεῖναι. καὶ περὶ ἑαυτοῦ κατὰ λέξιν ἐν ταύτῃ τῇ ἐπιστολῇ γέγραφεν· Ἐγὼ γὰρ οὐχ ὅτι ἑωρακὼς ἂν εὑρεθείην [4] τὴν Δαρείου γυναῖκα, ἢ βεβουλευμένος ἰδεῖν, ἀλλ' οὔτε τῶν λεγόντων περὶ τῆς εὐμορφίας αὐτῆς προσδεδεγμένος τὸν λόγον. ἔλεγε δὲ, μάλιστα συνιέναι θνητὸς ὢν, ἐκ τοῦ καθεύδειν καὶ συνουσιάζειν· ὡς ἀπὸ μιᾶς ἐγγινόμενον ἀσθενείας τῇ φύσει καὶ τὸ πονοῦν καὶ τὸ ἡδόμενον. ἦν δὲ καὶ γαστρὸς ἐγκρατέστατος, ὡς καὶ τοῦτ' ἄλλοις τε πολλοῖς ἐδήλωσεν, καὶ τοῖς πρὸς Ἄδαν λεχθεῖσιν, ἣν ἐποιήσατο μητέρα, καὶ Καρίας βασίλισσαν ἀπέδειξεν. ὡς γὰρ ἐκείνη φιλοφρονουμένη πολλὰ μὲν ὄψα καθ' ἡμέραν ἀπέστελλεν αὐτῷ καὶ πέμματα, τέλος δὲ τοὺς δοκοῦντας εἶναι δεινοτάτους ὀψοποιοὺς καὶ ἀρτοποι-

1 V. Ἰωνίας.

2 Delendam hanc vocem Br. cenſuit. Moſ. Duſ. ſuſp. νεανικῶς, ut dicatur Alexander *ſtrenue* increpuiſſe; aut νεανίσκον ſcribendum, & poſt Κρωβύλον ponendum.

3 Junt. τιμωρησόμενον.

4 Sic ex Junt. ſe reſtituiſſe monet R. pro vulg. εὑρεθεῖεν. At ſola in Br. extat. V. εἴην.

τοποιὲς, ἔφη τέτων μηδὲν δεῖσθαι· βελτίονας γὰρ ὀψοποιὲς ἔχειν ὑπὸ τε παιδαγωγε Λεωνίδε δεδομένες αὐτῷ, πρὸς μὲν τὸ ἄρισον, νυκτοπορίαν, πρὸς δὲ τὸ δεῖπνον, ὀλιγαρισίαν [1]. Ὁ δ' αὐτὸς ἔτος ἀνὴρ, ἔφη, καὶ τῶν ςρωμάτων ἐπιὼν τὰ ἀγγεῖα καὶ τῶν ἱματίων ἔλυσεν, ἐπισκοπῶν, μή τι μοι τρυφερὸν, ἢ περισσὸν, ἡ μήτηρ συντέθεικεν.

XXIII. Ἦν δὲ καὶ πρὸς οἶνον ἧττον, ἢ ἐδόκει [2], καταφερής. ἔδοξε δὲ, διὰ τὸν χρόνον, ὃν ἐ πίνων μᾶλλον, ἢ λαλῶν, εἷλκεν, ἐφ' ἑκάςης κύλικος ἀεὶ μακρόν τινα λόγον διατιθέμενος, καὶ ταῦτα, πολλῆς σχολῆς ἔσης. ἐπεὶ πρός γε τὰς πράξεις, ἐκ οἶνος ἐκεῖνον, ἐχ ὕπνος, ἐ παιδιά τις, ἐ γάμος, ἐ θέα, καθάπερ ἄλλες ςρατηγὲς, ἐπέσχε. δηλοῖ δὲ ὁ βίος, ὃν βιώσας βραχὺν παντάπασιν, πλείςων καὶ μεγίςων πράξεων ἐνέπλησεν. ἐν δὲ ταῖς σχολαῖς, πρῶτον μὲν ἀναςὰς καὶ θύσας τοῖς θεοῖς, εὐθὺς ἠρίςα καθήμενος, ἔπειτα διημέρευε κυνηγῶν, ἢ συντάττων [3], ἢ δικάζων τι τῶν πολεμικῶν, ἢ ἀναγινώσκων. εἰ δ' ὁδὸν βαδίζοι μὴ λίαν ἐπείγεσαν, ἐμάνθανεν ἅμα πορευόμενος ἢ τοξεύειν, ἢ ἐπιβαίνειν ἅρματος ἐλαυνομένε καὶ ἀποβαίνειν. πολλάκις δὲ παίζων καὶ ἀλώπεκας ἐθήρευε, καὶ ὄρνιθας, ὡς ἐςι λαβεῖν ἐκ τῶν ἐφημερίδων. καταλύσας δὲ καὶ τρεπόμενος πρὸς λετρὸν, ἢ ἄλειμμα, τὲς ἐπὶ τῶν σιτοποιῶν καὶ μαγείρων ἀνέκρινεν, εἰ τὰ πρὸς τὸ δεῖπνον εὐτρεπῶς [4] ἔχεσι· καὶ δειπνεῖν μὲν ὀψὲ καὶ σκότες ἤδη κατακλινόμενος ἤρχετο. θαυμαςὴ δ' ἦν ἡ ἐπιμέλεια

1 V. ὀλιγαρχίαν.

2 V. ἔδειξε.

3 Haec vox, ab interpp. aut neglecta, aut prave reddita, Mose Duſ. & R. docentibus, idem valet ac *militaribus imperiis operam dans, imperans aliquid ad diſciplinam caſtrenſem pertinens, Ordres gebend, oder ſtellend.*

4 Sic cum V. Moſe Duſ. probante, dedit R. pro vulg. εὐπρεπῶς. Mavult tamen εὐπρεπῆ.

λεια καὶ περίβλεψις ἐπὶ [1] τῆς τραπέζης, ὅπως μηδὲν ἀνίσως, μηδ' ὀλιγώρως διανέμοιτο· τὸν δὲ πότον, ὥσπερ εἴρηται, μακρὸν ὑπ' ἀδολεσχίας ἐξέτεινε. καὶ τἄλλα πάντων ἥδιστος ὢν βασιλέων συνεῖναι, καὶ χάριτος οὐδεμιᾶς ἀμοιρῶν, τότε ταῖς μεγαλαυχίαις ἀηδὴς ἐγίνετο, καὶ λίαν στρατιωτικὸς, αὐτός τε πρὸς τὸ κομπῶδες ὑποφερόμενος, καὶ τοῖς κόλαξιν ἑαυτὸν ἀνειμῶς ἱππάσιμον, ὑφ' ὧν οἱ χαριέστατοι [2] τῶν παρόντων ἐπετρίβοντο, μήτε ἁμιλλᾶσθαι τοῖς κόλαξι, μήτε λείπεσθαι βουλόμενοι τῶν αὐτῶν ἐπαίνων. τὸ μὲν γὰρ αἰσχρὸν ἐδόκει, τὸ δὲ κίνδυνον ἔφερε. μετὰ δὲ τὸν πότον λουσάμενος ἐκάθευδε πολλάκις μέχρι μέσης ἡμέρας· ἔστι δ' ὅτε καὶ διημέρευεν [3] ἐν τῷ καθεύδειν. αὐτὸς μὲν οὖν καὶ ὄψων ἐγκρατὴς ἦν, ὥστε καὶ τὰ σπανιώτατα πολλάκις τῶν ἀπὸ θαλάττης αὐτῷ κομιζομένων ἀκροδρύων καὶ ἰχθύων, ἑκάστῳ διαπεμπόμενος τῶν ἑταίρων, πολλάκις ἑαυτῷ μόνῳ μηδὲν καταλιπεῖν. τὸ μέντοι δεῖπνον ἦν ἀεὶ μεγαλοπρεπὲς, καὶ τοῖς εὐτυχήμασι [4] τῆς δαπάνης ἅμα συναυξανομένης, τέλος εἰς μυρίας δραχμὰς προῆλθεν. ἐνταῦθα δ' ἔστη, καὶ τοσοῦτον ὡρίσθη τελεῖν τοῖς ὑποδεχομένοις Ἀλέξανδρον.

XXIV. Μετὰ δὲ τὴν μάχην τὴν ἐν Ἰσσῷ, πέμψας εἰς Δαμασκὸν, ἔλαβε τὰ χρήματα καὶ τὰς ἀποσκευὰς, καὶ τὰ τέκνα καὶ τὰς γυναῖκας τῶν Περσῶν· καὶ πλεῖστα μὲν ὠφελήθησαν οἱ τῶν Θεσσαλῶν ἱππεῖς. τούτους γὰρ, ἄνδρας ἀγαθοὺς διαφερόντως ἐν τῇ μάχῃ γενομένους, ἔπεμψεν ἐπίτηδες ὠφεληθῆναι βουλόμενος. ἐνεπλήσθη δὲ καὶ τὸ λοιπὸν εὐπορίας στρατόπεδον· καὶ γευσά-

1 Omisit hanc praepositionem R. Eam restituere haud dubitavi.

2 V. χαριέστεροι.

3 Sic, Mose Duf. probante, cum V. & Anon. dedit R. pro vulg. διημερεύετ'.

4 V. σχήμασι.

γευσάμενοι τότε πρῶτον οἱ Μακεδόνες χρυσοῦ καὶ ἀργύρου καὶ γυναικῶν καὶ διαίτης βαρβαρικῆς, ὥσπερ κύνες, ἔσπευδον ἀψάμενοι ςίβου διώκειν καὶ ἀνιχνεύειν τὸν Περσῶν πλοῦτον. οὐ μὴν ἀλλ' Ἀλεξάνδρῳ πρῶτον ἐδόκει κρατύνεσθαι τὰ πρὸς θαλάσσῃ. Κύπρον μὲν οὖν εὐθὺς οἱ βασιλεῖς ἧκον ἐγχειρίζοντες αὐτῷ, καὶ Φοινίκην, πλὴν Τύρου. Τύρον δὲ πολιορκῶν ἑπτὰ μῆνας χώμασι καὶ μηχαναῖς καὶ τριήρεσι διακοσίαις ἐκ θαλάττης, ὄναρ εἶδε τὸν Ἡρακλέα δεξιούμενον αὐτὸν ἀπὸ τοῦ τείχους καὶ καλοῦντα. τῶν δὲ Τυρίων πολλοῖς κατὰ τοὺς ὕπνους ἔδοξεν ὁ Ἀπόλλων λέγειν, ὡς ἄπεισι πρὸς Ἀλέξανδρον· οὐ γὰρ ἀρέσκειν αὐτῷ τὰ πρασσόμενα κατὰ τὴν πόλιν. ἀλλ' αὐτοὶ μὲν, ὥσπερ ἄνθρωπον αὐτομολοῦντα πρὸς τοὺς πολεμίους, ἐπ' αὐτοφώρῳ τὸν θεὸν εἰληφότες, σειράς τε τῷ κολοσσῷ περιέβαλλον [1] αὐτοῦ, καὶ καθήλουν πρὸς τὴν βάσιν, Ἀλεξανδριςὴν [2] καλοῦντες. ἑτέραν δ' ὄψιν Ἀλέξανδρος εἶδε κατὰ τοὺς ὕπνους· Σάτυρος αὐτῷ φανεὶς ἐδόκει προσπαίζειν πόῤῥωθεν, εἶτα βουλομένου λαβεῖν, ὑπεξέφυγε· τέλος δὲ, πολλὰ λιπαρήσαντος καὶ περιδραμόντος, ἦλθεν εἰς χεῖρας. οἱ δὲ μάντεις τοὔνομα διαιροῦντες, οὐκ ἀπιθάνως ἔφασαν αὐτῷ· Σὴ [3] γενήσεται Τύρος. καὶ κρήνην δέ τινα δεικνύουσι, πρὸς ἣν κατὰ τοὺς ὕπνους ἰδεῖν ἔδοξε τὸν Σάτυρον. διὰ μέσου δὲ τῆς πολιορκίας, ἐπὶ τοὺς Ἄραβας τοὺς προσοικοῦντας τῷ Ἀντιλιβάνῳ ςρατεύσας, ἐκινδύνευσε διὰ τὸν παιδαγωγὸν Λυσίμαχον· ἐξηκολούθησε γὰρ αὐτῷ, λέγων τοῦ Φοίνικος οὐκ εἶναι χείρων, οὐδὲ πρεσβύτερος. ἐπεὶ δὲ πλησιάσας τοῖς ὀρεινοῖς, καὶ τοὺς ἵππους ἀπολιπὼν [4], πεζὸς ἐβά-

1 Sic in imperf. ex omnibus Bryanea prioribus edd. restituere necesse videbatur ob seq. καθήλουν pro περιέβαλον, quod est in Br. & R.

2 Legi quoque Ἀλεξανδρίτην, testatur H. Steph. Ita V.

3 Mos. Duf. cum Anon. dari vult Σά.

4 Junt. sola καταλαβών.

ἐβάδιζεν, οἱ μὲν ἄλλοι πολὺ προῆλθον, αὐτὸς δὲ τὸν Λυσίμαχον, ἑσπέρας ἤδη καταλαμβανούσης, καὶ τῶν πολεμίων ἐγγὺς ὄντων, ἀπαγορεύοντα καὶ βαρυνόμενον ἐκ ὑπομένων ἀπολιπεῖν, ἀλλ' ἀνακαλούμενος καὶ παρακομίζων, ἔλαθε τοῦ στρατεύματος ἀποσπασθεὶς μετ' ὀλίγων, καὶ σκότους ἅμα καὶ ῥίγους σφοδροῦ νυκτερεύων ἐν χωρίοις χαλεποῖς. εἶδεν οὖν πόῤῥω πυρὰ πολλὰ καιόμενα σποράδην τῶν πολεμίων. θαῤῥῶν δὲ τοῦ σώματος τῇ κουφότητι, καὶ τῷ πονεῖν αὐτὸς ἀεὶ, παραμυθούμενος τὴν ἀπορίαν τῶν Μακεδόνων, προσέδραμε τοῖς ἔγγιστα πῦρ καίουσι· καὶ περικαθημένους τῇ πυρᾷ δύο βαρβάρους πατάξας τῷ ἐγχειριδίῳ, καὶ δαλὸν ἁρπάσας, ἧκε πρὸς τοὺς ἑαυτοῦ κομίζων. ἐγκαύσαντες [1] δὲ πῦρ πολὺ, τοὺς μὲν εὐθὺς ἐφόβησαν, ὥστε φυγεῖν, τοὺς δ' ἐπιόντας ἐτρέψαντο, καὶ κατηυλίσθησαν ἀκινδύνως. ταῦτα μὲν οὖν Χάρης ἱστόρηκεν.

XXV. Ἡ δὲ πολιορκία τοιοῦτον ἔσχε πέρας· Ἀλεξάνδρου τὴν μὲν πολλὴν τῆς δυνάμεως ἀναπαύοντος ἀπὸ πολλῶν ἀγώνων τῶν ἔμπροσθεν, ὀλίγους δέ τινας, ὡς μὴ σχολάζοιεν [2] οἱ πολέμιοι, τοῖς τείχεσι προσάγοντος, Ἀρίστανδρος ὁ μάντις ἐσφαγιάζετο· καὶ τὰ σημεῖα κατιδὼν, θρασύτερον διωρίσατο πρὸς τοὺς παρόντας, ἐν ἐκείνῳ τῷ μηνὶ πάντως ἁλώσεσθαι τὴν πόλιν. γενομένου δὲ χλευασμοῦ καὶ γέλωτος, (ἦν γὰρ ἡ τελευταία τοῦ μηνὸς ἡμέρα) διηπορημένον αὐτὸν ἰδὼν ὁ βασιλεὺς, καὶ συμφιλοτιμούμενος [3] ἀεὶ τοῖς μαντεύμασιν, ἐκέλευε μηκέτι τριακάδα τὴν ἡμέραν ἐκείνην, ἀλλὰ τρίτην φθίνοντος ἀριθμεῖν· καὶ τῇ σάλπιγγι σημήνας, ἀπεπειρᾶτο τῶν τειχῶν ἐῤῥωμενέστερον, ἤπερ ἐξ ἀρχῆς διενοήθη. γενο-

1 Br. ſcribendum videtur ἐναύσαντες.

2 V. σχολάζοι, F. σχολάζοι.

3 Sic cum Junt. Ald. & Crat. dandum cenſuit Moſ. Duſ. deditque R. pro vulg. συμφιλοτιμούμενον.

γενομένης δὲ λαμπρᾶς ἐπιβολῆς, καὶ μηδὲ τῶν ἐπὶ [1] ςρατοπέδȣ καρτερȣ́ντων, ἀλλὰ συντρεχόντων καὶ προσβοηθȣ́ντων, ἀπεῖπον οἱ Τύριοι· καὶ τὴν πόλιν εἷλε κατ' ἐκείνην τὴν ἡμέραν. μετὰ δὲ ταῦτα πολιορκȣ̃ντι Γάζαν αὐτῷ, τῆς Συρίας μεγίςην πόλιν, ἐμπίπτει βῶλος εἰς τὸν ὦμον, ἀφεθεῖσα [2] ἄνωθεν ὑπ' ὄρνιθος. ὁ δ' ὄρνις ὑφ' ἓν τῶν μηχανημάτων καθίσας, ἔλαθεν ἐνσχεθεὶς τοῖς νευρίνοις κεκρυφάλοις, οἷς πρὸς τὰς ἐπιςροφὰς τῶν χοινίων ἐχρῶντο. καὶ τὸ σημεῖον ἀπέβη κατὰ τὴν Ἀριςάνδρȣ πρόῤῥησιν· ἐτρώθη μὲν γὰρ Ἀλέξανδρος εἰς τὸν ὦμον, ἔλαβε δὲ τὴν πόλιν. ἀποςέλλων δὲ πολλὰ τῶν λαφύρων Ὀλυμπιάδι καὶ Κλεοπάτρᾳ [3] καὶ τοῖς φίλοις, κατέπεμψε καὶ Λεωνίδῃ τῷ παιδαγωγῷ [4] τάλαντα λιβανωτȣ̃ πεντακόσια, καὶ σμύρνης ἑκατὸν, ἀναμνησθεὶς παιδικῆς ἐλπίδος. ὁ γὰρ Λεωνίδης, ὡς ἔοικεν, ἐν θυσίᾳ ποτὲ πρὸς τὸν Ἀλέξανδρον, ἐπιδραξάμενον ἀμφοτέραις ταῖς χερσὶ καὶ καθαγίσαντα τȣ̃ θυμιάματος· Ὅταν, ἔφη, τῆς ἀρωματοφόρȣ κρατήσῃς, Ἀλέξανδρε, πλȣσίως ȣ̎τως ἐπιθυμιάσεις· νῦν δὲ φειδομένως χρῶ τοῖς παρȣ̃σι. Τότ' ȣ̃ν Ἀλέξανδρος ἔγραψε πρὸς αὐτόν· Ἀπεςάλκαμέν σοι λιβανωτὸν ἄφθονον καὶ σμύρναν, ὅπως παύσῃ πρὸς τȣ̀ς θεȣ̀ς μικρολογȣ́μενος.

XXVI. Κιβωτίȣ δέ τινος αὐτῷ προσενεχθέντος, ȣ̃ πολυτελέςερον ȣ̓δὲν ἐφάνη τοῖς τὰ Δαρείȣ χρήματα καὶ τὰς ἀποσκευὰς παραλαμβάνȣσιν, ἠρώτα τȣ̀ς φίλȣς, ὅ τι δοκοίη μάλιςα τῶν ἀξίων σπȣδῆς εἰς αὐτὸ καταθέσθαι. πολλὰ δὲ πολλῶν λεγόντων, αὐτὸς ἔφη τὴν Ἰλιάδα

1 Sic R. de suo dedit pro vulg. τῶν ἀπό.

2 Sic R. dedit in foem. pro vulg. ἀφεθεὶς, cum βῶλος sit foem. gen.

3 R. Plutarchus sibi ipse contradicere videtur, cum supra dixerit, Alexandrum gravissime tulisse, cum ex itinere redux factus intelligeret, ipso absente a matre Olympiade Cleopatram esse turpissimis modis enecatam.

4 V. Κλεωνίδῃ τῷ δημαγωγῷ.

δα Φρερήσειν ἐνταῦθα καταθέμενος. καὶ ταῦτα μὲν ἐκ ὀλίγοι τῶν ἀξιοπίςων μεμαρτυρήκασιν. εἰ δ', ὅπερ Ἀλεξανδρεῖς λέγεσιν, Ἡρακλείδῃ πιςεύοντες, ἀληθές ἐςιν, ἐκεν ἐκ ἀργὸς, ἐδ' ἀσύμβελος [1] αὐτῷ συςρατεύειν ἔοικεν Ὅμηρος. λέγεσι γὰρ, ὅτι, τῆς Αἰγύπτε κρατήσας, ἐβέλετο [2] πόλιν μεγάλην καὶ πολυάνθρωπον Ἑλληνίδα συνοικίσας, ἐπώνυμον ἑαυτε καταλιπεῖν· καί τινα τόπον γνώμῃ τῶν ἀρχιτεκτόνων ὅσον ἐδέπω διεμετρεῖτο καὶ περιέβαλλεν [3]. εἶτα νύκτωρ κοιμώμενος, ὄψιν εἶδε θαυμαςήν· ἀνὴρ πολιὸς εὖ μάλα τὴν κόμην, καὶ γεραρὸς τὸ εἶδος, ἔδοξεν αὐτῷ παραςὰς λέγειν τὰ ἔπη τάδε·

Νῆσος [4] ἔπειτά τις ἐςὶ πολυκλύςῳ ἐνὶ πόντῳ,
Αἰγύπτε προπάροιθε· Φάρον δὲ ἑ κικλήσκεσιν.

εὐθὺς ἐν ἐξαναςὰς ἐβάδιζεν ἐπὶ τὴν Φάρον, ἣ τότε μὲν ἔτι νῆσος ἦν, τε Κανωβικε μικρὸν ἀνωτέρω ςόματος, νῦν δὲ διὰ χώματος [5] ἀνείληπται πρὸς τὴν ἤπειρον. ὡς ἐν εἶδε τόπον εὐφυΐᾳ διαφέροντα, (ταινία [6] γάρ ἐςιν ἰσθμῷ πλάτος ἔχοντι σύμμετρον ἐπιεικῶς διείργεσα λίμνην τε πολλὴν καὶ θάλασσαν ἐν λιμένι μεγάλῳ τελευτῶσαν) εἰπὼν, ὡς Ὅμηρος ἦν ἄρα τά τ' ἄλλα θαυμαςὸς, καὶ σοφώτατος ἀρχιτέκτων, ἐκέλευσε διαγρά-

1 Anon. ἀσύμβολος, quod Mos. Dus. genuinam censuit lectionem. R. cur vulgata mutetur, nullam causam se videre fatetur. Idem quoque susp. ἀληθές ἐςιν, ἐ κενὸν, *si, quod Alexandrini ajunt, Heraclidis auctoritate ducti, verum est, non vanum*, ἐκ ἀργὸς —

2 In quibusdam legi εὐβέλετο, testis est H. Steph. Idem ex ἐβελεύετο depravatum hoc censet.

3 E Junt. se restituisse hoc verbi tempus monet R. pro περιέβαλεν, quod vulgo legatur. Sic sola habuit Br.

4 Hom. Odyss. IV. 354. sq.

5 V. πλαίματος.

6 Quod taenia hic dicatur, id explicare aliorum verba, qui pro his νησίον περίμηκες habent, Xyl. monet.

γράψαι τὸ σχῆμα τῆς πόλεως τῷ τόπῳ συναρμόττοντας [1]. καὶ γῆ μὲν ἐ παρῆν λευκή· τῶν δ' ἀλφίτων λαμβάνοντες ἐν πεδίῳ μελαγγείῳ κυκλοτερῆ κόλπον ἦγον, ἐ τὴν ἐντὸς περιφέρειαν εὐθεῖαι βάσεις, ὥσπερ ἀπὸ κρασπέδων εἰς σχῆμα χλαμύδος ὑπελάμβανον, ἐξ ἴσε συνάγεσαι τὸ μέγεθος. ἡσθέντος δὲ τῇ διαθέσει τε βασιλέως, αἰφνίδιον ὄρνιθες ἀπὸ τε ποταμε καὶ τῆς λίμνης, πλήθει τ' ἄπειροι, καὶ κατὰ γένος παντοδαποὶ καὶ μεγάλοι [2], ἐπὶ τὸν τόπον καταίροντες, νέφεσιν ἐοικότες, ἐδὲ μικρὸν ὑπελίποντο [3] τῶν ἀλφίτων. ὥστε καὶ τὸν Ἀλέξανδρον διαταραχθῆναι πρὸς τὸν οἰωνόν. ἐ μὴν ἀλλὰ καὶ τῶν μάντεων θαῤῥεῖν παραινέντων, (πολυαρκεστάτην γὰρ οἰκίζεσθαι πόλιν ὑπ' αὐτε, καὶ παντοδαπῶν ἀνθρώπων ἐσομένην τροφὸν) ἔργε κελεύσας ἔχεσθαι τὲς ἐπιμελητὰς [4], αὐτὸς ὥρμησεν εἰς Ἄμμωνος, ὁδὸν μακρὰν, καὶ πολλὰ μὲν ἔχεσαν ἐργώδη καὶ ταλαίπωρα, κινδύνες δὲ δύο, τὸν μὲν ἀνυδρίας, δι' ἣν ἔρημός ἐστιν ἐκ ὀλίγων ἡμερῶν· τὸν δὲ, εἰ λάβρος ἐν ἄμμῳ βαθείᾳ καὶ ἀχανεῖ πορευομένοις ἐπιπέσοι νότος. ὅς πε [5] καὶ πάλαι λέγεται περὶ τὸν Καμβύσε στρατὸν, ἀναστήσας θῖνα μεγάλην, καὶ κυματώσας τὸ πεδίον, μυριάδας ἀνθρώπων πέντε καταχῶσαι καὶ διαφθεῖραι. ταῦτα πάντα σχεδὸν πάντες ἐλογίζοντο, χαλεπὸν δ' ἦν Ἀλέξανδρον ἀποστρέψαι πρὸς ὁτιὲν ὡρμημένον. ἥ τε γὰρ τύχη ταῖς ἐπιβολαῖς ὑπείκεσα τὴν γνώμην ἰσχυρὰν ἐποίει, καὶ τὸ θυμοειδὲς ἄχρι τῶν πραγμάτων ἐπεξέφερε τὴν φιλονει-

1 Cum Anon. ita dedit R. probante Mose Duf. pro vulg. συναρμόττοντα. Legi quoque posse συναρμοττόντως, monet. Br. maluit συναρμόττον.

2 R. susp. καὶ μικροὶ καὶ μεγάλοι.

3 Br. susp. ὑπέλιπον.

4 Junt. Ald. Crat. τοῖς ἐπιμεληταῖς — non ἐμμεληταῖς, uti est in nota ed. R.

5 Sic R. de suo dedit pro vulg. ὥς πε.

λονεικίαν ἀήττητον [1], ὐ μόνον πολεμίυς, ἀλλὰ καὶ τόπυς καὶ καιρὺς καταβιαζομένην [2].

XXVII. Ἐν γῦν τῇ τότε πορείᾳ τὰ συντυχόντα ταῖς ἀπορίαις παρὰ τῦ θεῦ βοηθήματα τῶν ὑςέρων χρησμῶν ἐπιςεύθη μᾶλλον [3]· τρόπον δέ τινα καὶ τοῖς χρησμοῖς ἡ πίςις ἐκ τύτων ὑπῆρξεν. πρῶτον μὲν γὰρ ἐκ Διὸς ὕδωρ πολὺ καὶ διαρκεῖς ὑετοὶ γενόμενοι τόν τε τῆς δίψης φόβον ἔλυσαν, καὶ τὴν ξηρότητα κατασβέσαντες τῆς ἄμμυ [4], νοτερᾶς γενομένης, καὶ πρὸς αὑτὴν [5] ξυμπεσύσης, εὔπνυν τὸν ἀέρα καὶ καθαρώτερον παρέχον. ἔπειτα τῶν ὅρων, οἵπερ ἦσαν τοῖς ὁδηγοῖς, συγχυθέντων, καὶ πλάνης ὔσης καὶ διασπασμῦ τῶν βαδιζόντων διὰ τὴν ἄγνοιαν, κόρακες ἐκφανέντες ὑπελάμβανον τὴν ἡγεμονίαν τῆς πορείας, ἑπομένων μὲν, ἔμπροσθεν πετόμενοι καὶ σπεύδοντες, ὑςερῦντας δὲ καὶ βραδύνοντας ἀναμένοντες. ὃ δ' ἦν θαυμασιώτατον, ὡς Καλλισθένης φησὶ, ταῖς φωναῖς ἀνακαλῦμενοι τὺς πλανωμένυς νύκτωρ, καὶ κλάζοντες, εἰς ἴχνος καθίςασαν τῆς πορείας. ἐπεὶ δὲ διεξελθὼν τὴν ἔρημον ἧκεν εἰς τὸν τόπον [6], ὁ μὲν προφήτης αὐτὸν ὁ Ἄμμωνος, ἀπὸ τῦ θεῦ χαίρειν, ὡς ἀπὸ πατρὸς, προσεῖπεν· ὁ δ' ἐπήρετο, μή τις αὐτὸν εἴη διαπεφευγὼς τῶν τῦ πατρὸς φονέων. εὐφημεῖν δὲ τῦ προφήτυ κελεύσαντος, ὐ γὰρ εἶναι πατέρα θνητὸν αὐτῷ, μεταβαλὼν ἐπυνθάνετο, τὺς Φιλίπ-

1 R. susp. ἄχρι τῶν ἀηττήτων πραγμάτων ὑπεξίφερε τὴν φιλονεικίαν.

2 V. καταβιαζομένων.

3 Loci hujus sensus, Mos. Dus. docente, hic est: Quae in hoc itinere Alexandro evenerunt, a diis opem ferentibus esse missa, facilius creditum vulgo est, quam ab iisdem profecta esse, quae insecuta sunt, oracula.

4 V. Ἄμμεως.

5 Restitutum hoc voluit ex prioribus edd. Mos. Dus. deditque R. pro αὐτὴν, quod ex Frft. in Br. transiit.

6 Sic R. cum Junt. Ald. Crat. dedit, pro τὴν πόλιν, quod ex Steph. manavit. Anon. τὸν νεών.

Φιλίππȣ φονεῖς εἰ πάντας εἴη τετιμωρημένος· εἶτα περὶ τῆς ἀρχῆς, εἰ πάντων αὐτῷ δίδωσιν ἀνθρώπων κυρίῳ γενέϑαι. χρήσαντος δὲ τȣ͂ ϑεȣ͂ καὶ τȣ͂το διδόναι, καὶ Φίλιππον ἀπέχειν ἔκπλεω τὴν δίκην, ἐδωρεῖτο τὸν ϑεὸν ἀναθήμασι λαμπροῖς, καὶ χρήμασι τȣ̀ς ἀνθρώπȣς. ταῦτα περὶ τῶν χρησμῶν οἱ πλεῖϛοι γράφȣσιν· αυτὸς δ' Ἀλέξανδρος ἐν ἐπιϛολῇ πρὸς τὴν μητέρα φησὶ γεγονέναι τινὰς αὐτῷ μαντείας ἀποῤῥήτȣς, ἃς αὐτὸς ἐπανελθὼν φράσει πρὸς μόνην ἐκείνην. ἔνιοι δέ φασι, τὸν μὲν προφήτην, Ἑλληνιϛὶ βȣλόμενον προσειπεῖν μετά τινος φιλοφροσύνης, ὦ παιδίον, ἐν τῷ τελευταίῳ τῶν φθόγγων ὑπὸ βαρβαρισμȣ͂ πρὸς τὸ σίγμα ἐξενεχθῆναι, καὶ εἰπεῖν, ὦ παιδίος, ἀντὶ τȣ͂ ν τῷ σ χρησάμενον. ἀσμένῳ δὲ τῷ Ἀλεξάνδρῳ τὸ σφάλμα τῆς φωνῆς γενέϑαι, καὶ διαδοθῆναι λόγον, ὡς παῖδα Διὸς αὐτὸν τȣ͂ ϑεȣ͂ προσειπόντος. λέγεται δὲ καὶ Ψάμμωνος ἐν Αἰγύπτῳ τȣ͂ φιλοσόφȣ διακȣ́σας, ἀποδέξαϑαι μάλιϛα τῶν λεχθέντων, ὅτι πάντες ἄνθρωποι βασιλεύονται ὑπὸ ϑεȣ͂· τὸ γὰρ ἄρχον ἐν ἑκάϛῳ καὶ κρατȣ͂ν, ϑεῖόν ἐϛιν. ἔτι δὲ μᾶλλον αὐτὸς περὶ τȣ́των φιλοσοφώτερον δοξάζειν, καὶ λέγειν, ὡς πάντων μὲν ὄντα κοινὸν ἀνθρώπων πατέρα, τὸν ϑεὸν, ἰδίȣς δὲ ποιȣ́μενον ἑαυτȣ͂, τȣ̀ς ἀρίϛȣς.

XXVIII. Καθόλȣ δὲ πρὸς μὲν τȣ̀ς βαρβάρȣς σοβαρὸς ἦν, καὶ σφόδρα πεπεισμένῳ περὶ τῆς ἐκ ϑεȣ͂ γενέσεως καὶ τεκνώσεως ὁμοίως [1], τοῖς δ' Ἕλλησι μετρίως καὶ ὑποφειδομένως ἑαυτὸν ἐξεθείαζε· πλὴν, περὶ Σάμȣ γράφων Ἀθηναίοις· Ἐγὼ μὲν ȣ̓κ ἂν, φησὶν, ὑμῖν ἐλευθέραν πόλιν ἔδωκα καὶ ἔνδοξον· ἔχετε δ' αὐτὴν λαβόντες παρὰ τȣ͂ τότε κυρίȣ καὶ πατρὸς ἐμȣ͂ προσαγορευομένȣ, λέγων τὸν Φίλιππον. Ὕϛερον δὲ πλη-



1 Hanc lectionem R. e Junt. revocavit, pro ὅμοιος, quod Ald. dedit, ut sit constructio: ἐξεθείαζεν ἑαυτὸν πρὸς μὲν τȣ̀ς βαρβ. ὁμοίως — τοῖς δὲ Ἕλλησι (h. e. πρὸς τȣ̀ς Ἕλληνας) μετρίως. Idem dedit ὑποφειδομένως, quod Mos. Dus. cum H. Steph. dari voluit pro vulg. ὑποφειδόμενος.

γῇ περιπεσὼν ὑπὸ τοξεύματος, καὶ περιαλγὴς γενόμενος· Τοῦτο μὲν, εἶπεν, ὦ φίλοι, τὸ ῥέον, αἷμα καὶ οὐκ ἰχὼρ [1],

— οἷός πέρ τε ῥέει μακάρεσσι θεοῖσιν.

ἐπεὶ δὲ, μεγάλης ποτὲ βροντῆς γενομένης, καὶ πάντων ἐκπλαγέντων, Ἀνάξαρχος ὁ σοφιστὴς παρὼν ἔφη πρὸς αὐτὸν, μή τι σὺ τοιοῦτον ὁ τοῦ Διός; γελάσας ἐκεῖνος· Οὐ βούλομαι γὰρ, εἶπε, φοβερὸς εἶναι τοῖς φίλοις, ὥσπερ σύ με κελεύεις, ὁ καταφαυλίζων μου τὸ δεῖπνον, ὅτι ταῖς τραπέζαις ἰχθύας ὁρᾷς ἐπικειμένους, οὐ σατραπῶν κεφαλάς. Τῷ γὰρ [2] ὄντι λέγεται τὸν Ἀνάξαρχον, ἰχθυδίων Ἡφαιστίωνι πεμφθέντων ὑπὸ τοῦ βασιλέως, τὸν προειρημένον ἐπιφθέγξασθαι λόγον, οἷον ἐξευτελίζοντα καὶ κατειρωνευόμενον τοὺς τὰ περίβλεπτα μεγάλοις πόνοις καὶ κινδύνοις διώκοντας, ὡς οὐδὲν, ἢ μικρὸν, ἐν ἡδοναῖς καὶ ἀπολαύσεσι πλέον ἔχοντας τῶν ἄλλων. ὅ γ' οὖν [3] Ἀλέξανδρος καὶ ἀπὸ τῶν εἰρημένων δῆλός ἐστιν αὐτὸς οὐδὲν πεπονθὼς, οὐδὲ τετυφωμένος, ἀλλὰ τοὺς ἄλλους καταδουλούμενος τῇ δόξῃ τῆς θειότητος.

XXIX. Εἰς δὲ Φοινίκην ἐπανελθὼν ἐξ Αἰγύπτου, θυσίας τοῖς θεοῖς καὶ πομπὰς ἐπετέλει, καὶ χορῶν ἐγκυκλίων καὶ τραγικῶν ἀγῶνας, οὐ μόνον ταῖς παρασκευαῖς, ἀλλὰ καὶ ταῖς ἁμίλλαις λαμπροὺς γενομένους. ἐχορήγουν γὰρ οἱ βασιλεῖς τῶν Κυπρίων, ὥσπερ Ἀθήνησιν οἱ κληρούμενοι τὰς φυλάς· καὶ ἠγωνίζοντο θαυμαστῇ φιλοτιμίᾳ πρὸς ἀλλήλους. μάλιστα δὲ Νικοκρέων ὁ Σαλαμίνιος καὶ Πασικράτης ὁ Σόλιος διεφιλονείκησαν. οὗτοι γὰρ ἔλαχον τοῖς ἐνδοξοτάτοις ὑποκριταῖς χορηγεῖν, Πασικράτης μὲν Ἀθηνοδόρῳ, Νικοκρέων δὲ Θεσσαλῷ, περὶ

1 Iliad. V, 340.
2 Cf. Diog. Laërt.
3 V. οὐκοῦν. Id. paulo post δεινότητος e Iunt. pro vulg. θειότητος.

περὶ ὃν ἐσπεδάκει καὶ αὐτὸς Ἀλέξανδρος. ὁ μὴν διέφηνε τὴν σπεδὴν πρότερον [1], ἢ ταῖς ψήφοις ἀναγορευθῆναι νικῶντα τὸν Ἀθηνόδωρον. τότε δ', ὡς ἔοικεν, ἀπιὼν, ἔφη τὲς μὲν κριτὰς ἐπαινεῖν, αὐτὸς μέντοι μέρος ἂν ἡδέως προέσθαι τῆς βασιλείας ἐπὶ τῷ [2] μὴ Θεσσαλὸν ἰδεῖν νενικημένον. ἐπεὶ δ' Ἀθηνόδωρος ὑπὸ τῶν Ἀθηναίων ζημιωθεὶς, ὅτι πρὸς τὸν ἀγῶνα τῶν Διονυσίων ἐκ ἀπήντησεν, ἠξίε γράψαι περὶ αὐτῦ τὸν βασιλέα, τῦτο μὲν ἐκ ἐποίησε, τὴν δὲ ζημίαν ἀπέςειλε παρ' ἑαυτῦ. Λύκωνος δὲ τῦ Σκαρφέως εὐημερῦντος ἐν τῷ θεάτρῳ, καὶ ςίχον εἰς τὴν κωμῳδίαν ἐμβαλόντος αἴτησιν περιέχοντα δέκα ταλάντων, γελάσας ἔδωκε. Δαρείε δὲ πέμψαντος ἐπιςολὴν πρὸς αὐτὸν, καὶ φίλες δεομένες [3] μύρια μὲν ὑπὲρ τῶν ἑαλωκότων λαβεῖν τάλαντα, τὴν δ' ἐντὸς Εὐφράτε [4] πᾶσαν ἔχοντα, καὶ γήμαντα μίαν τῶν θυγατέρων, φίλον εἶναι καὶ σύμμαχον, ἐκοινῦτο τοῖς ἑταίροις· καὶ Παρμενίωνος εἰπόντος. Ἐγὼ μὲν, εἰ Ἀλέξανδρος ἤμην, ἔλαβον ἂν ταῦτα· Κἀγὼ, νὴ Δί', εἶπεν ὁ Ἀλέξανδρος, εἰ Παρμενίων. πρὸς δὲ τὸν Δαρεῖον ἔγραψεν, ὡς ἐδενὸς ἀτυχήσει τῶν φιλανθρώπων ἐλθὼν πρὸς αὐτὸν, εἰ δὲ μὴ, αὐτὸς ἐπ' ἐκεῖνον ἤδη πορεύεσθαι.

XXX. Ταχὺ μέντοι μετεμελήθη, τῆς [5] Δαρείε γυναικὸς ἀποθανέσης ἐν ὠδῖσι· καὶ φανερὸς ἦν ἀνιώμενος, ὡς ἐπίδειξιν ἐ μικρὰν ἀφῃρημένος χρηςότητος. ἔθαψεν ἐν τὴν ἄνθρωπον, ἐδεμιᾶς πολυτελείας φει-



1 Sic R. restituit ex edd. prioribus pro πρότερος, quod Br. sola dedit.

2 Junt. Ald. Crat. ἐπὶ τὸ.

3 Comma, quod Junt. post h. v. interponit, probat Br. Est idem in Ald. & Crat.

4 Apud Diodor. est ἐντὸς Ἅλυος.

5 Vulgo τῆς τῦ Δ. secundum Steph. Expunxit τῦ R. auctoritate Junt. Ald. Crat.

φειδόμενος. τῶν δὲ θαλαμηπόλων τις εὐνέχων, οἳ συνεαλώκεισαν ταῖς γυναιξὶν, ἀποδρὰς ἐκ τῦ ςρατοπέδυ, καὶ πρὸς Δαρεῖον ἀφιππασάμενος, Τίρεως ὄνομα, φράζει τὸν θάνατον αὐτῷ τῆς γυναικός. ὡς δὲ πληξάμενος τὴν κεφαλὴν καὶ ἀνακλαύσας· Φεῦ τῦ Περσῶν, ἔφη, δαίμονος, εἰ τὴν βασιλέως γυναῖκα καὶ ἀδελφὴν, ὐ μόνον αἰχμάλωτον γενέθαι [1] ζῶσαν, ἀλλὰ καὶ τελευτήσασαν, ἄμοιρον κεῖθαι ταφῆς βασιλικῆς· ὑπολαβὼν ὁ θαλαμηπόλος· Ἀλλὰ ταφῆς γε χάριν, εἶπεν, ὦ βασιλεῦ, καὶ τιμῆς ἁπάσης καὶ τῦ πρέποντος, ὐδὲν ἔχεις αἰτιάσαθαι τὸν πονηρὸν δαίμονα Περσῶν. ὔτε γὰρ ζώσῃ τῇ δεσποίνῃ Στατείρᾳ, καὶ μητρὶ σῇ, καὶ τέκνοις, ἐνέδει [2] τῶν πρόθεν ἀγαθῶν καὶ καλῶν, ἢ τὸ σὸν ὁρᾷν [3] φῶς, ὃ πάλιν ἀναλάμψει λαμπρὸν ὁ κύριος Ὡρομάσδης· ὔτ᾽ ἀποθανῦσα κόσμυ τινὸς ἄμοιρος γέγονεν, ἀλλὰ καὶ πολεμίων τετίμηται δάκρυσιν. ὕτω γὰρ ἐςὶ χρηςὸς κρατήσας Ἀλέξανδρος, ὡς δεινὸς μαχόμενος. ταῦτ᾽ ἀκύσαντα Δαρεῖον ἡ ταραχὴ καὶ τὸ πάθος ἐξέφερε [4] πρὸς ὑποψίας ἀτόπυς· καὶ τὸν εὐνῦχον ἐνδοτέρω τῆς σκηνῆς ἀπαγαγών· Εἰ μὴ καὶ σὺ μετὰ τῆς Περσῶν, ἔφη, τύχης μακεδονίζεις, ἀλλ᾽ ἔτι σοὶ δεσπότης ἐγὼ Δαρεῖος, εἰπέ μοι, σεβόμενος Μίθρυ τε φῶς μέγα, καὶ δεξιὰν βασίλειον, ἆρα μὴ τὰ μικρότατα τῶν Στατείρας κλαίω κακῶν, οἰκτρότερα δὲ ζώσης ἐπάσχομεν, καὶ μᾶλλον ἂν, ἢ [5] κατ᾽ ἀξίαν ἐδυςυχῦμεν, ὠμῷ καὶ σκυθρωπῷ

1 Post h. v. deesse censet R. δεῖ vel ἔδει.

2 Ita dandum censuit H. Steph. deditque R. pro vulg. ἐν ἔδει. Andn. consentit. Junt. Ald. Crat. ἐν ἔδει. Praefigendum vel subaudiendum esse monet Steph. ὐδὲν, aut ἄλλο.

3 In ind. Frst. absque nota codicis ἢ τοσῦτον ὁρᾷν. In ind. Br. tribuitur haec lectio Anonymo. Idem ἀναλάμψοι, pro seq. ἀναλάμψει.

4 Sic R. dedit cum Junt. Ald. Crat. pro vulg. ἐξέφερον.

5 R. de suo ἢ addidit — indigniora passi sumus, quam pro meritis.

πῶ περιπεσόντες ἐχθρῷ; τί γὰρ εὐπρεπὲς ἀνδρὶ νέῳ πρὸς ἐχθρȣ̃ γυναῖκα μέχρι τιμῆς τοσαύτης συμβόλαιον [1]; Ἔτι λέγοντος αὐτȣ̃, καταβαλὼν ἐπὶ τȣ̀ς πόδας Τείρεως [2] αὐτὸν, ἱκέτευεν εὐφημεῖν, καὶ μήτ' Ἀλέξανδρον ἀδικεῖν, μήτε τὴν τεθνεῶσαν ἀδελφὴν καὶ γυναῖκα καταισχύναι· μήθ' αὐτȣ̃ [3] τὴν μεγίστην, ὧν ἔπταικεν, ἀφαιρεῖσθαι παραμυθίαν, τὸ δοκεῖν ὑπ' ἀνδρὸς ἡττῆσθαι κρείττονος, ἢ κατὰ τὴν ἀνθρωπίνην φύσιν· ἀλλὰ καὶ θαυμάζειν Ἀλέξανδρον, ὡς πλείονα ταῖς Περσῶν γυναιξὶ σωφροσύνην, ἢ Πέρσαις ἀνδρείαν, ἐπιδεδειγμένον. ἅμα δ' ὅρκȣς τε φρικώδεις τȣ̃ θαλαμηπόλȣ κινȣ̃ντος ὑπὲρ τȣ́των, καὶ περὶ τῆς ἄλλης ἐγκρατείας καὶ μεγαλοψυχίας τῆς Ἀλεξάνδρȣ λέγοντος, ἐξελθὼν πρὸς τȣ̀ς ἑταίρȣς ὁ Δαρεῖος, καὶ χεῖρας ἀνατείνας πρὸς τὸν ȣ̓ρανὸν ἐπεύξατο· Θεοὶ γενέθλιοι καὶ βασίλειοι, μάλιστα μὲν ἐμοὶ διδοίητε τὴν Περσῶν τύχην εἰς ὀρθὸν αὖθις σταθεῖσαν, ἐφ' οἷς ἐδεξάμην ἀγαθοῖς, ἀπολιπεῖν [4], ἵνα κρατήσας ἀμείψωμαι τὰς Ἀλεξάνδρȣ χάριτας, ὧν εἰς τὰ φίλτατα πταίσας ἔτυχον. εἰ δ' ἄρα τις ȣ̓̃τος εἱμαρτὸς ἥκει χρόνος ὀφειλόμενος νεμέσει, καὶ μεταβολῇ παύσασθαι [5] τὰ Περσῶν, μηδεὶς ἄλλος ἀνθρώπων καθίσειεν εἰς τὸν Κύρȣ θρόνον, πλὴν Ἀλεξάνδρȣ. Ταῦτα μὲν ȣ̓́τω γενέσθαι τε καὶ λεχθῆναι φασὶν οἱ πλεῖστοι τῶν συγγραφέων.



1 R. docente, sententia est: Ecqua enim motus necessitudine, honesta quidem atque probabili, existimari queat vir aetate florens ad istud honoris processisse uxori hostis sui habendi.

2 Supra Τίρεως, quod & hic scribi voluit Mos. Duf.

3 Sic R. dedit pro αὐτȣ̃, quod est in Br. Ipse Bryanus adnotat, recte dari in Fl. ed. αὑτȣ̃ Nequaqum tamen sic in ea legitur, sed uti in Ald. & Crat. αὐτȣ̃. Steph. & Frst. αὑτȣ̃.

4 R. susp. ἀπολαβεῖν, recuperare.

5 R. susp. ὡς παύσασθαι.

XXXI. Ἀλέξανδρος δὲ τὴν ἐντὸς τοῦ Εὐφράτου πᾶσαν ὑφ' ἑαυτῷ ποιησάμενος, ἤλαυνεν ἐπὶ Δαρεῖον ἑκατὸν μυριάσι στρατοῦ καταβαίνοντα. καί τις αὐτῷ [1] φράζει τῶν ἑταίρων, ὡς δὴ γέλωτος ἄξιον πρᾶγμα, τοὺς ἀκολούθους παίζοντας εἰς δύο μέρη διῃρημέναι [2] σφᾶς αὐτούς· ὧν ἑκατέρου στρατηγὸν εἶναι καὶ ἡγεμόνα, τὸν μὲν Ἀλέξανδρον, τὸν δὲ Δαρεῖον ὑπ' αὐτῶν προσαγορευόμενον· ἀρξαμένους δὲ βώλοις ἀκροβολίζεσθαι πρὸς ἀλλήλους, εἶτα πυγμαῖς, τέλος ἐκκεκαῦσθαι τῇ φιλονεικίᾳ, καὶ μέχρι λίθων καὶ ξύλων πολλοὺς καὶ [3] δυσκαταπαύστους γεγονότας. ταῦτ' ἀκούσας ἐκέλευσεν αὐτοὺς μονομαχῆσαι τοὺς ἡγεμόνας, καὶ τὸν μὲν Ἀλέξανδρον αὐτὸς ὥπλισε, τὸν δὲ Δαρεῖον Φιλώτας. ἐθεᾶτο δ' ὁ στρατὸς ἐν οἰωνῷ τινι τοῦ μέλλοντος τιθέμενος τὸ γιγνόμενον. ἰσχυρᾶς δὲ τῆς μάχης γενομένης, ἐνίκησεν ὁ καλούμενος Ἀλέξανδρος, καὶ δωρεὰν ἔλαβε δώδεκα κώμας, καὶ στολῇ Περσικῇ χρῆσθαι. ταῦτα μὲν οὖν Ἐρατοσθένης ἱστόρηκε. τὴν δὲ μεγάλην μάχην πρὸς Δαρεῖον οὐκ ἐν Ἀρβήλοις, ὥσπερ οἱ πολλοὶ γράφουσιν, ἀλλ' ἐν Γαυγαμήλοις [4] γενέσθαι συνέπεσε. σημαίνειν δέ φασιν οἶκον καμήλου τὴν διάλεκτον, ἐπεὶ τῶν πάλαι τις βασιλέων ἐκφυγὼν πολεμίους ἐπὶ καμήλου δρομάδος, ἐνταῦθα καθίδρυσεν αὐτήν, ἀποτάξας τινὰς κώμας καὶ προσόδους εἰς τὴν ἐπιμέλειαν· ἡ μὲν οὖν σελήνη τοῦ Βοηδρομιῶνος ἐξέλιπε, περὶ τὴν τῶν μυστηρίων τῶν Ἀθήνησιν ἀρχήν. ἐνδεκάτῃ δ' ἀπὸ τῆς ἐκλείψεως νυκτὶ, τῶν στρατοπέδων ἐν ὄψει γεγονότων, Δαρεῖος μὲν ἐν [5]

ὅπλοις

1 Ad Alexandrum referas, uti & postea ἐκέλευσεν.

2 Sic R. de suo dedit pro vulg. διῃρημένους, quod in forma passivi significationem medii obtineret, redundantibus σφᾶς αὐτούς. Junt. διῃρημένα, quo valente, deesse monet τάξαι aut κατατάξαι ante aut post σφᾶς αὐτούς.

3 Restituit R. καὶ ex Junt. In reliquis abest.

4 Sic cum Anon. auctoritate Strabonis aliorumque scriptorum scribi voluit Br. deditque R. pro vulg. Γαυσαμήλοις.

5 Praepos. ἐν Junt. Ald. Crat. deest. Steph. dedit eam.

ὅπλοις συνεῖχε τὴν δύναμιν, ὑπὸ λαμπάδων ἐπιπορευόμενος τὰς τάξεις· Ἀλέξανδρος δὲ, τῶν Μακεδόνων ἀναπαυομένων, αὐτὸς πρὸ τῆς σκηνῆς μετὰ τοῦ μάντεως Ἀριστάνδρου διέτριβεν, ἱερουργίας τινὰς ἀποῤῥήτους ἱερουργούμενος, καὶ τῷ Φόβῳ [1] σφαγιαζόμενος. οἱ δὲ πρεσβύτεροι τῶν ἑταίρων, καὶ μάλιστα Παρμενίων, ὡς τὸ μὲν πεδίον τὸ μεταξὺ τοῦ Νιφάτου καὶ τῶν ὀρῶν τῶν Γορδυναίων [2], ἅπαν ἑωρᾶτο καταλαμπόμενον τοῖς βαρβαρικοῖς φέγγεσιν, ἀτέκμαρτος δέ τις φωνὴ συμμεμιγμένη καὶ θόρυβος καὶ φόβος ἐκ τοῦ στρατοπέδου, καθάπερ ἐξ ἀχανοῦς προσήχει πελάγους, θαυμάσαντες τὸ πλῆθος, καὶ πρὸς ἀλλήλους διαλεχθέντες, ὡς μέγα καὶ χαλεπὸν ἔργον εἴη, συμπεσόντας ἐκ προφανοῦς τοσοῦτον ὤσασθαι πόλεμον, ἀπὸ τῶν ἱερῶν γενομένῳ τῷ βασιλεῖ προσελθόντες, ἔπειθον αὐτὸν ἐπιχειρῆσαι νύκτωρ τοῖς πολεμίοις, καὶ τῷ σκότῳ τὸ φοβερώτατον συγκαλύψαι τοῦ μέλλοντος ἀγῶνος. ὁ δὲ τὸ μνημονευόμενον εἰπών· Οὐ κλέπτω τὴν νίκην· ἐνίοις μὲν ἔδοξε μειρακιώδη καὶ κενὴν ἀπόκρισιν πεποιῆσθαι, παίζων πρὸς τοσοῦτον κίνδυνον· ἐνίοις δὲ, καὶ τῷ παρόντι θαῤῥεῖν, καὶ στοχάζεσθαι τοῦ μέλλοντος ὀρθῶς, μὴ διδοὺς πρόφασιν ἡττηθέντι Δαρείῳ πρὸς ἄλλην αὖθις ἀναθαῤῥῆσαι πεῖραν, αἰτιωμένῳ τούτων νύκτα καὶ σκότος, ὡς ὄρη καὶ στενὰ καὶ θάλασσαν τῶν προτέρων. οὐ γὰρ ὅπλων, οὐδὲ σωμάτων ἀπορίᾳ παύσεσθαι πολεμοῦντα Δαρεῖον ἀπὸ τηλικαύτης δυνάμεως, καὶ χώρας τοσαύτης, ἀλλ' ὅταν ἀφῇ τὸ φρόνημα



1 Hanc vocem Xyl. H. Steph. Dacer. & Amiot. reponendam censuerunt, deditque R. pro vulg. Φοίβῳ — *Pavori*, numini terrores panicos hostibus immittenti. Ejusmodi numinibus abstrusis sacra fiebant, cum sacra fierent ἀπόῤῥητα, occulta, remotis arbitris peragenda.

2 Anon. Γορδάκων. Br. susp. Γορδυαίων. Mos. Dus. se non satis assequi fatetur, cur *Niphates* & *montes Gordyaei* ex Armenia ad Gaugamela adducantur.

μα καὶ τὴν ἐλπίδα, δι' ἐμφανοῦς ἥττης κατὰ κράτος ἐξελεγχθείς.

XXXII. Ἀπελθόντων δὲ τούτων, κατακλιθεὶς ὑπὸ σκηνὴν, λέγεται τὸ λοιπὸν μέρος τῆς νυκτὸς ὕπνῳ βαθεῖ κρατηθῆναι παρὰ τὸ εἰωθός· ὥστε θαυμάζειν ἐπελθόντας [1] ὄρθρου καὶ ἡγεμόνας, καὶ παρ' αὐτῶν ἐξενεγκεῖν παράγγελμα πρῶτον, ἀριστοποιεῖσθαι τοὺς στρατιώτας· ἔπειτα τοῦ καιροῦ κατεπείγοντος, εἰσελθόντα Παρμενίωνα, καὶ παραστάντα τῇ κλίνῃ, δὶς, ἢ τρὶς, αὐτοῦ φθέγξασθαι τοὔνομα· καὶ δὴ ἐγερθέντος [2], οὕτως ἐρωτᾷν, ὅ τι δὴ πεπονθὼς ὕπνον καθεύδοι νενικηκότος, οὐχὶ μέλλοντος ἀγωνιεῖσθαι τὸν μέγιστον τῶν ἀγώνων· τὸν γοῦν Ἀλέξανδρον εἰπεῖν διαμειδιάσαντα· Τί γὰρ οὐκ ἤδη σοὶ νενικηκέναι δοκοῦμεν, ἀπηλλαγμένοι τοῦ πλανᾶσθαι καὶ διώκειν ἐν πολλῇ καὶ κατεφθαρμένῃ φυγομαχοῦντα χώρᾳ Δαρεῖον; Οὐ μόνον δὲ πρὸ τῆς μάχης, ἀλλὰ καὶ παρὰ τὸν κίνδυνον αὐτὸν ἐπεδείξατο μέγαν καὶ συνεστηκότα τῷ λογίζεσθαι καὶ θαῤῥεῖν ἑαυτόν. ἔσχε γὰρ ὁ ἀγὼν ἀποτροπὴν [3] καὶ σάλον ἐν τῷ εὐωνύμῳ κέρατι κατὰ Παρμενίωνα, τῆς Βακτριανῆς ἵππου ῥόθῳ πολλῷ καὶ μετὰ βίας παρεμπεσούσης εἰς τοὺς Μακεδόνας, Μαζαίου δὲ περιπέμψαντος ἔξω τῆς φάλαγγος ἱππεῖς τοῖς σκευοφυλακοῦσι προσβαλοῦντας [4]. διὸ καὶ θορυβούμενος ὑπ' ἀμφοτέρων ὁ Παρμενίων, ἀπέστειλε πρὸς Ἀλέξανδρον ἀγγέλους φράζοντας οἴχεσθαι τὸν χάρακα καὶ τὰς ἀποσκευὰς, εἰ μὴ κατὰ τάχος βοήθειαν ὀχυρὰν ἀπὸ τοῦ στόματος πέμψειε τοῖς ὄπισθεν. ἔτυχε μὲν οὖν κατ' ἐκεῖνο καιροῦ τοῖς περὶ αὐτὸν ἐφόδου διδοὺς σημεῖον. ὡς δ'

1 Junt. ἀπελθ. uti & paulo poſt παρ' αὐτὸν pro παρ' αὐτῶν.
2 Sic R. dedit de ſuo pro vulg. καὶ διεγερθέντος. Comma poſt ἐρωτᾷν idem dedit, quod dari voluit Moſ. Duſ.
3 R. quaerit, num ἔσχε γὰρ ὁ ἀγὼν ἀπ' ἀρχῆς τροπήν?
4 Sic R. dedit cum Junt. Ald. Crat. Steph. pro προσβαλόντας, quod ex Frſt. in Br. tranſiit.

δ' ἤκουσε τὰ παρὰ τοῦ Παρμενίωνος, οὐκ ἔφη σωφρονεῖν αὐτὸν, οὐδ' ἐντὸς εἶναι τῶν λογισμῶν, ἀλλ' ἐπιλελῆσθαι ταραττόμενον, ὅτι νικῶντες μὲν προσκτήσονται καὶ τὰ τῶν πολεμίων· ἡττωμένοις δὲ φροντιστέον, οὐ χρημάτων, οὐδ' ἀνδραπόδων, ἀλλ' ὅπως ἀποθανοῦνται καλῶς καὶ λαμπρῶς ἀγωνιζόμενοι. Ταῦτ' ἐπιστείλας Παρμενίωνι, τὸ κράνος περιέθετο, τὸν δ' ἄλλον ὁπλισμὸν εὐθὺς ἀπὸ σκηνῆς εἶχεν, ἐπένδυμα τῶν Σικελικῶν [1] ζωστόν· ἐπὶ δὲ τούτῳ θώρακα διπλοῦν λινοῦν, ἐκ τῶν ληφθέντων ἐν Ἰσσῷ. τὸ δὲ κράνος ἦν μὲν σιδηροῦν· ἔστιλβε δ' ὥσπερ ἄργυρος καθαρὸς, ἔργον Θεοφίλου. συνήρμοστο δ' αὐτῷ περιτραχήλιον ὁμοίως σιδηροῦν, λιθοκόλλητον, μάχαιραν δὲ θαυμαστὴν βαφῇ καὶ κουφότητι, δωρησαμένου τοῦ Κιτιέων βασιλέως, ἣν εἶχεν ἠσκημένος τὰ πολλὰ χρῆσθαι μαχαίρᾳ παρὰ τὰς μάχας. ἐπιπόρπαμα [2] δ' ἐφόρει, τῇ μὲν ἐργασίᾳ σοβαρώτερον, ἢ κατὰ τὸν ἄλλον ὁπλισμόν. ἦν γὰρ ἔργον Ἑλικῶνος τοῦ παλαιοῦ, τιμὴ δὲ τῆς Ῥοδίων πόλεως, ὑφ' ἧς ἐδόθη δῶρον. ἐχρῆτο δὲ καὶ τούτῳ πρὸς τοὺς ἀγῶνας. ἄχρι μὲν οὖν συντάττων τι τῆς φάλαγγος, ἢ παρακελευόμενος, ἢ διδάσκων, ἢ ἐφορῶν παρεξήλαυνεν, ἄλλον ἵππον εἶχε, τοῦ Βουκεφάλα [3] φειδόμενος, ἤδη παρήλικος ὄντος· χωροῦντι δὲ πρὸς ἔργον ἐκεῖνος προσήγετο, καὶ μεταβὰς εὐθὺς ἦρχεν ἐφόδου.

XXXIII. Τότε δὲ τοῖς Θετταλοῖς πλεῖστα διαλεχθεὶς, καὶ τοῖς ἄλλοις Ἕλλησιν, ὡς ἐπέῤῥωσαν αὐτὸν, βοῶντες ἄγειν ἐπὶ τοὺς βαρβάρους, τὸ ξυστὸν εἰς τὴν

1 V. Δικελικῶν. Pro ζωστὸν R. ſuſp. ζωωτὸν, i. e. ἔχοντα ζῶα, ſeu εἰκόνας, *coloratum*, *pictum*, ſeu coloribus rerum ſtatim a principio intextis, ſeu acu poſtmodum inſutis. Pro ſeq. τούτῳ V. e Junt. τούτων.

2 V. πόρπωμα. Xyl. vertit *ſagum*; Amiot. *cincturam*; Guarin. *balteum*.

3 V. Βουκεφάλου. Sic & infra c. 44. & 61.

τὴν ἀριστερὰν μεταβαλὼν, τῇ δεξιᾷ παρεκάλει τοὺς θεοὺς, ὡς Καλλισθένης φησὶν, ἐπευχόμενος, εἴπερ ὄντως Διόθεν ἐστὶ [1] γεγονὼς, ἀμῦναι καὶ συνεπιῤῥῶσαι τοὺς Ἕλληνας. ὁ δὲ μάντις Ἀρίστανδρος, χλανίδα λευκὴν ἔχων καὶ χρυσοῦν στέφανον, ἐπεδείκνυτο παριππεύων [2] ἀετὸν ὑπὲρ κεφαλῆς Ἀλεξάνδρου συνεπαιωρούμενον [3], καὶ κατευθύνοντα τῇ πτήσει ὄρθιον ἐπὶ τοὺς πολεμίους· ὥστε πολὺ μὲν θάρσος ἐγγενέσθαι τοῖς ὁρῶσιν, ἐκ δὲ τοῦ θαῤῥεῖν καὶ παρακαλεῖν ἀλλήλους, δρόμῳ τοῖς ἱππεῦσιν ἱεμένοις ἐπὶ τοὺς πολεμίους ἐπικυμαίνειν τὴν φάλαγγα. πρὶν δὲ συμμίξαι τοὺς πρώτους, ἐξέκλιναν οἱ βάρβαροι, καὶ διωγμὸς ἦν πολὺς, εἰς τὰ μέσα συνελαύνοντος Ἀλεξάνδρου τὸ νικώμενον, ὅπου Δαρεῖος ἦν. πόῤῥωθεν γὰρ αὐτὸν κατεῖδε διὰ τῶν προτεταγμένων ἐν βάθει τῆς βασιλικῆς ἴλης ἐκφανέντα, καλὸν ἄνδρα καὶ μέγαν ἐφ' ἅρματος ὑψηλοῦ βεβῶτα, πολλοῖς ἱππεῦσι καὶ λαμπροῖς καταπεφραγμένον, εὖ μάλα συνεσπειραμένοις περὶ τὸ ἅρμα, καὶ παρατεταγμένοις [4] δέχεσθαι τοὺς πολεμίους. ἀλλὰ δεινὸς ὀφθεὶς ἐγγύθεν Ἀλέξανδρος, καὶ τοὺς φεύγοντας ἐμβαλὼν εἰς τοὺς μένοντας [5], ἐξέπληξε καὶ διεσκέδασε τὸ πλεῖστον. οἱ δ' ἄριστοι καὶ γενναιότατοι πρὸ τοῦ βασιλέως φονευόμενοι, καὶ κατ' ἀλλήλων πίπτοντες, ἐμποδὼν τῆς διώξεως ἦσαν, ἐμπλεκόμενοι καὶ περισπαίροντες [6] αὐτοῖς καὶ ἵπποις. Δαρεῖος δὲ, τῶν δεινῶν ἁπάντων ἐν ὀφθαλμοῖς ὄντων, καὶ τῶν προτεταγμένων δυνά-

1 Ex Junt. se ἐστὶ addidisse monet R. At sola ex Br. exciderat.

2 Alexandro puta. R.

3 qua iret Alexander, illac eum comitantem, libratum in auris super ejus capite sublimen. R.

4 R. mavult *παρατεταμένοις*, a *παρατείνω*, *intentis*, *exspectantibus*.

5 Teste H. Steph. legitur etiam *μέλλοντας*.

6 Mos. Dus. & Br. malunt *περισπειρῶντες*, uti & cum Anon. *αὐτοῖς τε καὶ τοῖς ἵππ.* V. *αὐτοῖς ἵπποις*.

δυνάμεων ἐρειπομένων εἰς αὐτὸν, ὡς ἐκ ἦν ἀποςρέψαι τὸ ἅρμα καὶ διεξελάσαι ῥᾴδιον, ἀλλ᾽ οἵ τε τροχοὶ συνείχοντο πτώμασι πεφυρμένοι τοσέτοις, οἵ τε ἵπποι καταλαμβανόμενοι καὶ ἀποκρυπτόμενοι τῷ πλήθει τῶν νεκρῶν ἐξήλλοντο καὶ συνετάραττον τὸν ἡνίοχον, ἀπολείπει μὲν τὸ ἅρμα καὶ τὰ ὅπλα, θήλειαν δ᾽, ὥς φασι, νεοτόκον ἵππον περιβὰς ἔφυγεν. ἐ μὴν τότε γ᾽ ἂν [1] ἐδόκει διαφεύγειν, εἰ μὴ πάλιν ἧκον ἕτεροι παρὰ τῦ Παρμενίωνος ἱππεῖς, μετακαλῦντες Ἀλέξανδρον, ὡς συνεςώσης ἔτι πολλῆς δυνάμεως ἐκεῖ, καὶ τῶν πολεμίων ἐκ ἐνδιδόντων. ὅλως γὰρ αἰτιῶνται Παρμενίωνα κατ᾽ ἐκείνην τὴν μάχην νωθρὸν γενέσθαι καὶ δύσεργον· εἴτε τῦ γήρως ἤδη τι παραλύοντος τῆς τόλμης, εἴτε τὴν ἐξεσίαν καὶ τὸν ὄγκον, ὡς Καλλισθένης φησὶ, τῆς Ἀλεξάνδρε δυνάμεως βαρυνόμενον καὶ προσφθονῦντα. τότε δ᾽ ἐν ὁ βασιλεὺς ἀνιαθεὶς τῇ μεταπέμψει, τοῖς μὲν ςρατιώταις ἐκ ἔφρασε τἀληθὲς, ἀλλ᾽ ὡς ἀνέχων τῦ φονεύειν, καὶ σκότες ὄντος, ἀνάκλησιν ἐσήμανεν. ἐλαύνων δὲ πρὸς τὸ κινδυνεῦον μέρος, ἤκεσε καθ᾽ ὁδὸν ἡττῆσθαι παντάπασιν καὶ φεύγειν τὲς πολεμίες.

XXXIV. Τῦτο τῆς μάχης ἐκείνης λαβέσης τὸ πέρας, ἡ μὲν ἀρχὴ παντάπασιν ἡ Περσῶν ἐδόκει καταλελύσθαι· βασιλεὺς δὲ τῆς Ἀσίας Ἀλέξανδρος ἀνηγορευμένος, ἔθυε τοῖς θεοῖς μεγαλοπρεπῶς, καὶ τοῖς φίλοις ἐδωρεῖτο πλέτες καὶ οἴκες καὶ ἡγεμονίας. Φιλοτιμέμενος δὲ πρὸς τὲς Ἕλληνας, ἔγραψε τὰς τυραννίδας πάσας καταλυθῆναι, καὶ πολιτεύειν αὐτονόμες· ἰδίᾳ δὲ Πλαταιεῦσι, τὴν πόλιν ἀνοικοδομεῖν, ὅτι τὴν χώραν οἱ πατέρες αὐτῶν ἐναγωνίσασθαι τοῖς Ἕλλησιν ὑπὲρ τῆς ἐλευθερίας παρέχον. ἔπεμψε δὲ καὶ Κροτωνιάταις εἰς Ἰταλίαν μέρος τῶν λαφύρων, τὴν Φαΰλ-

[1] R. susp. ἐ μὴν ἐδὲ τότε γ᾽ ἂν.

Φαΰλλȣ [1] τȣ̃ ἀθλητȣ̃ τιμῶν προθυμίαν καὶ ἀρετὴν, ὃς περὶ τὰ Μηδικὰ τῶν ἄλλων Ἰταλιωτῶν ἀπεγνωκότων τȣ̀ς Ἕλληνας, ἰδιόςολον ἔχων ναῦν ἔπλευσεν εἰς Σαλαμῖνα, τȣ̃ κινδύνȣ τι μεθέξων. ȣ̔́τω τις εὐμενὴς ἦν πρὸς ἅπασαν ἀρετὴν, καὶ καλῶν ἔργων φύλαξ καὶ οἰκεῖος.

XXXV. Ἐπιὼν δὲ τὴν Βαβυλωνίαν, ἅπασαν εὐθὺς ἐπ' αὐτῷ γενομένην, ἐθαύμασε μάλιςα [2] τό τε χάσμα τȣ̃ πυρὸς ἐν Ἐκβατάνοις [3], ὥσπερ ἐκ πηγῆς συνεχῶς ἀναφερομένȣ, καὶ τὸ ῥεῦμα τȣ̃ νάφθα λιμνάζοντος [4] διὰ τὸ πλῆθος, ȣ̓ πόῤῥω τȣ̃ χάσματος. ὃς τἆλλα μὲν ἀσφάλτῳ προσέοικεν, ȣ̔́τω δ' εὐπαθὴς πρὸς τὸ πῦρ ἐςιν, ὥςε, πρὶν ἢ θίγειν τὴν φλόγα, δι' αὐτῆς τῆς περὶ τὸ φῶς ἐξαπτόμενος [5] αὐγῆς, τὸν μεταξὺ πολλάκις ἀέρα συνεκκαίοι. ἐπιδεικνύμενοι δὲ τὴν δύναμιν αὐτȣ̃ καὶ φύσιν οἱ βάρβαροι, τὸν ἄγοντα πρὸς τὴν κατάλυσιν τȣ̃ βασιλέως ςενωπὸν ἐλαφρῶς [6] τῷ φαρμάκῳ κατεψέκασαν· εἶτα ςάντες ἐπ' ἄκρῳ τȣ̀ς λαμπτῆρας τοῖς βεβρεγμένοις προσέθηκαν· ἤδη γὰρ συνεσκόταζε. τῶν δὲ πρώτων εὐθὺς ἁψαμένων, ȣ̓κ ἔσχεν ἡ νομὴ [7] χρόνον αἰσθητὸν, ἀλλ' ἅμα νοήματι διῆπτο πρὸς θά-

1 Sic dedit R. uti in Herodoto L. VIII. fcribitur. Vulgo Φαΰλȣ. Ab aliis, Paufania, Dionyf. Halic. & Diod. Sic. vocatur Aftyalus.

2 deeft μάλιςα Junt. Ald. Crat. dedit Steph.

3 V. Ἐκβατάνων. Cum haec urbs in Media fit fita, hiatus autem ille prope Arbelas in *Artacene*, fufpecta eft omnino haec lectio. Dacerio cum Scaligero ἐν Ἀρακτηνῇ legendum videtur. R. fufp. χάσμα τȣ̃ πυρὸς, ὅμοιον τῷ ἐν Ἐκβατάνοις, fontes Naphthae, qui funt in Babylonia, fimiles funt illis in Media.

4 R. mavult λιμνάζον, accuf. neutr. gen.

5 Sic R. de fuo dedit, ad ὁ νάφθας, pro vulg. ἐξαπτομένης.

6 Sic R. de fuo dedit. Vulgo ἐλαφρῷ. Ad ἐπ' ἄκρῳ, quod fequitur, fubintell. angiportus.

7 R. fufp. ἡ ἐπινομὴ, uti infra occurrit haec vox.

θάτερον πέρας, καὶ πῦρ ἐγεγόνει συνεχὲς [1] ὁ ςενωπός. ἦν δέ τις Ἀθηνοφάνης Ἀθηναῖος, τῶν περὶ ἄλειμμα καὶ λετρὸν εἰωθότων τὸ σῶμα θεραπεύειν τε βασιλέως, καὶ τὴν διάνοιαν ἐμμελῶς ἀπάγειν ἐπὶ τὸ ῥᾳθυμον. ἔτος ἐν τῷ λετρῶνι, τότε παιδαρίε τῷ Ἀλεξάνδρῳ παρεςῶτος εὐτελε̃ς σφόδρα [2] καὶ γελοίε τὴν ὄψιν, ᾄδοντος δὲ χαριέντως, ὁ Στέφανος ἐκαλεῖτο· Βέλει, φησὶν, ὦ βασιλεῦ, διάπειραν ἐν Στεφάνῳ τε̃ φαρμάκε λάβωμεν; ἂν γὰρ ἅψηται τέτε καὶ μὴ κατασβεθῇ, παντάπασιν ἂν φαίην ἄμαχον καὶ δεινὴν αὐτε̃ τὴν δύναμιν εἶναι [3]. προθύμως δέ πως καὶ τε̃ παιδαρίε διδόντος ἑαυτὸν πρὸς τὴν πεῖραν, ἅμα τῷ περιαλεῖψαι καὶ θίγειν ἐξήνθησε φλόγα τοσαύτην τὸ σῶμα, καὶ πυρὶ κατεχέθη πᾶν, ὥςε τὸν Ἀλέξανδρον εἰς πᾶν ἀπορίας καὶ δέες ἐλθεῖν. εἰ δὲ μὴ κατὰ τύχην πολλοὶ [4] παρῆσαν ἀγγεῖα πρὸς τὸ λετρὸν ὕδατος διὰ χειρῶν ἔχοντες, ἐκ ἂν ἔφθασεν ἡ βοήθεια τὴν ἐπινομήν. ἀλλὰ καὶ τότε μόγις κατέσβεσαν τὸ σῶμα τε̃ παιδὸς διόλε πῦρ γενόμενον, καὶ μετὰ ταῦτα χαλεπῶς ἔχεν. εἰκότως ἒν ἔνιοι τὸν μῦθον ἀνασώζοντες [5] πρὸς τὴν ἀλήθειαν, τε̃το φασὶν εἶναι τὸ τῆς Μηδείας φάρμακον, ᾧ τὸν τραγῳδέμενον ςέφανον καὶ τὸν πέπλον ἔχρισεν. ἐ γὰρ ἐξ αὐτῶν ἐκείνων, ἐδ' ἀπ' αὐτομάτε λάμψαι τὸ πῦρ,

1 Sic Mof. Duf. cum Anon. fcribi voluit pro vulg. συνεχὴς, quod ex Steph. prodiit, ut ad πῦρ referatur, & fic R. dedit. Junt. & Ald. συνεχὺς. Miror tamen, quod nemo obfervarit, in Cratandreana jam recte dari συνεχές.

2 Defunt haec duo vocabula εὐτ. σφ. Junt. Ald. Crat. Addidit ea H. Steph. bene monens, particulam καὶ, quam eaedem tamen ante γελοίε habent, omiffionis verborum, five horum, five aliorum, effe indicem.

3 V. τὴν δύναμιν αὐτε̃ εἶναι.

4 Sic cum V. dari voluit Mof. Duf. deditque R. Vulgo πολλά.

5 Br. fufp. ἀναρμόζοντες vel ἐναρμόζοντες. Mof. Duf. mavult ἀναφέροντες.

πῦρ, ἀλλὰ φλογὸς ἐγγύθεν [1] παρατεθείσης, ὀξεῖαν ὁλκὴν καὶ συναφὴν ἄδηλον αἰσθήσει γενέσθαι. τὰς γὰρ ἀκτῖνας καὶ τὰ ῥεύματα τοῦ πυρὸς ἄπωθεν ἐπερχόμενα, τοῖς μὲν ἄλλοις σώμασι φῶς καὶ θερμότητα προσβάλλειν μόνον, ἐν δὲ τοῖς [2] ξηρότητα πνευματικὴν καὶ νοτίδα λιπαρὰν καὶ διαρκῆ [3] κεκτημένοις ἀθροιζόμενα καὶ πυριμανοῦντα [4] μεταβάλλειν ὀξέως τὴν ὕλην. παρεῖχε δ' ἀπορίαν ἡ γένεσις, εἴτε [5] μᾶλλον ὑπέκκαυμα τῆς φλογὸς ὑποῤῥεῖ τὸ ὑγρὸν ἐκ τῆς γῆς φύσιν λιπαρὰν καὶ πυριγόνον ἐχούσης. καὶ γάρ ἐστιν ἡ Βαβυλωνία σφόδρα πυρώδης, ὥστε τὰς μὲν κριθὰς χαμόθεν ἐκπηδᾶν καὶ ἀποπάλλεσθαι πολλάκις, οἷον ὑπὸ φλεγμονῆς τῶν τόπων σφυγμοὺς ἐχόντων· τοὺς δ' ἀνθρώπους ἐν τοῖς καύμασιν ἐπ' ἀσκῶν πεπληρωμένων ὕδατος καθεύδειν. Ἅρπαλος δὲ, τῆς χώρας ἀπολειφθεὶς ἐπιμελητὴς, καὶ φιλοκαλῶν Ἑλληνικαῖς φυτείαις διακοσμῆσαι τὰ βασίλεια καὶ τοὺς περιπάτους, τῶν μὲν ἄλλων ἐκράτησε [6], τὸν δὲ κιττὸν οὐκ ἔστεξεν ἡ γῆ μόνον, ἀλλ' ἀεὶ διέφθειρεν, οὐ φέροντα τὴν κρᾶσιν· ἡ μὲν γὰρ πυρώδης, ὁ δὲ φιλόψυχρος. τῶν μὲν οὖν τοιούτων παρεκβάσεων, ἂν μέτρον ἔχωσιν, ἧττον ἴσως οἱ δύσκολοι κατηγοροῦσιν.

XXXVI.

1 Sic ex Br. conjectura R. dedit pro vulg. ἐκεῖθεν.

2 Vulgo additur ἄλλοις, quod R. ut ex praeced. lin. male iteratum, delevit. Pro seq. καὶ νοτ. V. ἢ νοτίδα, quod probat Mos. Duf.

3 Br. susp. διαυγῆ.

4 Mos. Duf. susp. παραμένοντα. R. videtur vulgata bene habere, qua Plutarchus ea corpora denotet, quae gestiunt ardere, quae furiose velut atque incitatissime minima quacunque de causa ignem corripiunt.

5 Deesse h. l. aliquid, cum alterum tantum εἴτε detur, jam monuerunt Xyl. & Amiot.

6 *der übrigen aller ist er Herr geworden*, h. e. reliquas omnes plantas coëgit in solo Babylonico radices agere, atque bene provenire. R. Ex Theophrasto haec hausisse Plutarchum, monent Br. & Mos. Duf.

XXXVI. Ἀλέξανδρος δὲ, Σέσων κυριεύσας, παρέλαβεν ἐν τοῖς βασιλείοις τετρακισμύρια τάλαντα νομίσματος, τὴν δ' ἄλλην κατασκευὴν καὶ πολυτέλειαν ἀδιήγητον. ὅπε φησὶ καὶ πορφύρας Ἑρμιονικῆς εὑρεθῆναι τάλαντα πεντακισχίλια, συγκειμένης μὲν ἐξ ἐτῶν δέκα δεόντων διακοσίων, πρόσφατον δὲ τὸ ἄνθος ἔτι καὶ νεαρὸν φυλαττέσης. αἴτιον δὲ τέτε φασὶν εἶναι, τὸ τὴν βαφὴν [1] διὰ μέλιτος γίνεσθαι τῶν ἁλεργῶν, δι' ἐλαίε δὲ λευκῆ, τῶν λευκῶν· καὶ γὰρ τέτων τὸν ἴσον χρόνον ἐχόντων τὴν λαμπρότητα καθαρὰν καὶ στίλβεσαν ὁρᾶσθαι. Δίνων δέ φησι καὶ ὕδωρ ἀπὸ τε Νείλε καὶ τε Ἴςρε μετὰ τῶν ἄλλων μεταπεμπομένες εἰς τὴν γάζαν ἀποτίθεσθαι τὲς βασιλεῖς, οἷον ἐκβεβαιεμένες τὸ μέγεθος τῆς ἀρχῆς, καὶ τὸ κυριεύειν ἁπάντων.

XXXVII. Τῆς δὲ Περσίδος ἔσης διὰ τραχύτητα δυσεμβόλε, καὶ φυλαττομένης ὑπὸ γενναιοτάτων Περσῶν, (Δαρεῖος μὲν γὰρ ἐπεφεύγει [2]) γίγνεται τινὸς περιόδε κύκλον ἐχέσης ἐ πολὺν ἡγεμὼν αὐτῷ δίγλωσσος ἄνθρωπος, ἐκ πατρὸς Λυκίε, μητρὸς δὲ Περσίδος γεγονώς· ὅν φασιν, ἔτι παιδὸς ὄντος Ἀλεξάνδρε, τὴν Πυθίαν προειπεῖν, ὡς Λύκιος ἔςαι καθηγεμὼν Ἀλεξάνδρῳ τῆς ἐπὶ Πέρσας πορείας. Φόνον μὲν ἒν ἐνταῦθα πολὺν τῶν ἁλισκομένων γενέσθαι συνέπεσε. γράφει [3] γὰρ αὐτὸς, ὡς, νομίζων αὐτῷ τῦτο λυσιτελεῖν, ἐκέλευεν ἀποσφάττεσθαι τὲς ἀνθρώπες· νομίσματος δ' εὑρεῖν πλῆθος, ὅσον ἐν Σέσοις, τὴν δ' ἄλλην κατασκευὴν καὶ τὸν πλῦτον ἐκκομισθῆναι φασὶ [4] μυρίοις ὀρικοῖς ζεύγεσι καὶ πεντακισχιλίαις [5] καμήλοις. Ξέρξε δ' ἀνδρι-

1 V. βαφικήν.

3 Mof. Duf. maluit ἀπεφεύγει. At cujus temporis forma haec fit, fateor me nefcire. An voluit ἀπεπεφεύγει?

3 V. γραφῶν.

4 Br. fufp. φησί, ut cohaereat cum γράφει γὰρ —.

5 Diod. *tria* tantum *millia* habet. Br.

ἀνδριάντα μέγαν θεασάμενος ὑπὸ πλήθȣς τῶν ὠθȣμένων εἰς τὰ βασίλεια πλημμελῶς ἀνατετραμμένον, ἐπέςη, καὶ καθάπερ ἔμψυχον προσαγορεύσας· Πότερόν σε, εἶπεν, διὰ τὴν ἐπὶ τȣ̀ς Ἕλληνας ςρατείαν κείμενον παρέλθωμεν, ἢ διὰ τὴν ἄλλην μεγαλοφροσύνην καὶ ἀρετὴν ἐγείρωμεν; τέλος δὲ, πολὺν χρόνον πρὸς ἑαυτῷ γενόμενος καὶ σιωπήσας, παρῆλθε. βȣλόμενος δὲ τȣ̀ς ςρατιώτας ἀναλαβεῖν (καὶ γὰρ ἦν χειμῶνος ὥρα) τέσσαρας μῆνας αὐτόθι διήγαγε [1]. λέγεται δὲ, καθίσαντος αὐτȣ̃ τὸ πρῶτον ὑπὸ τὸν χρυσȣ̃ν ȣ̓ρανίσκον ἐν τῷ βασιλικῷ θρόνῳ, τὸν Κορίνθιον Δημάρατον, εὔνȣν ὄντα ἄνδρα καὶ πατρῷον φίλον Ἀλεξάνδρȣ, πρεσβυτικῶς ἐπιδακρῦσαι, καὶ εἰπεῖν, ὡς μεγάλης ἡδονῆς ἐςεροῖντο τῶν Ἑλλήνων οἱ τεθνηκότες, πρὶν ἰδεῖν Ἀλέξανδρον ἐν τῷ Δαρείȣ θρόνῳ καθήμενον.

XXXVIII. Ἐκ τȣ́τȣ μέλλων ἐξελαύνειν ἐπὶ Δαρεῖον, ἔτυχε μὲν εἰς μέθην τινὰ καὶ παιδιὰν τοῖς ἑταίροις ἑαυτὸν δεδωκὼς, ὥςε καὶ γύναια συμπίνειν ἐπὶ κῶμον ἥκοντα πρὸς τȣ̀ς ἐραςάς. ἐν δὲ τȣ́τοις εὐδοκιμȣ̃σα μάλιςα Θαὶς, ἡ Πτολεμαίȣ, τȣ̃ βασιλεύσαντος ὕςερον, ἑταίρα, γένος Ἀττικὴ, τὰ μὲν ἐμμελῶς ἐπαινȣ̃σα, τὰ δὲ παίζȣσα πρὸς τὸν Ἀλέξανδρον, ἅμα τῇ μέθῃ λόγον εἰπεῖν προήχθη, τῷ μὲν τῆς πατρίδος ἤθει πρέποντα, μείζονα δ', ἢ κατ' αὐτήν. ἔφη γὰρ, ὧν πεπόνηκε πεπλανημένη [2], τὴν Ἀσίαν, ἀπολαμβάνειν χάριν ἐκείνης τῆς ἡμέρας, ἐντρυφῶσα τοῖς ὑπερηφάνοις Περσῶν βασιλείοις· ἔτι δ' ἂν ἥδιον ὑποπρῆσαι [3] κωμάσασα τὸν Ξέρξȣ τȣ̃ κατακαύσαντος τὰς Ἀθήνας οἶκον, αὐτὴ τὸ πῦρ ἅψασα, τȣ̃ βασιλέως ὁρῶντος· ὡς ἂν

1 V. ἤγαγε.

2 V. post h. v. inserit περὶ; uti & pro ἀπολαμβάνειν habet ἀπολαβών; pro seq. ἔτι dat ἔςι.

3 Sic a R. datum, est optativus. Vulgo ὑποπρῆσαι.

ἂν λόγον [1] ἔχῃ πρὸς ἀνθρώπες, ὅτι τῶν ναυμάχων καὶ πεζομάχων ἐκείνων ςρατηγῶν τὰ μετ' Ἀλεξάνδρε γύναια μείζονα δίκην ἐπέθηκε Πέρσαις ὑπὲρ τῆς Ἑλλάδος. ἅμα δὲ τῷ λόγῳ τέτῳ κρότε καὶ θορύβε γενομένε, καὶ παρακελεύσεως τῶν ἑταίρων καὶ φιλοτιμίας, ἐπισπαθεὶς ὁ βασιλεὺς καὶ ἀναπηδήσας, ἔχων ςέφανον καὶ λαμπάδα προῆγεν· οἱ δ' ἑπόμενοι κώμῳ καὶ βοῇ περιΐςαντο τὰ βασίλεια· καὶ τῶν ἄλλων Μακεδόνων οἱ πυνθανόμενοι συνέτρεχον μετὰ λαμπάδων χαίροντες. ἤλπιζον γὰρ, ὅτι τοῖς οἴκοι προσέχοντος ἐςὶ τὸν νὲν, καὶ μὴ μέλλοντος ἐν βαρβάροις οἰκεῖν, τὸ πιμπράναι τὰ βασίλεια καὶ διαφθείρειν. οἱ μὲν ὅτω [2] ταῦτα γενέσθαι φασὶν, οἱ δ' ἀπὸ γνώμης· ὅτι δ' ἒν μετενόησε ταχὺ καὶ κατασβέσαι προσέταξεν, ὁμολογεῖται.

XXXIX. Φύσει δ' ὢν μεγαλοδωρότατος, ἔτι μᾶλλον ἐπέδωκεν εἰς τἒτο τῶν πραγμάτων αὐξανομένων. καὶ προσῆν ἡ φιλοφροσύνη, μεθ' ἧς μόνης ὡς ἀληθῶς οἱ διδόντες χαρίζονται. μνησθήσομαι δ' ὀλίγων. Ἀρίςων, ὁ [3] τῶν Παιόνων ἡγέμενος, ἀποκτείνας πολέμιον ἄνδρα, καὶ τὴν κεφαλὴν ἐπιδειξάμενος αὐτῷ· Τἒτ', εἶπεν, ὦ βασιλεῦ, παρ' ἡμῖν ἐκπώματος χρυσἒ τιμᾶται τὸ δῶρον. ὁ δ' Ἀλέξανδρος γελάσας· Κενἒ γ', εἶπεν, ἐγὼ δέ σοι μεςὸν ἀκράτε προπίομαι [4]. τῶν δὲ πολλῶν τις Μακεδόνων ἤλαυνεν ἡμίονον, βασιλικὸν χρυσίον κομίζοντα· κάμνοντος δὲ τἒ κτήνες, αὐτὸς ἀράμενος ἐκόμιζε τὸ φορτίον. ἰδὼν ἒν ὁ βασιλεὺς θλιβόμενον αὐτὸν σφόδρα, καὶ πυθόμενος τὸ πρᾶγμα, μέλλοντος κατατίθεσθαι· Μὴ κάμῃς, εἶπεν, ἀλλὰ πρόσθες



1 Sic R. de suo dedit pro vulg. λόγος — *quo sibi liceat ad familiares haec jactare.* Br. susp. λόγος ἥκῃ.

2 i. e ἀπὸ τύχης, καὶ παρὰ τὴν αὐτἒ γνώμην, ἄκοντος αὐτἒ καὶ λεληθότως ἐπισπασθέντος. R.

3 Sic R. dedit cum Anon. & Cruser. Vulgo legitur ὀλίγων ἀρίςων. ὁ τῶν —

4 V. προπίωμαι.

ἔτι τὴν λοιπὴν ὁδὸν, ἐπὶ τὴν σκηνὴν σεαυτῷ τοῦτο κομίσας [1]. ὅλως δ' ἤχθετο τοῖς μὴ λαμβάνουσι μᾶλλον, ἢ τοῖς αἰτοῦσι. καὶ Φωκίωνι μὲν ἔγραψεν ἐπιστολὴν, ὡς οὐ χρησόμενος αὐτῷ φίλῳ τὸ λοιπὸν, εἰ διωθοῖτο τὰς χάριτας. Σεραπίωνι δὲ τῶν ἀπὸ σφαίρας τινὶ νεανίσκων οὐδὲν ἐδίδου, διὰ τὸ μηδὲν αἰτεῖν. ὡς οὖν εἰς τὸ σφαιρίζειν παραγενόμενος Σεραπίων, ἄλλοις ἔβαλε τὴν σφαῖραν· εἰπόντος δὲ τοῦ βασιλέως· Ἐμοὶ δ' οὐ δίδως; Οὐ γὰρ αἰτεῖς, εἶπε. τούτῳ μὲν δὴ γελάσας [2] πολλὰ δέδωκεν. Πρωτέᾳ δέ τινι τῶν περὶ σκώμματα καὶ πότον οὐκ ἀμούσων ἔδοξε δι' ὀργῆς γεγονέναι. τῶν δὲ φίλων δεομένων, κἀκείνου δακρύοντος, ἔφη διαλλάττεσθαι· κἀκεῖνος· Οὐκοῦν, εἶπεν, ὦ βασιλεῦ, δός τι μοι πιστὸν πρῶτον. ἐκέλευσεν οὖν αὐτῷ πέντε τάλαντα δοθῆναι. περὶ δὲ τῶν τοῖς φίλοις καὶ τοῖς σωματοφύλαξι νεμομένων πλούτων, ἡλίκον εἶχεν ὄγκον, ἐμφαίνει δι' ἐπιστολῆς Ὀλυμπιὰς, ἣν ἔγραψε πρὸς αὐτόν. Ἄλλως, φησὶν, εὖ ἐποίεις τοὺς φίλους καὶ ἔνδοξος ἐγένου [3]. νῦν δ' ἰσοβασιλέας πάντας ποιεῖς, καὶ πολυφιλίας παρασκευάζεις αὐτοῖς, σεαυτὸν δ' ἐρημοῖς. πολλάκις δὲ τοιαῦτα τῆς Ὀλυμπιάδος γραφούσης, ἐφύλαττεν ἀπόρρητα τὰ γράμματα. πλὴν ἅπαξ Ἡφαιστίωνος, ὥσπερ εἰώθει, λυθεῖσαν ἐπιστολὴν αὐτῷ συναναγινώσκοντος, οὐκ ἐκώλυσεν, ἀλλὰ τὸν δακτύλιον ἀφελόμενος τὸν αὐτοῦ, προσέθηκε τῷ ἐκείνου στόματι τὴν σφραγῖδα. Μαζαίου δὲ, τοῦ μεγίστου παρὰ Δαρείῳ γενομένου, παιδὶ, σατραπείαν ἔχοντι,

1 R. susp. κομίσαις, portabis.

2 Br. mavult pro his διαγελάσας.

3 R. hunc locum de suo sic dedit — *olim amicos tu beneficiis ornare solebas, ex eoque inclarescebas.* Junt. Ald. Crat. & Br. εὖ ποίει — ἄγε. Ex Steph. in Br. transiit οὐ ποίει. Quare in Cat. Var. ex Anon. enotatur εὖ ποίει. Pari modo Junt. Ald. Crat. Anon. ἐνδόξως. Reliquae edd. ἔνδοξος. V. ἐνδόξου. Paulo post Junt. εἰς βασιλέας; Ald. εἰσοβασ. Crat. autem & reliquae edd. ἰσοβασιλέας.

τι, δευτέραν προσετίθει μείζονα. παραιτȣ́μενος δ' ἐκεῖνος εἶπεν· Ὦ βασιλεῦ, τότε μὲν ἦν εἷς Δαρεῖος, νῦν δὲ σὺ πολλȣ̀ς πεποίηκας Ἀλεξάνδρȣς. Παρμενίωνι μὲν ȣ̓̂ν τὸν Βαγώȣ ἔδωκεν οἶκον, ἐν ᾧ λέγεται [τῶν περὶ Σȣ́σων [1],] χιλίων ταλάντων εὑρεθῆναι ἱματισμόν. πρὸς δ' Ἀντίπατρον ἔγραφε κελεύων ἔχειν φύλακας τȣ̃ σώματος, ὡς ἐπιβȣλευόμενον [2]. τῇ δὲ μητρὶ πολλὰ μὲν ἐδωρεῖτο καὶ κατέπεμπεν, ȣ̓κ εἴα δὲ πολυπραγμονεῖν, ȣ̓δὲ παραστρατηγεῖν· ἐγκαλȣ́σης δὲ, πρᾴως ἔφερε τὴν χαλεπότητα. πλὴν ἅπαξ ποτὲ μακρὰν Ἀντιπάτρȣ κατ' αὐτῆς γράψαντος ἐπιστολὴν ἀναγνȣ̀ς, ἀγνοεῖν εἶπεν Ἀντίπατρον, ὅτι μυρίας ἐπιστολὰς ἓν δάκρυον ἀπαλείφει μητρός.

XL. Ἐπεὶ δὲ τȣ̀ς περὶ αὐτὸν ἑώρα παντάπασιν ἐκτετρυφηκότας [3], καὶ φορτικȣ̀ς ταῖς διαίταις καὶ πολυτελείαις ὄντας, ὥστ' Ἄγνωνα μὲν τὸν Τήϊον ἀργυρȣ̃ς ἐν ταῖς κρηπῖσιν ἥλȣς φορεῖν, Λεοννάτῳ δὲ πολλαῖς καμήλοις ἀπ' Αἰγύπτȣ κόνιν εἰς τὰ γυμνάσια παρακομίζεσθαι, Φιλώτᾳ δὲ πρὸς θήρας σταδίων ἑκατὸν αὐλαίας γεγονέναι, μύρῳ δὲ χρωμένȣς ἰέναι [4] πρὸς ἄλειμμα καὶ λȣτρὸν, ὅσȣς ȣ̓δ' ἐλαίῳ, τρίπτας δὲ καὶ κατευναστὰς περιαγομένȣς, ἐπετίμησε πρᾴως καὶ φιλοσόφως, θαυμάζειν

V 3 φάμε-

1 R. has voces uncis inclusit. Cruser. vertit: ad cultum pertinentium, quasi legisset τῶν περισσῶν. V. τῶν περὶ Σȣ̃σα, quod Br. probat. Guarin. in quo rex Susiorum manubiis — Interpres Angl. *Susiana talenta.* Nostrates *Susianische Kleider.*

2 V. ἐπιβȣλευόμενος.

3 V. ἐκτετραφυκότας.

4 Mos. Dus. haec vox aut delenda videtur, aut in εἶναι vertenda, ut πρὸς ἄλ. κ. λ. ad χρωμένȣς pertineat, & sensus sit, unguento plures, quam oleo, uti ad balneum & exercitationes gymnasticas, non ad lavationes & unctiones. R. post ἐλαίῳ deesse videtur προτȣ̃ aut πρότερον, scil. χρωμένȣς ἤδη πρὸς λȣτρὸν ἰέναι, *quibus olim ne oleum quidem suppetisse norat, ad balneum euntibus.*

φάμενος, εἰ τοσούτους ἠγωνισμένοι καὶ τηλικούτους ἀγῶνας, οὐ μνημονεύουσιν, ὅτι τῶν καταπονηθένῖων [1] οἱ καταπονήσαντες ἥδιον καθεύδουσιν· οὐδ' ὁρῶσι, τοῖς [2] Περσῶν βίοις τοὺς ἑαυτῶν παραβάλλοντες, ὅτι δουλικώτατον μέν ἐστι τὸ τρυφᾶν, βασιλικώτατον δὲ [3] τὸ πονεῖν. Καίτοι πῶς ἄν τις, ἔφη, δι' ἑαυτοῦ θεραπεύσειεν ἵππον, ἢ λόγχην ἀσκήσειεν, ἢ κράνος, ἀπειθικὼς τοῦ φιλτάτου σώματος ἅπτεσθαι τὰς χεῖρας; Οὐκ ἴστε, εἶπεν, ὅτι τοῦ κρατεῖν πέρας [4] ἐστὶ τὸ μὴ ταὐτὰ ποιεῖν τοῖς κεκρατημένοις; Ἐπέτεινεν οὖν ἔτι μᾶλλον αὐτὸς ἑαυτὸν ἐν ταῖς στρατείαις καὶ ταῖς κυνηγεσίαις, κακοπαθῶν καὶ παραβαλλόμενος· ὥστε καὶ Λάκωνα πρεσβευτὴν παραγενόμενον αὐτῷ λέοντα καταβάλλοντι μέγαν εἰπεῖν· Καλῶς γ', Ἀλέξανδρε, πρὸς τὸν λέοντα ἠγώνισαι περὶ τᾶς [5] βασιλείας. Τοῦτο τὸ κυνήγιον Κρατερὸς εἰς Δελφοὺς ἀνέθηκεν, εἰκόνας χαλκᾶς ποιησάμενος τοῦ λέοντος καὶ τῶν κυνῶν, καὶ τοῦ βασιλέως τῷ λέοντι συνεστῶτος, καὶ αὐτοῦ προσβοηθοῦντος· ὧν τὰ μὲν Λύσιππος ἔπλασε, τὰ δὲ Λεωχάρης.

XLI. Ἀλέξανδρος μὲν οὖν ἑαυτὸν ἀσκῶν ἅμα καὶ τοὺς ἄλλους παροξύνων πρὸς ἀρετὴν ἐκινδύνευεν· οἱ δὲ φίλοι διὰ πλοῦτον καὶ ὄγκον ἤδη τρυφᾶν βουλόμενοι καὶ σχολάζειν, ἐβαρύνοντο τὰς πλάνας καὶ τὰς στρατείας, καὶ κατὰ μικρὸν οὕτω προῆλθον εἰς τὸ βλασφημεῖν καὶ κακῶς

1 Palmer. legi voluit ἀποπονηθέντων, — iis, qui a labore cessarunt, laborantes melius dormiunt. Mos. Dus. tuetur vulgatam, recte opponi, adnotans, *conficientes confectis*, ut gnavi ignavis, recteque dici melius dormire, qui confecerunt adversarium, quam qui ab adversario sunt confecti. Junt. Ald. Crat. καταπονουμένων.

2 V. ὅτι τοῖς.

3 V. καὶ τό.

4 Vulgo secundum Ald. post h. v. additur ἡμῖν. R. expunxit auctoritate Juntinae. De voce πέρας, an hoc sensu adhibeatur, dubius est Mos. Dus.

5 V. παρὰ τᾶς.

κακῶς λέγειν αὐτόν. ὁ δὲ καὶ πάνυ πρᾴως ἐν ἀρχῇ πρὸς ταῦτα διέκειτο, φάσκων βασιλικὸν εἶναι τὸ κακῶς ἀκούειν εὖ ποιοῦντα. καίτοι τὰ μὲν [1] μικρότατα τῶν γενομένων τοῖς συνήθεσι παρ' αὐτοῦ σημεῖα μεγάλης ὑπῆρχεν εὐνοίας καὶ τιμῆς· ὧν ὀλίγα παραθήσομαι. Πευκέστᾳ μὲν ἔγραψε [2], μεμφόμενος, ὅτι δηχθεὶς [3] ὑπ' ἄρκτου, τοῖς μὲν ἄλλοις ἔγραψεν, αὐτῷ δ' οὐκ ἐδήλωσεν. Ἀλλὰ νῦν γε, φησὶ, γράψον [τὸ [4]] πῶς ἔχεις, καὶ μή τίνες σε τῶν συγκυνηγετούντων ἐγκατέλιπον, ἵνα δίκην δῶσι. Τοῖς δὲ περὶ Ἡφαιστίωνα διὰ πράξεις τινὰς ἀποῦσιν ἔγραψεν, ὅτι, παιζόντων αὐτῶν [5] πρὸς ἰχνεύμονα, τῷ Περδίκκου δορατίῳ περιπεσὼν Κρατερὸς τοὺς μηροὺς ἐτρώθη. Πευκέστα δὲ σωθέντος ἔκ τινος ἀσθενείας, ἔγραψε πρὸς Ἀλέξιππον τὸν ἰατρὸν εὐχαριστῶν. Κρατεροῦ δὲ νοσοῦντος, ὄψιν ἰδὼν καθ' ὕπνον, αὐτός τε τινὰς θυσίας ἔθυεν ὑπὲρ αὐτοῦ, κἀκείνῳ θῦσαι ἐκέλευσεν. ἔγραψε δὲ καὶ Παυσανίᾳ τῷ ἰατρῷ, βουλομένῳ τὸν Κρατερὸν ἐλλεβορίσαι, τὰ μὲν ἀγωνιῶν, τὰ δὲ παραινῶν, ὅπως χρήσηται τῇ φαρμακείᾳ. τοὺς δὲ πρώτους τὴν Ἁρπάλου φυγὴν καὶ ἀπόδρασιν ἀπαγγείλαντας ἔδησεν, Ἐφιάλτην καὶ Κίσσον, ὡς καταψευδομένους τοῦ ἀνδρός. ἐπεὶ δὲ τοὺς ἀσθενοῦντας αὐτοῦ καὶ γέροντας εἰς οἶκον ἀπο-



1 Huic μὲν respondere δὲ, quod longo post intervallo init. cap. seq. legitur, monet R. Idem post συνήθεσι deesse censet γνωρισθέντα vel δηλωθέντα. — *Quod Alexander amicos certiores facere soleret per epistolas de rebus vel minimis, si quae aliis amicorum suorum evenissent, erat in eo magnae erga eos voluntatis honorisque delati significatio. — Quod autem ad ejusmodi quoque minutias in epistolis commemorandas descenderit, id vero mirandum est.*

2 V. ἔπεμψε.

3 Peucestem puta — αὐτῷ lin. seq. i. e. Alexandro.

4 R. uncis inclusit. Anon. habet τι, quod probat Br. At R. scribendum potius fuisse monet: γράφων, ὅπως τ' ἔχεις.

5 se, Alexandro, & amicis reliquis, ut Perdicca, Cratero &c.

στέλλοντος, Εὐρύλοχος Αἰγαῖος [1] ἀνέγραψεν ἑαυτὸν εἰς τοὺς νοσοῦντας, εἶτα φωραθεὶς ἔχων οὐδὲν κακὸν, ὡμολόγησε Τελεσίππας ἐρᾶν, καὶ συνεπακολουθεῖν ἐπὶ θάλασσαν ἀπιούσης ἐκείνης, ἠρώτησε, τίνων ἀνθρώπων ἐστὶ τὸ γύναιον. ἀκούσας δ', ὅτι τῶν ἐλευθέρων ἑταιρῶν· Ἡμᾶς μὲν, εἶπεν, ὦ Εὐρύλοχε, συνερῶντας ἔχεις· ὅρα δ', ὅπως πείθωμεν ἢ δώροις, ἢ λόγοις [2], τὴν Τελεσίππαν, ἐπειδήπερ ἐξ ἐλευθέρων [3] ἐστί.

XLII. Θαυμάσαι δὲ αὐτόν ἐστιν, ὅτι καὶ μέχρι τούτων ἐπιστέλλων [4] τοῖς φίλοις ἐσχόλασεν, οἷα γράφει, παῖδα Σελεύκου εἰς Κιλικίαν ἀποδεδρακότα κελεύων ἀναζητῆσαι, καὶ Πευκέσταν ἐπαινῶν, ὅτι Νίκωνα, Κρατεροῦ δοῦλον, συνέλαβε· καὶ Μεγαβύζῳ περὶ τοῦ θεράποντος τοῦ ἐν τῷ ἱερῷ καθεζομένου, κελεύων αὐτὸν, ἂν δύνηται, συλλαβεῖν ἔξω τοῦ ἱεροῦ προκαλεσάμενος, ἐν δὲ τῷ ἱερῷ μὴ προσάπτεσθαι. λέγεται δὲ καὶ τὰς δίκας διακρίνων ἐν ἀρχῇ τὰς θανατικὰς, τὴν χεῖρα τῶν ὤτων τῷ ἑτέρῳ προστιθέναι τοῦ κατηγόρου λέγοντος, ὅπως τῷ κινδυνεύοντι καθαρὸν φυλάττηται καὶ ἀδιάβλητον. ἀλλ' ὕστερόν γ' αὐτὸν ἐξετράχυναν αἱ πολλαὶ διαβολαὶ, διὰ τῶν ἀληθῶν παρόδων πίστιν [5] ἐπὶ τὰ ψευδῆ λαβοῦσαι. καὶ μάλιστα κακῶς ἀκούων, ἐξίστατο τοῦ φρονεῖν, καὶ χαλεπὸς ἦν καὶ ἀπαραίτητος, ἅτε δὴ τὴν δόξαν ἀντὶ τοῦ

ζῆν

1 V. Ἐγχαῖος. Sic quoque legi, testatur H. Steph.

2 Legi quoque ἢ λόγοις, ἢ ἔργοις, testis est H. Steph. praeferens tamen vulgatam. V. in cat. var. ed. Frft. ἢ ἔργοις, ἢ λόχοις, ed. Br. ἢ ἔργοις, ἢ λόγοις.

3 Sic R. cum Anon. dedit pro vulg. ἐλευθέρας.

4 Sic R. de suo dedit pro vulg. ἐπιστολῶν, cum quo insequens οἷα constare nequiret. Pro seq. ἐσχόλασεν non solum Junt. uti est in nota R. sed omnes Bryanea priores habent ἐσχόλαζεν.

5 R. legi vult aut διὰ τῶν ἀληθῶν πάροδον ἐπὶ τὰ ψευδῆ (i. e. ἐπὶ τὸ πιστεύεσθαι τὰ ψευδῆ) aut διὰ τῶν ἀληθῶν πίστιν. — Vulgatam ex duabus lectionibus colliquatis natam esse censet, cum in aliis libris fuerit πάροδον, in aliis πίστιν.

ζῆν καὶ τῆς βασιλείας ἠγαπηκώς. Τότε δὴ [1] ἐξήλαυνεν ἐπὶ Δαρεῖον, ὡς πάλιν μαχέμενος· ἀκέσας δὲ τὴν ὑπὸ Βήσσε γενομένην αὐτε σύλληψιν, ἀπέλυσε τὲς Θεσσαλὲς οἴκαδε, δισχίλια τάλαντα δωρεὰν ἐπιμετρήσας ταῖς μισθοφοραῖς. πρὸς δὲ τὴν δίωξιν ἀργαλέαν καὶ μακρὰν γενομένην [2] (ἕνδεκα γὰρ ἡμέραις ἱππάσατο τρισχιλίες καὶ τριακοσίες ςαδίες) ἀπηγόρευσαν μὲν οἱ πλεῖςοι, καὶ μάλιςα κατὰ [3] τὴν ἀνυδρίαν. ἔνθα δὴ Μακεδόνες τινὲς ἀπήντησαν αὐτῷ, ὕδωρ ἐν ἀσκοῖς ἐφ' ἡμιόνων κομίζοντες ἀπὸ τε ποταμε· καὶ θεασάμενοι τὸν Ἀλέξανδρον, ἤδη μεσημβρίας ὄσης, κακῶς ὑπὸ δίψες ἔχοντα; ταχὺ πλησάμενοι κράνος προσήνεγκαν. πυθομένε δ' αὐτε, τίσι κομίζοιεν. Υἱοῖς, ἔφασαν, ἰδίοις· ἀλλὰ σε ζῶντος, ἑτέρες ποιησόμεθα, κἂν ἐκείνες ἀπολέσωμεν. Ταῦτ' ἀκέσας, ἔλαβεν εἰς τὰς χεῖρας τὸ κράνος· περιβλέψας δὲ καὶ θεασάμενος τὲς περὶ αὐτὸν ἱππεῖς ἅπαντας ἐγκεκλικότας ταῖς κεφαλαῖς, καὶ πρὸς ποτὸν βλέποντας, ἀπέδωκεν [4], ἐ πιὼν, ἀλλ' ἐπαινέσας τὲς ἀνθρώπες· Ἂν γὰρ αὐτὸς, ἔφη, πίω μόνος, ἀθυμήσεσιν ἔτοι. θεασάμενοι δὲ τὴν ἐγκράτειαν αὐτε καὶ μεγαλοψυχίαν οἱ ἱππεῖς, ἄγειν ἀνέκραγον θαῤῥεντα, καὶ τὲς ἵππες ἐμάςιζον· ἔτε γὰρ κάμνειν, ἔτε διψᾶν, ἔθ' ὅλως θνητὲς εἶναι νομίζειν αὐτὲς, ἕως ἂν ἔχωσι βασιλέα τοιἔτον.

XLIII. Ἡ μὲν ἔν προθυμία πάντων ἦν ὁμοία, μόνες δέ φασιν ἑξήκοντα συνεκπεσεῖν εἰς τὸ ςρατόπεδον τῶν πολεμίων. ἔνθα δὴ πολὺν μὲν ἄργυρον καὶ χρυσὸν ἐῤῥιμμένον ὑπερβαίνοντες, πολλὰς δὲ παίδων καὶ γυναικῶν ἁρμαμάξας ἡνιόχων ἐρήμες διαφερομένας παρερχόμενοι,



1 Haec non satis cohaerere cum praemissis, monet R.
2 In omnibus Bryanea prioribus edd. γινομένην.
3 R. mavult διὰ aut παρά.
4 Sic cum V. Anon. & Iunt. dari voluit Mos. Duf. deditque R. pro vulg. ἐπέδωκεν, quod ex Ald. in reliquas transiit.

μενοι, τὺς πρώτυς ἐδίωκον, ὡς ἐν ἐκείνοις Δαρεῖον ὄντα. μόλις δ' εὑρίσκεται πολλῶν ἀκοντισμάτων κατάπλεως τὸ σῶμα, κείμενος ἐν ἁρμαμάξῃ, μικρὸν ἀπολείπων τῆ τελευτᾶν. ὅμως δὲ καὶ πιεῖν ᾔτησε [1], καὶ πιὼν ὕδωρ ψυχρὸν, εἶπε πρὸς τὸν δόντα Πολύςρατον· Ὦ ἄνθρωπε, τῦτό μοι πέρας γέγονε δυστυχίας ἁπάσης, εὖ παθεῖν, ἀμείψαθαι μὴ δυνάμενον· ἀλλ' Ἀλέξανδρος ἀποδώσει σοι τὴν χάριν· Ἀλεξάνδρῳ δ' οἱ θεοὶ, τῆς εἰς μητέρα καὶ γυναῖκα καὶ παῖδας τὺς ἐμὺς ἐπιεικείας, ᾧ ταύτην δίδωμι τὴν δεξιὰν διὰ σῦ. Ταῦτ' εἰπὼν καὶ λαβόμενος τῆς τῦ Πολυςράτυ χειρὸς ἐξέλιπεν. Ἀλέξανδρος δ' ὡς ἐπῆλθεν, ἀλγῶν τε τῷ πάθει φανερὸς ἦν, καὶ τὴν ἑαυτῦ χλαμύδα λύσας ἐπέβαλε τῷ σώματι, καὶ περιέςειλε. καὶ Βῆσσον μὲν ὕςερον εὑρὼν διεσφενδόνησεν, ὀρθίων δένδρων εἰς ταὐτὸ καμφθέντων ἑκατέρῳ μέρος [2] προσαρτήσας ῦ σώματος· εἶτα μεθεὶς ἑκάτερον, ὡς ὥρμητο ῥύμῃ φερόμενον, τὸ προσῆκον αὐτῷ μέρος νείμαθαι. τότε δὲ τῦ Δαρείυ τὸ μὲν σῶμα κεκοσμημένον βασιλικῶς πρὸς τὴν μητέρα ἀπέςειλε, τὸν δ' ἀδελφὸν Ἐξάθρην [3] εἰς τὺς ἑταίρυς ἀνέλαβεν.

XLIV. Αὐτὸς δὲ μετὰ τῆς ἀκμαιοτάτης δυνάμεως εἰς Ὑρκανίαν κατέβαινε [4]· καὶ πελάγυς ἰδὼν κόλπον, ὐκ ἐλάττονα μὲν τῦ Πόντυ φανέντα, γλυκύτερον δὲ τῆς ἄλλης θαλάττης, σαφὲς μὲν ὐδὲν ἔχε πυθέθαι περὶ αὐτῦ, μάλιςα δ' εἴκασε, τῆς Μαιώτιδος λίμνης ἀνακοπὴν εἶναι. καίτοι τὺς γε φυσικὺς ἄνδρας ὐκ ἔλαθε τἀληθὲς, ἀλλὰ πολλοῖς ἔτεσιν ἔμπροθεν τῆς Ἀλεξάνδρυ ςρατείας ἱςορήκασιν, ὅτι τεσσάρων κόλπων εἰσεχόντων

1 V. ἤπειγε.
2 V. μέρει.
3 Apud Curt. & Diodor. dicitur Ὀξάθρης.
4 Iunt. κατέλαβεν, quod ferri posse monet R. in sensu *veniendi*, quo posteriori Graecitati in usu fuerit.

των ἀπὸ τῆς ἔξω θαλάσσης βορειότατος ἐστός ἐςι, τό Ὑρκάνιον πέλαγος καὶ Κάσπιον ὁμοῦ προσαγορευόμενον. ἐνταῦθα τῶν βαρβάρων τινὲς ἀπροσδοκήτως περιτυχόντες τοῖς ἄγουσι τὸν ἵππον αὐτοῦ, τὸν Βουκεφάλαν, λαμβάνουσιν. ὁ δ' ἤνεγκεν οὐ μετρίως, ἀλλὰ κήρυκα πέμψας, ἠπείλησε πάντας ἀποκτενεῖν μετὰ τέκνων καὶ γυναικῶν, εἰ τὸν ἵππον αὐτῷ μὴ ἀναπέμψειαν. ἐπεὶ δὲ καὶ τὸν ἵππον αὐτῷ ἄγοντες ἧκον, καὶ τὰς πόλεις ἐγχειρίζοντες, ἐχρήσατο φιλανθρώπως πᾶσι, καὶ τοῦ ἵππου λύτρα τοῖς λαβοῦσιν ἔδωκεν.

XLV. Ἐντεῦθεν εἰς τὴν Παρθικὴν ἀναζεύξας καὶ σχολάζων, πρῶτον ἐνεδύσατο τὴν βαρβαρικὴν στολὴν, εἴτε βουλόμενος αὐτὸν συνοικειοῦν [1] τοῖς ἐπιχωρίοις νόμοις, ὡς μέγα πρὸς ἐξημέρωσιν ἀνθρώπων τὸ σύνηθες καὶ ὁμόφυλον· εἴτ' ἀπόπειρά τις ὑφεῖτο τῆς προσκυνήσεως αὕτη τοῖς Μακεδόσι, κατὰ μικρὸν ἀναχέσθαι τὴν ἐκδιαίτησιν αὐτοῦ καὶ μεταβολὴν ἐθιζομένοις. οὐ μὴν τήν γε Μηδικὴν προσήκατο παντάπασιν, βαρβαρικὴν καὶ ἀλλόκοτον οὖσαν, οὐδ' ἀναξυρίδας, οὐδὲ κάνδυν, οὐδὲ τιάραν ἔλαβεν, ἀλλ' ἐν μέσῳ τινὰ τῆς Περσικῆς καὶ τῆς Μηδικῆς μιξάμενος εὖ πως, ἀτυφοτέραν μὲν ἐκείνης [2], ταύτης δὲ σοβαρωτέραν οὖσαν. ἐχρῆτο δὲ τὸ μὲν πρῶτον ἐντυγχάνων τοῖς βαρβάροις καὶ τοῖς ἑταίροις κατ' οἶκον, εἶτα τοῖς πολλοῖς οὕτως ἐξελαύνων καὶ χρηματίζων ἑωρᾶτο. καὶ λυπηρὸν μὲν ἦν τοῖς Μακεδόσι τὸ θέαμα· τὴν δ' ἄλλην αὐτοῦ θαυμάζοντες ἀρετὴν, ᾤοντο δεῖν ἔνια τῶν πρὸς ἡδονὴν αὐτῷ καὶ δόξαν ἐπιχωρεῖν. ὅς γε πρὸς ἅπασι τοῖς ἄλλοις, ἔναγχος τόξευμα μὲν εἰς τὴν κνήμην λαβὼν, ὑφ' οὗ τῆς κερκίδος ὀστέον ἀποθραυσθὲν ἐξέπεσε, λίθῳ δὲ πληγεὶς πάλιν εἰς τὸν τράχηλον, ὥστε καὶ ταῖς ὄψεσιν ἀχλὺν ὑποδραμεῖν, παραμείνασαν οὐκ ὀλίγον χρόνον, ὅμως οὐκ ἐπαύετο χρώμενος

1 V. συνοικεῖν.
2 ἐκείνης redit ad Mediеam vestem, ταύτης ad Persicam. R.

νος ἑαυτῷ πρὸς τὰς κινδύνας ἀφειδῶς, ἀλλὰ καὶ τὸν Ὀρεξάρτην διαβὰς ποταμὸν, ὃν αὐτὸς ᾤετο Τάναϊν εἶναι, καὶ τὰς Σκύθας τρεψάμενος, ἐδίωξεν ἐπὶ ςαδίας ἑκατὸν, ἐνοχλέμενος ὑπὸ διαῤῥοίας.

XLVI. Ἐνταῦθα δὲ πρὸς αὐτὸν ἀφικέσθαι τὴν Ἀμαζόνα οἱ πολλοὶ λέγεσιν, ὧν καὶ Κλείταρχός ἐςι καὶ Πολύκριτος, καὶ Ὀνησίκριτος, καὶ Ἀντιγένης, καὶ Ἴςρος· Ἀριςόβελος δὲ, καὶ Χάρης ὁ εἰσαγγελεὺς [1], καὶ Πτολεμαῖος, καὶ Ἀντικλείδης, καὶ Φίλων ὁ Θηβαῖος, καὶ Φίλιππος ὁ εἰσαγγελεύς· πρὸς δὲ τέτοις Ἑκαταῖος ὁ Ἐρετριεὺς, καὶ Φίλιππος ὁ Χαλκιδεὺς, καὶ Δᾶρις ὁ Σάμιος, πλάσμα φασὶ γεγονέναι τῦτο. καὶ μαρτυρεῖν αὐτοῖς ἔοικεν Ἀλέξανδρος. Ἀντιπάτρῳ γὰρ ἅπαντα γράφων ἀκριβῶς, τὸν μὲν Σκύθην φησὶν αὐτῷ διδόναι τὴν θυγατέρα πρὸς γάμον, Ἀμαζόνος δ' ὀ μνημονεύει. λέγεται δὲ πολλοῖς χρόνοις Ὀνησίκριτος ὕςερον ἤδη βασιλεύοντι Λυσιμάχῳ τῶν βιβλίων τὸ τέταρτον ἀναγινώσκειν, ἐν ᾧ γέγραπται περὶ τῆς Ἀμαζόνος· τὸν ἂν Λυσίμαχον ἀτρέμα μειδιάσαντα, καὶ πᾶ, φάναι, τότ' ἤμην ἐγώ; ταῦτα μὲν ἂν ἄν τις ἄτ' ἀπιςῶν, ἧττον, ἄτε πιςεύων, μᾶλλον Ἀλέξανδρον θαυμάσειε.

XLVII. Φοβέμενος δὲ τὰς Μακεδόνας, μὴ εἰς τὰ ὑπόλοιπα τῆς ςρατείας ἀπαγορεύσωσι, τὸ μὲν ἄλλο πλῆθος εἴασε κατὰ χώραν. τὰς δ' ἀρίςας ἔχων ἐν Ὑρκανίᾳ μεθ' ἑαυτᾶ, δισμυρίας πεζὰς καὶ τρισχιλίας ἱππεῖς, προσέβαλε, λέγων [2], ὡς νῦν μὲν αὐτὰς ἐνύπνιον τῶν βαρβάρων ὁρώντων· ἂν δὲ μόνον ταράξαντες τὴν Ἀσίαν

1 Dacer. h. l. & paulo post Θεαγγελεύς legit, Holstenii & Reinesii emendationem secutus. Sic & vertunt Nostrates — *aus Theangela.*

2 Non placet haec dictio Mosi Duf. Mavult προσέβαλε λόγον. R. tuetur vulgatam, ut bene habentem — *adortus eos est hac oratione.* Anon. προσέλαβε. Iunt. ἔλαβε.

Ἀσίαν ἀπίωσιν, ἐπιθησομένων εὐθὺς ὥσπερ γυναιξίν. ἐ μὴν ἀλλ' ἀπιέναι γε [1] τὲς βελομένες ἔφη, καὶ μαρτυράμενος [2], ὅτι τὴν οἰκεμένην τοῖς Μακεδόσι κτώμενος ἐγκαταλέλειπται μετὰ τῶν φίλων καὶ τῶν ἐθελόντων [3] στρατεύειν. ταῦτα σχεδὸν αὐτοῖς ὀνόμασιν ἐν τῇ πρὸς Ἀντίπατρον ἐπιστολῇ γέγραπται, καὶ ὅτι, ταῦτ εἰπόντος αὐτῦ, πάντες ἐξέκραγον, ὅπε βέλεται τῆς οἰκεμένης ἄγειν. δεξαμένων δὲ τέτων τὴν πεῖραν, ἐκ ἔτ' ἦν χαλεπὸν προαχθῆναι τὸ πλῆθος [4], ἀλλὰ ῥᾳδίως ἐπηκολέθησεν. ἕτω δὴ καὶ τὴν δίαιταν ἔτι μᾶλλον ὡμοίε τε [5] τοῖς ἐπιχωρίοις ἑαυτὸν, ἐκεῖνά τε προσῆγε τοῖς Μακεδονικοῖς ἔθεσιν, ἀνακράσει καὶ κοινωνίᾳ μᾶλλον δι' εὐνοίας καταστήσεσθαι τὰ πράγματα νομίζων, ἢ βίᾳ, μακρὰν ἀπαίροντος αὐτῦ. διὸ καὶ τρισμυρίες παῖδας ἐπιλεξάμενος [6], ἐκέλευσε γράμματά τε μανθάνειν Ἑλληνικὰ, καὶ Μακεδονικοῖς ὅπλοις ἐντρέφεσθαι, πολλὲς ἐπιστάτας καταστήσας [7]. καὶ τὰ περὶ Ῥωξάνην ἔρωτι μὲν ἐπράχθη, καλὴν καὶ ὡραίαν ἔν τινι χρόνῳ [8] παρὰ

1 Anon. ἀφεῖναί γε. V. ἀπιόναί τε in ind. Frft. — ἀπιέναι ἔφη R. docente idem est ac ἐκέλευεν ἀπιέναι, aut ad ἀπιέναι subauditur δύνασθαι, δεῖν ἐᾷν.

2 Br. susp. καταμαρτυράμενος pro καὶ μαρτ. Anon. ἐπιμαρτυράμενος omissis ἔφη καί. R. nihil mutandum censet — *volentibus abeundi copiam se facere ajebat*, καὶ — item hoc ajebat (subaudiendo ἔφη) μαρτυράμενος, *deos contestatus*.

3 Br. melius scribi censet ἐθελοντῶν.

4 R. susp. καὶ τὸ πλ.

5 Sic R. de suo dedit pro vulg. ὡμοιῦτο. In seq. V. ἐκεῖναί τε pro ἐκεῖνά τε.

6 Junt. Ald. Crat. ἐπιδεξάμενος.

7 καταστήσας deest Junt. In seq. H. Steph. monet, nisi Plut. saepe particulas initio periodi omitteret, dicendum fuisse, ἀλλὰ καὶ τὰ π. Ῥ. vel ὁμοίως δὲ καὶ τὰ &c. vel καὶ τὰ π. Ῥ. δὲ ἔρ.

8 Anon. ἐν χορτάνε. Br. & Mos. Dus. susp. hanc lectionem alludere ad Χορτακάνα πόλιν, de qua apud Diodor. vel ad *Artacana* Ammiani, nisi hic mavis legere ἐν Ἀρτικήνῃ.

παρὰ πότον ὀφθεῖσαν· ἔδοξε δ' ἐκ ἀνάρμοςα τοῖς ὑποκειμένοις εἶναι πράγμασιν. ἐθάῤῥησαν γὰρ οἱ βάρβαροι τῇ κοινωνίᾳ τᾶ γάμα, καὶ τὸν Ἀλέξανδρον ὑπερηγάπησαν, ὅτι σωφρονέςατος περὶ ταῦτα γεγονὼς, ἐδ' ἧς μόνης ἡτἰήθη γυναικὸς ἄνευ νόμα θίγειν ὑπέμεινεν. ἐπεὶ δὲ καὶ τῶν φίλων ἑώρα τῶν μεγίςων Ἡφαιςίωνα μὲν ἐπαινᾶντα καὶ συμμετακοσμάμενον αὐτῷ, Κρατερὸν δὲ τοῖς πατρίοις ἐμμένοντα· δι' ἐκείνα μὲν ἐχρημάτιζε τοῖς βαρβάροις, διὰ τᾶτα δὲ τοῖς Ἕλλησι καὶ τοῖς Μακεδόσι· καὶ ὅλως, τὸν μὲν ἐφίλει μάλιςα, τὸν δ' ἐτίμα· νομίζων καὶ λέγων ἀεὶ, τὸν μὲν Ἡφαιςίωνα φιλαλέξανδρον εἶναι, τὸν δὲ Κρατερὸν φιλοβασιλέα. διὸ καὶ πρὸς ἀλλήλας ὑπέλως ἔχοντες συνέκρασν πολλάκις. ἅπαξ δὲ περὶ τὴν Ἰνδικὴν καὶ εἰς χεῖρας ἦλθον, σπασάμενοι τὰ ξίφη· καὶ τῶν φίλων ἑκατέρῳ παραβοηθάντων, προσελάσας Ἀλέξανδρος ἐλοιδόρει τὸν Ἡφαιςίωνα φανερῶς, ἔμπληκτον καλῶν καὶ μαινόμενον, εἰ μὴ συνίησιν, ὡς, ἐάν τις αὐτᾶ τὸν Ἀλέξανδρον ἀφέληται, μηδέν ἐςιν. ἰδίᾳ δὲ καὶ τᾶ Κρατερᾶ πικρῶς καθήψατο· καὶ συναγαγὼν αὐτὰς καὶ διαλλάξας, ἐπώμοσε τὸν Ἄμμωνα καὶ τὰς ἄλλας θεὰς, ἦ μὴν μάλιςα φιλεῖν ἀνθρώπων ἁπάντων ἐκείνας. ἂν δὲ πάλιν αἴσθηται διαφερομένας, ἀποκτενεῖν ἀμφοτέρας, ἢ τὸν ἀρξάμενον. ὅθεν ὕςερον ἀδὲ παίζοντες εἰπεῖν τι, ἀδὲ πρᾶξαι πρὸς ἀλλήλας λέγονται.

XLVIII. Φιλώτας δ' ὁ Παρμενίωνος ἀξίωμα μὲν εἶχεν ἐν τοῖς Μακεδόσι μέγα. καὶ γαρ ἀνδρεῖος ἐδόκει καὶ καρτερικὸς εἶναι· φιλόδωρος δ' ἄτω [1] καὶ φιλέταιρος μετ' αὐτὸν Ἀλέξανδρον ἀδείς. λέγεται δ' ἂν, ὅτι, τῶν συνήθων τινὸς αἰτᾶντος ἀργύριον, ἐκέλευσε δᾶναι· φήσαντος δὲ τᾶ διοικητᾶ μὴ ἔχειν· Τί λέγεις; εἶπεν, ἀδὲ ποτήριον ἔχεις, ἀδ' ἱμάτιον; ὄγκῳ δὲ φρονήματος

καὶ

1 deest ἄτω Junt. Quodsi probetur, R. pone φιλέταιρος addendum censet ὡς.

καὶ βάρει πλέτε, καὶ τῇ περὶ τὸ σῶμα θεραπείᾳ καὶ διαίτῃ χρώμενος ἐπαχθέςερον, ἢ κατ' ἰδιώτην, καὶ τότε δὴ τὸ σεμνὸν καὶ ὑψηλὸν ἐκ ἐμμελῶς, ἀλλ' ἄνευ χαρίτων τῷ σολοίκῳ καὶ παρασήμῳ μιμέμενος, ὑποψίαν καὶ Φθόνον ἔχεν· ὥςε καὶ Παρμενίωνα ποτ' εἰπεῖν πρὸς αὐτόν· Ὦ παῖ, χείρων μοι γίνε. πρὸς δ' αὐτὸν Ἀλέξανδρον ἐκ πάνυ πολλῶν χρόνων ἐτύγχανε διαβεβλημένος. ὅτε γὰρ τὰ περὶ Δαμασκὸν ἑάλω χρήματα, Δαρεία νικηθέντος ἐν Κιλικίᾳ, πολλῶν σωμάτων κομισθέντων εἰς τὸ ςρατόπεδον, εὑρέθη γύναιον ἐν τοῖς αἰχμαλώτοις, τῷ μὲν γένει Πυδναῖον, εὐπρεπὲς δὲ τὴν ὄψιν· ἐκαλεῖτο δ' Ἀντιγόνη. τἔτ' ἔχεν ὁ Φιλώτας· οἷα δὲ νέος πρὸς ἐρωμένην, καὶ σὺν οἴνῳ πολλὰ Φιλότιμα καὶ ςρατιωτικὰ παῤῥησιαζόμενος, ἑαυτἕ τὰ μέγιςα τῶν ἔργων ἀπέφαινε καὶ τἕ πατρός· Ἀλέξανδρον δὲ μειράκιον ἀπεκάλει, δι' αὐτὲς τὸ τῆς ἀρχῆς ὄνομα καρπέμενον. ταῦτα τῆς γυναικὸς ἐκΦερέσης πρός τινα τῶν συνήθων, ἐκείνε δ', ὡς εἰκὸς, πρὸς ἕτερον, περιῆλθεν εἰς Κρατερὸν ὁ λόγος· καὶ λαβὼν τὸ γύναιον, εἰσήγαγε κρύφα πρὸς Ἀλέξανδρον. ἀκέσας δ' ἐκεῖνος, ἐκέλευσε Φοιτᾷν εἰς ταὐτὸ τῷ Φιλώτᾳ, καὶ πᾶν, ὅ τι ἂν ἐκπύθηται, τἕτο πρὸς αὐτὸν ἀπαγγέλλειν βαδίζεσαν.

XLIX. Ὁ μὲν ἒν Φιλώτας ἐπιβελευόμενος ἕτως ἠγνόει, καὶ συνῆν τῇ Ἀντιγόνῃ, πολλὰ καὶ [1] πρὸς ὀργὴν καὶ μεγαλαυχίαν κατὰ τἕ βασιλέως ῥήματα καὶ λόγες ἀνεπιτηδείες προϊέμενος. ὁ δ' Ἀλέξανδρος, καίπερ καρτερᾶς ἐνδείξεως κατὰ τἕ Φιλώτε προσπεσέσης, ἐκαρτέρησε σιωπῇ καὶ κατέχεν, εἴτε θαῤῥῶν τῇ Παρμενίωνος εὐνοίᾳ πρὸς αὐτὸν, εἴτε δεδιὼς τὴν δόξαν αὐτῶν καὶ τὴν δύναμιν. ἐν δὲ τῷ τότε χρόνῳ Μακεδὼν, ὄνομα

1 R. aut hoc καὶ delendum cenſet, aut ad ſeq. καὶ addendum πρὸς.

μα Λίμνος [1], ἐκ Χαλαίςρας [2], [χαλεπῶς] ἐπιβȣλεύων Ἀλεξάνδρῳ, Νικόμαχόν τινα τῶν νέων, πρὸς ὃν αὐτὸς ἐρωτικῶς εἶχεν, ἐπὶ τὴν κοινωνίαν τῆς πράξεως παρεκάλει. τȣ͂ δὲ μὴ δεξαμένȣ, φράσαντος δὲ τἀδελφῷ Βαλείνῳ [3] τὴν πεῖραν, ἐλθὼν ἐκεῖνος πρὸς Φιλώταν, ἐκέλευσεν εἰσάγειν αὐτȣ̀ς [4] πρὸς Ἀλέξανδρον, ὡς περὶ ἀναγκαίων ἔχοντας ἐντυχεῖν καὶ μεγάλων. ὁ δ' [5] ὅ τι δὴ παθὼν (ἄδηλον γάρ ἐςιν) ȣ̓ παρῆγεν αὐτȣ̀ς, ὡς πρὸς ἄλλοις μείζοσι γιγνομένȣ τȣ͂ βασιλέως. καὶ τȣ͂το δὶς ἐποίησεν [6]. οἱ δὲ καθ' ὑποψίαν [7] ἤδη τȣ͂ Φιλώτȣ τραπόμενοι πρὸς ἕτερον [8], καὶ δι' ἐκείνȣ τῷ Ἀλεξάνδρῳ προσαχθέντες, πρῶτον μὲν τὰ τȣ͂ Λίμνȣ κατεῖπον, ἔπειτα παρεδήλωσαν ἡσυχῇ τὸν Φιλώταν, ὡς ἀμελήσειεν αὐτῶν δὶς ἐντυχόντων. καὶ τȣ͂το δὴ σφόδρα παρώξυνε τὸν Ἀλέξανδρον· καὶ τȣ͂ πεμφθέντος ἐπὶ τὸν Λίμνον, ὡς ἠμύνετο [9] συλλαμβανόμενος, ἀποκτείναντος αὐτὸν, ἔτι μᾶλλον διεταράχθη, τὸν ἔλεγχον ἐκπεφευγέναι τῆς ἐπιβȣλῆς νομίζων. καὶ πικρῶς ἔχων πρὸς τὸν Φιλώταν, ἐπεσπάσατο [10] τȣ̀ς πάλαι μισȣ͂ντας αὐτὸν, ἤδη φανερῶς λέγοντας, ὡς ῥᾳθυμία τȣ͂ βασιλέως εἴη, Λίμνον οἰομένȣ, Χαλαιςραῖον ἄνθρωπον, ἐπιχειρῆσαι τολμήματι τοσȣ́τῳ καθ' αὐτόν· ἀλλὰ τȣ͂τον μὲν ὑπηρέτην εἶναι, μᾶλλον δ' ὄργανον ἀπὸ μείζονος ἀρχῆς ἀφι-

1 apud Curt. & Diodor. *Dymnus*.

2 V. πυλίςρας. Seq. χαλεπῶς R. uncis inclusit, ut delendum & vitiose iteratum ex voce praecedente. Moses Duf. suspicabatur, aliquid excidisse.

3 Curt. & Diodor. *Cebalinum* vocant. Anon. Κεβαλίνῳ.

4 Quae sequuntur πρὸς Ἀλ. usque ad ὁ δ' ὅ τι omisit Junt.

5 V. ὁ δὲ Φιλώτας.

6 Sic ex H. Steph. conjectura R. dedit. Vulgo ἐποίησαν.

7 Sic ex Br. conjectura R. dedit. Vulgo ὑπεροψίαν.

8 V. Μέτριον. Anon. Μέτρωνα. Nomen proprium desiderari, susp. Br. & Mos. Duf. — *Metrona* habet Curtius.

9 V. ἠμύνατο.

10 Post h. v. V. inserit πρὸς.

ἀφικόμενον [1]. ἐν ἐκείνοις δὲ τὴν ἐπιβουλὴν ζητητέον, οἷς μάλιστα ταῦτα λανθάνειν συνέφερε. τοιούτοις λόγοις καὶ ὑπονοίαις ἀναπετάσαντος [2] τὰ ὦτα τοῦ βασιλέως, ἐπῆγον ἤδη μυρίας κατὰ τοῦ Φιλώτου διαβολάς. ἐκ τούτου δὲ συλληφθεὶς ἀνεκρίνετο, τῶν ἑταίρων [3] ἐφεστώτων ταῖς βασάνοις, Ἀλεξάνδρου δὲ κατακούοντος ἔξωθεν, αὐλαίας παρατεταμένης· ὅτε δὴ καί φασιν αὐτὸν εἰπεῖν, οἰκτρὰς καὶ ταπεινὰς τοῦ Φιλώτου φωνὰς καὶ δεήσεις τοῖς περὶ τὸν Ἡφαιστίωνα προσφέροντος· Οὕτω δὴ μαλακὸς ὤν, ὦ Φιλώτα, καὶ ἄνανδρος, ἐπεχείρεις πράγμασι τηλικούτοις; ἀποθανόντος δὲ τοῦ Φιλώτα, καὶ Παρμενίωνα, πέμψας εὐθὺς εἰς Μηδίαν, ἀνεῖλεν, ἄνδρα πολλὰ μὲν Φιλίππῳ συγκατεργασάμενον, μόνον δ', ἢ μάλιστα τῶν πρεσβυτέρων φίλων, Ἀλέξανδρον εἰς Ἀσίαν ἐξορμήσαντα διαβῆναι· τριῶν δ' υἱῶν, οὓς ἔσχεν, ἐπὶ τῆς στρατιᾶς [4] δύο μὲν ἐπιδόντα πρότερον ἀποθανόντας, τῷ δὲ τρίτῳ συναναιρεθέντα. ταῦτα [5] πραχθέντα πολλοῖς τῶν φίλων φοβερὸν ἐποίησε τὸν Ἀλέξανδρον, μάλιστα δ' Ἀντιπάτρῳ· καὶ πρὸς Αἰτωλοὺς ἔπεμψε κρύφα, πίστεις διδοὺς καὶ λαμβάνων. ἐφοβοῦντο γὰρ Ἀλέξανδρον Αἰτωλοὶ διὰ τὴν Οἰνιαδῶν ἀνάστασιν, ἣν πυθόμενος, οὐκ Οἰνιαδῶν ἔφη παῖδας, ἀλλ' αὐτὸν ἐπιθήσειν δίκην Αἰτωλοῖς.

L. Οὐ πολλῷ δ' ὕστερον συνηνέχθη καὶ τὰ περὶ Κλεῖτον, οὕτω μὲν ἁπλῶς πυθομένοις τῶν κατὰ Φιλώτα ἀγριώτερα, λόγῳ μέντοι συντιθέντες ἅμα καὶ τὴν αἰτίαν

1 Teste H. Steph. legitur etiam ἀφιέμενον. Sic & V.

2 Sic Mos. Dus. cum Anon. scribi voluit, deditque R. pro vulg. ἀναπετάσαντες.

3 Anon. ἐχθρῶν.

4 R. mavult ἐπὶ ταῖς στρατείαις, in diversis conflictibus. Idem mutavit distinctionem, cum vulgo sic datur οὓς ἔσχεν ἐπὶ τῆς στρατιᾶς.

5 R. quaerit, num ταῦτα οὕτω πραχθέντα?

αἰτίαν καὶ τὸν καιρὸν, ἐκ ἀπὸ γνώμης, ἀλλα δυςυχίᾳ τινὶ ταῦτα εὑρίσκοντες [1] πεπραγμένα τῦ βασιλέως, ὀργὴν καὶ μέθην πρόφασιν τῷ Κλείτῳ δαίμονι [2] παρασχόντος. ἐπράχθη δὲ ὕτως. ἧκόν τινες ὀπώραν Ἑλληνικὴν ἀπὸ θαλάσσης τῷ βασιλεῖ κομίζοντες. ὁ δὲ θαυμάσας τὴν ἀκμὴν καὶ τὸ κάλλος ἐκάλει τὸν Κλεῖτον, ἐπιδεῖξαι καὶ μεταδῦναι βυλόμενος. ὁ δὲ θύων μὲν ἐτύγχανεν, ἀφεὶς δὲ τὴν θυσίαν ἐβάδιζε, καὶ τρία τῶν κατεσπεισμένων προβάτων ἐπηκολύθησεν αὐτῷ. πυθόμενος δ' ὁ βασιλεὺς, ἀνεκοινῦτο τοῖς μάντεσιν, Ἀριςάνδρῳ καὶ Κλεομάντει τῷ Λάκωνι. φησάντων δὲ, πονηρὸν εἶναι τὸ σημεῖον, ἐκέλευσεν ἐκθύσασθαι κατὰ τάχος ὑπὲρ τῦ Κλείτυ. καὶ γὰρ αὐτὸς ἡμέρᾳ τρίτῃ κατὰ τὺς ὕπνυς εἶδεν ὄψιν ἄτοπον· δόξαι γὰρ αὐτῷ τὸν Κλεῖτον μετὰ τῶν Παρμενίωνος υἱῶν ἐν μέλασιν ἱματίοις καθέζεσθαι, τεθνηκότων ἁπάντων. ὐ μὴν ἔφθασεν ὁ Κλεῖτος ἐκθυσάμενος, ἀλλ' εὐθὺς ἐπὶ τὸ δεῖπνον ἧκε, τεθυκότος τῦ βασιλέως Διοσκόροις. πότε δὲ νεανικῦ συῤῥαγέντος, ᾔδετο ποιήματα Πρανίχυ τινὸς, ὡς δέ φασιν ἔνιοι, Πιερίωνος, εἰς τὺς ςρατηγὺς πεποιημένα τὺς ἔναγχος ἡττημένυς ὑπὸ τῶν βαρβάρων ἐπ' αἰσχύνῃ καὶ γέλωτι. τῶν δὲ πρεσβυτέρων δυσχεραινόντων, καὶ λοιδορύντων τόν τε ποιητὴν καὶ τὸν ᾄδοντα, τῦ δ' Ἀλεξάνδρυ καὶ τῶν περὶ αὐτὸν ἡδέως ἀκροωμένων, καὶ λέγειν κελευόντων, ὁ Κλεῖτος ἤδη μεθύων, καὶ φύσει τραχὺς ὢν καὶ [3] αὐθάδης, ἠγανάκτει μάλιςα, φάσκων, ὐ

1 Anon. εὑρίσκομεν. Br. fufp. εὑρίσκοιεν. R. obfervat, fi fervetur vulgata, neceffe effe fufpicari, poft βασιλέως deeffe συγγνώμην ἕξυσιν — *veniam dabunt Alexandro, quod iracundiam a vino inflammatam praebuerit excufationem, qua placari poffit Cliti genius* — aut *quod Cliti iracundiam & temulentiam praebuerit genio ejusdem materiam in ipfum faeviendi, diritatemque fuae malevolentiae in ipfo exferendi.*

2 Anon. θανάτῳ δαίμονος pro δαίμονι.

3 V. ἂν ὀργὴν καὶ.

ὀ καλῶς ἐν βαρβάροις καὶ πολεμίοις ὑβρίζεσθαι Μακεδόνας πολὺ βελτίονας τῶν γελώντων, εἰ καὶ δυστυχίᾳ κέχρηνται. Φήσαντος δὲ τῦ Ἀλεξάνδρυ, τὸν Κλεῖτον αὑτῷ συνηγορεῖν, δυστυχίαν ἀποφαίνοντα τὴν δειλίαν, ἐπαναστὰς ὁ Κλεῖτος· Αὕτη μέντοι σε, εἶπεν, ἡ δειλία, τὸν ἐκ θεῶν, ἤδη τῷ Σπιθριδάτυ ξίφει τὸ νῶτον ἐντρέποντα [1] περιεποίησε· καὶ τῷ Μακεδόνων αἵματι καὶ τοῖς τραύμασι τύτοις ἐγένυ τηλικῦτος, ὥστ' Ἄμμωνι σαυτὸν εἰσποιεῖν ἀπειπάμενος Φίλιππον.

LI. Παροξυνθεὶς ὖν ὁ Ἀλέξανδρος· Ἦ ταῦτ', εἶπεν, ὦ κακὴ κεφαλὴ, σὺ περὶ ἡμῶν ἑκάστοτε λέγων, καὶ διαστασιάζων Μακεδόνας, χαιρήσειν νομίζεις; Ἀλλ' ὐδὲ νῦν, ἔφη, χαίρομεν, Ἀλέξανδρε, τοιαῦτα τέλη τῶν πόνων κομιζόμενοι· μακαρίζομεν δὲ τὺς ἤδη τεθνηκότας, πρὶν ἐπιδεῖν Μηδικαῖς ῥάβδοις ξαινομένυς Μακεδόνας, καὶ Περσῶν δεομένυς, ἵνα τῷ βασιλεῖ προσέλθωμεν. Τοιαῦτα τῦ Κλείτυ παῤῥησιαζομένυ, καὶ τῶν περὶ Ἀλέξανδρον ἀντανιστα μένων καὶ λοιδορύντων αὐτὸν, οἱ πρεσβύτεροι κατέχειν ἐπειρῶντο τὸν θόρυβον· ὁ δ' Ἀλέξανδρος ἀποστραφεὶς πρὸς Ξενόδοχον τὸν Καρδιανὸν καὶ τὸν Κολοφώνιον Ἀρτέμιον· Οὐ δοκῦσιν, εἶπεν, ὑμῖν οἱ Ἕλληνες ἐν τοῖς Μακεδόσιν, ὥσπερ ἐν θηρίοις, ἡμίθεοι περιπατεῖν; Τῦ δὲ Κλείτυ μὴ εἴκοντος, ἀλλ' εἰς μέσον, ἃ βύλεται, λέγειν τὸν Ἀλέξανδρον κελεύοντος, ἢ μὴ καλεῖν ἐπὶ δεῖπνον ἄνδρας ἐλευθέρυς, καὶ παῤῥησίαν ἔχοντας, ἀλλὰ μετὰ βαρβάρων ζῆν καὶ ἀνδραπόδων, οἳ τὴν Περσικὴν ζώνην καὶ τὸν διάλευκον αὐτῦ χιτῶνα προσκυνήσυσιν, ὐκ ἔτι φέρων τὴν ὀργὴν Ἀλέξανδρος, μήλων παρακειμένων ἑνὶ βαλὼν ἔπαισεν αὐτὸν, καὶ τὸ ἐγχειρίδιον ἐζήτει. τῶν δὲ σωματοφυλάκων ἑνὸς, Ἀριστοφάνυς [2], φθάσαντος ὑφελέσθαι, καὶ τῶν ἄλλων περι-



1 R. quaerit, num ἐπιτρέποντα? Pro Spithridate in Junt. & Ald. Mithridates appellatur. Crat. habet vulgatam.

2 Palmer. mavult Ἀριστόνυ. Sic a Curtio & Arriano vocatur.

περιεχόντων καὶ δεομένων, ἀναπηδήσας ἀνεβόα Μακεδονιςὶ καλῶν τὰς ὑπασπιςὰς, (τοῦτο δ' ἦν σύμβολον θορύβου μεγάλου) καὶ τὸν σαλπιγκτὴν ἐκέλευε σημαίνειν, καὶ πὺξ ἔπαισεν, ὡς διατρίβοντα καὶ μὴ βουλόμενον. οὗτος μὲν οὖν ὕςερον εὐδοκίμησεν, ὡς τοῦ μὴ συνταραχθῆναι τὸ ςρατόπεδον αἰτιώτατος γενόμενος. τὸν δὲ Κλεῖτον οὐχ ὑφιέμενον οἱ φίλοι μόλις ἐξέωσαν τοῦ ἀνδρῶνος. ὁ δὲ κατ' ἄλλας θύρας αὖθις εἰσῄει, μάλα ὀλιγώρως καὶ θρασέως Εὐριπίδου τὰ ἐξ Ἀνδρομάχης ἰαμβεῖα ταῦτα περαίνων·

Οἴμοι καθ' Ἑλλάδ' ὡς κακῶς νομίζεται [1].

οὕτω δὴ λαβὼν παρά τινος τῶν δορυφόρων Ἀλέξανδρος αἰχμὴν, ἀπαντῶντα τὸν Κλεῖτον αὐτῷ, καὶ παράγοντα τὸ πρὸ τῆς θύρας παρακάλυμμα, διελαύνει. πεσόντος δὲ μετὰ ςεναγμοῦ καὶ βρυχήματος, εὐθὺς ἀφῆκεν ὁ θυμὸς αὐτόν. καὶ γενόμενος παρ' ἑαυτῷ, καὶ τοὺς φίλους ἰδὼν ἀφώνους ἑςῶτας, ἑλκύσασθαι μὲν ἐκ τοῦ νεκροῦ τὴν αἰχμὴν ἔφθασε, παῖσαι δ' ἑαυτὸν ὁρμήσας παρὰ τὸν τράχηλον ἐπεσχέθη, τῶν [2] σωματοφυλάκων τὰς χεῖρας αὐτοῦ λαβόντων, καὶ τὸ σῶμα βίᾳ παρενεγκόντων εἰς τὸν θάλαμον.

LII. Ἐπεὶ δὲ τήν τε νύκτα κακῶς κλαίων διήνεγκε, καὶ τὴν ἐπιοῦσαν ἡμέραν, ἤδη τῷ βοᾷν καὶ θρηνεῖν ἀπειρηκὼς, ἄναυδος ἔκειτο, βαρεῖς ἀναφέρων ςεναγμοὺς, δείσαντες οἱ φίλοι τὴν ἀποσιώπησιν, εἰσῆλθον βίᾳ. καὶ τῶν μὲν ἄλλων οὐ προσίετο τοὺς λόγους· Ἀριςάνδρου δὲ τοῦ μάντεως ὑπομιμνήσκοντος [3] αὐτὸν τήν τ' ὄψιν, ἣν εἶδε

1 Eurip. in Androm. v. 693. & feqq. quorum initium tantum, ut notorum, pofuit Plutarchus. Iis Peleus queritur, rei a Graecis apud Trojam geftae Atridas gloriam fibi vindicare, cum ipforum minima fuiffet opera. Ita hic Clitus objiciebat Alexandro, eum fuperbire gloria rerum a Macedonibus geftarum.

2 Hunc articulum, qui fola ex Br. excidit, R. reftituit.

3 Sic R. reftituit pro ἐπιμιμν. quod fola eft in Br.

εἶδε περὶ τῦ Κλείτυ, καὶ τὸ σημεῖον, ὡς δὴ πάλαι καθειμαρμένων τύτων, ἔδοξεν ἐνδιδόναι. διὸ Καλλισθένη τε τὸν Φιλόσοφον παρεισήγαγον, Ἀριστοτέλυς οἰκεῖον ὄντα, καὶ τὸν Ἀβδηρίτην Ἀνάξαρχον. ὧν Καλλισθένης μὲν ἠθικῶς ἐπειρᾶτο καὶ πρᾴως, ὑποδυόμενος τῷ λόγῳ καὶ περιϊὼν ἀλύπως λαβέσθαι τῦ πένθυς [1]. ὁ δ' Ἀνάξαρχος, ἰδίαν τινὰ πορευόμενος ἐξ ἀρχῆς ὁδὸν ἐν Φιλοσοφίᾳ, καὶ δόξαν εἰληφὼς ὑπεροψίας καὶ ὀλιγωρίας τῶν συνήθων, εὐθὺς εἰσελθὼν ἀνεβόησεν· Οὗτός ἐστιν Ἀλέξανδρος, εἰς ὃν ἡ οἰκυμένη νῦν ἀποβλέπει· ὁ δ' ἔῤῥιπται κλαίων, ὥσπερ ἀνδράποδον, ἀνθρώπων νόμον καὶ ψόγον δεδοικὼς, οἷς αὐτὸν προσήκει νόμον εἶναι, καὶ ὅρον τῶν δικαίων, ἐπείπερ ἄρχειν καὶ κρατεῖν νενίκηκεν, ἀλλὰ μὴ δυλεύειν ὑπὸ κενῆς δόξης κεκρατημένον. Οὐκ οἶδα, εἶπεν, ὅτι τὴν Δίκην ἔχει πάρεδρον ὁ Ζεὺς, καὶ τὴν Θέμιν, ἵνα πᾶν τὸ πραχθὲν ὑπὸ τῦ κρατῦντος θεμιτὸν ᾖ καὶ δίκαιον; Τοιύτοις τισὶ λόγοις χρησάμενος ὁ Ἀνάξαρχος, τὸ μὲν πάθος ἐκύφισε τῦ βασιλέως, τὸ δ' ἦθος εἰς πολλὰ χαυνότερον καὶ παρανομώτερον ἐποίησεν· αὐτὸν δὲ δαιμονίως ἐνήρμοσε, καὶ τῦ Καλλισθένυς τὴν ὁμιλίαν, ὐδ' ἄλλως ἐπίχαριν διὰ τὸ αὐστηρὸν ὖσαν, προσδιέβαλε [2]. λέγεται δέ ποτε παρὰ δεῖπνον ὑπὲρ ὡρῶν καὶ κράσεως τῦ περιέχοντος λόγων ὄντων, τὸν Καλλισθένη [3] μετέχοντα δόξης τοῖς λέγυσι [4], τἀκεῖ μᾶλλον εἶναι ψυχρὰ καὶ δυσχείμερα τῶν Ἑλληνικῶν, ἐναντιυμένυ τῦ Ἀναξ-



1 Quidam Steph. codd. & V. πάθυς, quod probat Mof. Duf.

2 Sic in aor. 2. reftitui pro προσδιέβαλλε, quod fola in Br. extat, quam R. fequitur.

3 V. τὸν Καλλισθένυς.

4 Sic Mof. Duf. dari voluit, deditque R. pro vulg. δόξης τοῖς δὲ λέγυσι. Pro δὲ Br. maluit δή. Per feq. τἀκεῖ intelligitur coelum folumque Hyrcanum & Parthicum, quod & fignificat mox infequens ταῦτα, uti ἐκείνων ibidem ad coelum Graecum redit.

Ἀναξάρχου καὶ Φιλονεικοῦντος, εἰπεῖν· Ἀλλὰ μὴν ἀνάγκη σοι ταῦτ' ἐκείνων ὁμολογεῖν ψυχρότερα· σὺ γὰρ ἐκεῖ μὲν ἐν τρίβωνι διεχείμαζες, ἐνταῦθα δὲ τρεῖς ἐπιβεβλημένος δάπιδας κατάκεισαι. τὸν μὲν οὖν Ἀνάξαρχον καὶ τοῦτο προσπαρώξυνε.

LIII. Τοὺς δ' ἄλλους σοφιστὰς καὶ κόλακας ὁ Καλλισθένης ἐλύπει, σπουδαζόμενος μὲν ὑπὸ τῶν νέων διὰ τὸν λόγον, οὐχ ἧττον δὲ τοῖς πρεσβυτέροις ἀρέσκων διὰ τὸν βίον, εὔτακτον ὄντα καὶ σεμνὸν καὶ αὐτάρκη, καὶ βεβαιοῦντα τὴν λεγομένην τῆς ἀποδημίας πρόφασιν· ὅτι τοὺς πολίτας καταγαγεῖν καὶ κατοικίσαι πάλιν τὴν πατρίδα [1] φιλοτιμούμενος, ἀνέβη πρὸς Ἀλέξανδρον. Φθονούμενος δὲ διὰ τὴν δόξαν, ἔστιν ἃ καὶ καθ' αὑτοῦ τοῖς διαβάλλουσι παρεῖχε, τάς τε κλήσεις τὰ πολλὰ διωθούμενος, ἐν δὲ τῷ συνεῖναι, βαρύτητι καὶ σιωπῇ δοκῶν οὐκ ἐπαινεῖν, οὐδ' ἀρέσκεσθαι τοῖς γινομένοις [2]· ὥστε καὶ τὸν Ἀλέξανδρον εἰπεῖν ἐπ' αὐτῷ·

Μισῶ σοφιστήν, ὅστις οὐδ' αὑτῷ σοφός [3].

λέγεται δέ ποτε, πολλῶν παρακεκλημένων ἐπὶ τὸ δεῖπνον, ἐπαινέσαι κελευσθεὶς ἐπὶ τοῦ ποτηρίου Μακεδόνας ὁ Καλλισθένης, οὕτως εὐροῆσαι πρὸς τὴν ὑπόθεσιν, ὥστ' ἀνισταμένους κροτεῖν καὶ βάλλειν τοὺς στεφάνους ἐπ' αὐτόν· εἰπεῖν οὖν τὸν Ἀλέξανδρον, ὅτι, κατ' Εὐριπίδην, τὸν λαβόντα τῶν λόγων

Καλὰς ἀφορμάς, οὐ μέγ' ἔργον εὐλογεῖν [4].

ἀλλ' ἔνδειξαι, φάναι, τὴν σαυτοῦ δύναμιν ἡμῖν, κατηγορήσας Μακεδόνων, ἵνα καὶ βελτίους γένωνται μαθόντες,

1 Callifthenis patria fuit Olynthus, a Philippo everfa. An affecutus fuerit, quae voluit, incertum. Ciceronis aetate rebus omnibus aucta & ornata floruit haec urbs.

2 V. βουλομένοις.

3 Ex Eurip. Medea. Alibi pro οὐδ' αὑτῷ legitur οὐχ αὑτῷ, quod probat Mof. Duf.

4 in Bacch. v. 266. 267. ubi pro εὐλογεῖν legitur εὖ λέγειν, quod & in quibusdam Steph. codd. datur.

τες, ἃ πλημμελοῦσιν. οὕτω δὴ τὸν ἄνδρα πρὸς τὴν παλινῳδίαν τραπόμενον, πολλὰ παῤῥησιάσασθαι κατὰ τῶν Μακεδόνων, καὶ τὴν Ἑλληνικὴν στάσιν, αἰτίαν ἀποφήναντα τῆς γενομένης περὶ Φίλιππον αὐξήσεως καὶ δυνάμεως, εἰπεῖν·

Ἐν δὲ διχοστασίῃ [1] καὶ ὁ πάγκακος ἔλλαχε τιμῆς. ἐφ' ᾧ πικρὸν καὶ βαρὺ ἐγγενέσθαι μῖσος τοῖς Μακεδόσι· καὶ τὸν Ἀλέξανδρον εἰπεῖν, ὡς οὐ τῆς δεινότητος ὁ Καλλισθένης, ἀλλὰ τῆς δυσμενείας, Μακεδόσιν ἀπόδειξιν δέδωκε.

LIV. Ταῦτα μὲν οὖν ὁ Ἕρμιππός φησι τὸν ἀναγνώστην τοῦ Καλλισθένους, Στρόϊβον, Ἀριστοτέλει διηγεῖσθαι· τὸν δὲ Καλλισθένην συνέντα τὴν ἀλλοτριότητα τοῦ βασιλέως, δὶς, ἢ τρὶς, ἐπανιόντα πρὸς αὐτὸν [2] εἰπεῖν·

Κάτθανε καὶ Πάτροκλος, ὅπερ σέο πολλὸν ἀμείνων.

οὐ φαύλως οὖν εἰπεῖν ἔοικεν ὁ Ἀριστοτέλης, ὅτι Καλλισθένης λέγων [3] μὲν ἦν δυνατὸς καὶ μέγας, νοῦν δ' οὐκ εἶχεν. ἀλλὰ τήν γε προσκύνησιν ἰσχυρῶς ἀπωσάμενος καὶ φιλοσόφως, καὶ μόνος ἐν φανερῷ διελθὼν, ἃ κρύφα πάντες οἱ βέλτιστοι καὶ πρεσβύτατοι τῶν Μακεδόνων ἠγανάκτουν, τοὺς μὲν Ἕλληνας αἰσχύνης ἀπήλλαξε μεγάλης, καὶ μείζονος Ἀλέξανδρον, ἀποτρέψας τὴν προσκύνησιν, αὑτὸν δ' ἀπώλεσεν, ἐκβιάσασθαι δοκῶν μᾶλλον, ἢ πεῖσαι τὸν βασιλέα. Χάρης δ' ὁ Μιτυληναῖος φησὶ, τὸν Ἀλέξανδρον ἐν τῷ συμποσίῳ πιόντα φιάλην προτεῖναι τινὶ τῶν φίλων· τὸν δὲ δεξάμενον, πρὸς ἑστίαν ἀναστῆναι, καὶ πιόντα προσκυνῆσαι πρῶτον, εἶτα



1 V. διχοστασίαις.

2 Cruser. male vertit *ad se ipsum.* Versus est Iliad. L. XXI, 107.

3 Quidam Steph. codd. & V. λόγῳ. Anon. λέγειν. Pro seq. νοῦν V. νῦν.

εἶτα φιλῆσαι τὸν Ἀλέξανδρον ἐν τῷ συμποσίῳ, καὶ κατακλιθῆναι. πάντων δὲ τοῦτο ποιούντων ἐφεξῆς, τὸν Καλλισθένην λαβόντα τὴν φιάλην, οὐ προσέχοντος τοῦ βασιλέως, ἀλλ' Ἡφαιστίωνι προσδιαλεγομένου, πιόντα προσιέναι φιλήσοντα. Δημητρίου δὲ, τοῦ προσονομαζομένου Φείδωνος, εἰπόντος· Ὦ βασιλεῦ, μὴ φιλήσῃς· οὗτος γάρ σε μόνος οὐ προσκεκύνηκε [1]· διακλῖναι τὸ φίλημα τὸν Ἀλέξανδρον· τὸν δὲ Καλλισθένην μέγα φθεγξάμενον εἰπεῖν· Φιλήματι τοίνυν ἔλασσον ἔχων ἄπειμι.

LV. Τοιαύτης ὑπογινομένης ἀλλοτριότητος, πρῶτον μὲν Ἡφαιστίων ἐπιστεύετο, λέγων, ὅτι συνθέμενος πρὸς αὐτὸν ὁ Καλλισθένης προσκυνῆσαι, ψεύσαιτο τὴν ὁμολογίαν· ἔπειτα Λυσίμαχοι καὶ Ἄγνωνες ἐπεφύοντο, φάσκοντες περιϊέναι τὸν σοφιστὴν, ὡς ἐπὶ καταλύσει τυραννίδος μέγα φρονοῦντα, καὶ συντρέχειν πρὸς αὐτὸν τὰ μειράκια, καὶ περιέπειν, ὡς μόνον ἐλεύθερον ἐν τοσαύταις μυριάσι. διὸ καὶ τῶν περὶ Ἑρμόλαον ἐπιβουλευσάντων τῷ Ἀλεξάνδρῳ, καὶ φανερῶν γενομένων, ἔδοξαν ἀληθέσιν ὅμοια κατηγορεῖν οἱ διαβάλλοντες, ὡς τῷ μὲν προβάλλοντι [2], πῶς ἂν ἐνδοξότατος γένοιτο ἄνθρωπος, εἶπεν, ἂν ἀποκτείνῃ τὸν ἐνδοξότατον. τὸν δ' Ἑρμόλαον ἐπὶ τὴν πρᾶξιν παροξύνων, ἐκέλευε μὴ δεδιέναι τὴν χρυσῆν κλίνην, ἀλλὰ μνημονεύειν, ὅτι καὶ νοσοῦντι καὶ τιτρωσκομένῳ [3] πρόσεισιν ἀνθρώπῳ. καίτοι τῶν περὶ Ἑρμόλαον οὐδεὶς, οὐδὲ διὰ τῆς ἐσχάτης ἀνάγκης, τοῦ Καλλισθένους κατεῖπεν. ἀλλὰ καὶ Ἀλέξανδρος αὐτὸς εὐθὺς Κρατερῷ γράφων καὶ Ἀττάλῳ καὶ Ἀλ-

1 V. προσεκύνησε.

2 R. dubius eſt, ſervandum ne ſit, an cum προβαλόντι mutandum. Refertur ad Hermolaum, uti ſequens εἶπεν ad Calliſthenem. Idem dedit hoc εἶπεν de ſuo pro vulg. εἰπεῖν ob anteced. ὡς, & inſequens ἐκέλευε.

3 idem eſt, R. monente, atque ἐπιτηδείῳ πεφυκότι νοσεῖν καὶ τιτρώσκεσθαι.

Ἀλκέτᾳ, φησὶ, τὲς παῖδας [1] βασανιζομένες ὁμολογεῖν, ὡς αὐτοὶ ταῦτα πράξειαν, ἄλλος δ' ἐδεὶς συνειδείη. ὕστερον δὲ γράφων πρὸς Ἀντίπατρον, καὶ τὸν [2] Καλλισθένη συνεπαιτιασάμενος· Οἱ μὲν παῖδες, φησὶν, ὑπὸ τῶν Μακεδόνων κατελεύσθησαν· τὸν δὲ σοφιστὴν ἐγὼ κολάσω, καὶ τὲς ἐκπέμψαντας αὐτὸν, καὶ τὲς ὑποδεχομένες ταῖς πόλεσι τὲς ἐμοὶ ἐπιβελεύοντας. ἄντικρυς ἔν γε τέτοις ἀποκαλυπτόμενος πρὸς Ἀριστοτέλην· καὶ γὰρ ἐτέθραπτο Καλλισθένης παρ' αὐτῷ διὰ τὴν συγγένειαν, ἐξ Ἡρῆς γεγονὼς, ἀνεψιᾶς Ἀριστοτέλες. ἀποθανεῖν δ' αὐτὸν οἱ μὲν ὑπ' Ἀλεξάνδρε κρεμασθέντα λέγεσιν, οἱ δ' ἐν πέδαις δεδεμένον καὶ νοσήσαντα· Χάρης δὲ, μετὰ τὴν σύλληψιν ἑπτὰ μῆνας φυλάττεσθαι δεδεμένον, ὡς ἐν τῷ συνεδρίῳ κριθείη, παρόντος Ἀριστοτέλες· ἐν αἷς δ' ἡμέραις Ἀλέξανδρος ἐν Μαλλοῖς Ὀξυδράκαις ἐτρώθη, περὶ τὴν Ἰνδίαν ἀποθανεῖν ὑπέρπαχυν γενόμενον καὶ φθειριάσαντα.

LVI. Ταῦτα μὲν ἒν ὕστερον ἐπράχθη· Δημάρατος δ' ὁ Κορίνθιος, ἤδη πρεσβύτερος ὢν, ἐφιλοτιμήθη πρὸς Ἀλέξανδρον ἀναβῆναι· καὶ θεασάμενος αὐτὸν, εἶπε, μεγάλης ἡδονῆς ἐστερῆσθαι τὲς Ἕλληνας, ὅσοι τεθνήκασι, πρὶν ἰδεῖν Ἀλέξανδρον ἐν τῷ Δαρείε θρόνῳ καθήμενον. ὀ μὴν ἐπὶ πλέον γε τῆς πρὸς αὐτὸν εὐνοίας τῆ βασιλέως ἀπέλαυσεν· ἀλλ' ἐξ ἀῤῥωστίας ἀποθανὼν ἐκηδεύθη μεγαλοπρεπῶς, καὶ τάφον ἔχωσεν ὁ στρατὸς ἐπ' αὐτῷ, τῇ περιμέτρῳ μέγαν, ὕψος δὲ πηχῶν ὀγδοήκοντα. τὰ δὲ λείψανα τέθριππον κεκοσμημένον λαμπρῶς ἐπὶ θάλασσαν κατεκόμισε.

LVII. Μέλλων δ' ὑπερβαλεῖν [3] εἰς τὴν Ἰνδικὴν, ὡς ἑώρα πλήθει λαφύρων τὴν στρατιὰν ἤδη βαρεῖαν καὶ δυσκινη-



1 Hermolai puta servos. R.

2 desunt καὶ τὸν Junt. Ald. Crat.

3 Sic R. dedit de suo absque correctionis nota. In omnibus aliis edd. ὑπερβάλλειν.

κίνητον ἦσαν, ἅμ᾽ ἡμέρᾳ συνεσκευασμένων τῶν ἁμαξῶν, πρώτας μὲν ὑπέπρησε τὰς αὑτῦ καὶ τῶν ἑταίρων· μετὰ δὲ ταύτας ἐκέλευσε καὶ ταῖς τῶν Μακεδόνων ἐνεῖναι πῦρ. καὶ τῦ πράγματος τὸ βύλευμα μεῖζον ἐφάνη καὶ δεινότερον, ἢ [1] τὸ ἔργον. ὀλίγυς μὲν γὰρ ἠνίασεν, οἱ δὲ πλεῖςοι βοῇ καὶ ἀλαλαγμῷ μετ᾽ ἐνθυσιασμῦ, τὰ μὲν ἀναγκαῖα τοῖς δεομένοις μεταδιδόντες, τὰ δὲ περιόντα τῆς χρείας, αὐτῦ [2] κατακαίοντες καὶ διαφθείροντες, ὁρμῆς καὶ προθυμίας ἐνεπίμπλασαν τὸν Ἀλέξανδρον. ἤδη δὲ καὶ φοβερὸς ἦν καὶ ἀπαραίτητος κολαςὴς τῶν πλημμελύντων. καὶ γὰρ Μένανδρον, τινὰ τῶν ἑταίρων, ἄρχοντα φρυρίυ καταςήσας, ὡς ὐκ ἐβύλετο μένειν, ἀπέκτεινε· καὶ τὸν [3] ἀποςάντων βαρβάρων Ορσοδάτην αὐτὸς κατετόξευσε. προβάτυ δὲ τεκόντος ἄρνα περὶ τῇ κεφαλῇ σχῆμα καὶ χρῶμα τιάρας ἔχοντα, καὶ διδύμυς ἑκατέρωθεν αὐτῦ, βδελυχθεὶς τὸ σημεῖον, ἐκαθάρθη μὲν ὑπὸ τῶν Βαβυλωνίων, ὓς ἐξ ἔθυς ἐπήγετο πρὸς τὰ τοιαῦτα· διελέχθη δὲ πρὸς τὺς φίλυς, ὡς ὐ δι᾽ αὐτὸν, ἀλλὰ δι᾽ ἐκείνυς ταράττοιτο, μὴ τὸ κράτος εἰς ἀγεννῆ καὶ ἄναλκιν ἄνθρωπον, ἐκλιπόντος αὐτῦ, περιςήσῃ τὸ δαιμόνιον. ὐ μὴν ἀλλὰ βέλτιόν τι σημεῖον γενόμενον τὴν ἀθυμίαν ἔλυσεν. ὁ γὰρ ἐπὶ τῶν ςρωματοφυλάκων τεταγμένος, ἀνὴρ Μακεδὼν, ὄνομα Πρόξενος, τῇ βασιλικῇ σκηνῇ χώραν ὀρύττων παρὰ τὸν Ὦξον ποταμὸν, ἀνεκάλυψε πηγὴν ὑγρῦ λιπαρῦ καὶ πιμελώδυς· ἀπαντλυμένυ δὲ τῦ πρώτυ, καθαρὸν ἀνέβλυζεν ἤδη καὶ διαυγὲς ἔλαιον, ὔτ᾽ ὀσμῇ δοκῦν, ὔτε γεύσει ἐλαίυ διαφέρειν, ςιλβότητά [4] τε καὶ λιπαρότη-

1 Sic cum Anon. R. dedit. Vulgo ἦν τὸ ἔργον. Br. susp. τῦ ἔργυ.

2 Absurdum videtur Mosi Duf. *ibidem*, quod Cruser. verterat. Mavult αὐτοί, ut orationi vis addatur.

3 V. & Anon. τῶν, quod probat Br. At R. quaerit, num post βαρβάρων desit βασιλέα vel φύλαρχον?

4 R. quaerit, num ςιλπνότητα, dubius, an in usu fuerit ςιλβότης?

ρότητα παντάπασιν ἀπαράλλακτον· καὶ ταῦτα, τῆς χώρας μηδ' ἐλαίας φερούσης. λέγεται μὲν οὖν, καὶ τὸν Ὦξον αὐτὸν εἶναι μαλακώτατον ὕδωρ, ὥστε τὸ δέρμα τοῖς λουομένοις [1] ἐπιλιπαίνειν. οὐ μὴν ἀλλὰ θαυμαστῶς Ἀλέξανδρος ἡσθεὶς δῆλός ἐστιν, ἐξ ὧν γράφει πρὸς Ἀντίπατρον, ἐν τοῖς μεγίστοις τοῦτο τῶν ἀπὸ τοῦ θεοῦ γεγονότων αὐτῷ τιθέμενος [2]. οἱ δὲ μάντεις, ἐνδόξου μὲν στρατείας [3], ἐπιπόνου δὲ καὶ χαλεπῆς, τὸ σημεῖον ἐποιοῦντο· πόνων γὰρ ἀρωγὴν ἔλαιον ἀνθρώποις ὑπὸ θεοῦ δεδόσθαι.

LVIII. Πολλοὶ μὲν οὖν κατὰ τας μάχας αὐτῷ κίνδυνοι συνέπεσον, καὶ τραύμασι νεανικοῖς [4] ἀπήντησε· τὴν δὲ πλείστην φθορὰν ἀπορίαι τῶν ἀναγκαίων καὶ δυσκρασίαι τοῦ περιέχοντος ἀπειργάσαντο τῆς στρατιᾶς. αὐτὸς δὲ τόλμῃ τὴν τύχην ὑπερβαλέσθαι, καὶ τὴν δύναμιν ἀρετῇ [5] φιλοτιμούμενος, οὐδὲν ᾤετο τοῖς θαῤῥοῦσιν ἀνάλωτον, οὐδ' ὀχυρὸν εἶναι τοῖς ἀτόλμοις [6]. λέγεται δὲ, τὴν Σισιμήθρου πολιορκῶν πέτραν, ἄβατον οὖσαν καὶ ἀπρόσβατον, ἀθυμούντων τῶν στρατιωτῶν, ἐρωτῆσαι τὸν Ὀξυάρτην, ποῖός τις αὐτὸς εἴη τὴν ψυχὴν ὁ Σισιμήθρης. φήσαντος δὲ τοῦ Ὀξυάρτου, δειλότατον ἀνθρώπων· Λέγεις σύ γε, φάναι, τὴν πέτραν ἁλώσιμον ἡμῖν εἶναι. τὸ γὰρ ἄρχον αὐτῆς οὐκ ὀχυρόν ἐστιν. Ταύτην μὲν οὖν, ἐκφοβήσας τὸν Σισιμήθρην, ἔλαβεν. ἑτέρᾳ δ' ὁμοίως ἀποτόμῳ προσβαλὼν τοὺς νεωτέρους τῶν Μακεδόνων, Ἀλέξανδρον τινὰ καλούμενον προσαγορεύσας· Ἀλλὰ σοί γε, εἶπεν, ἀνδραγαθεῖν προσήκει καὶ

διὰ

1 Sic cum V. R. dedit pro vulg. τοῖς λουομένους.

2 V. τιθέμενοι.

3 Sic Br. dari voluit, deditque R. pro vulg. στρατιᾶς.

4 Cruser. vertit *inconsulte*. Alii *ingentia* vulnera, melius ex judicio Br. & Mosis Duf.

5 V. ἀρετήν.

6 Sic cum V. & Anon. dari voluit Br. deditque R. pro vulg. εὐτόλμοις — *vel tutum ignavis*.

δια τὴν ἐπωνυμίαν. ἐπεὶ δὲ λαμπρῶς ἀγωνιζόμενος ὁ νεανίας ἔπεσεν, ἐ μετρίως ἐδήχθη. τῇ δὲ καλεμένῃ Νύσῃ [1] τῶν Μακεδόνων ὀκνέντων προσάγειν, (καὶ γὰρ ποταμὸς ἦν πρὸς αὐτῇ [2] βαθὺς) ἐπιςάς· Τί γὰρ, εἶπεν, ὁ κάκιςος ἐγὼ νῦν ἐκ ἔμαθον; καὶ ἤδη ἔχων τὴν ἀσπίδα περᾷν ἠθέλησεν. ἐπεὶ δὲ, καταπαύσαντος τὴν μάχην αὐτῦ, παρῆσαν ἀπὸ τῶν πολιορκεμένων πόλεων πρέσβεις δεησόμενοι, πρῶτον μὲν, ὀφθεὶς ἀθεράπευτος ἐν τοῖς ὅπλοις, ἐξέπληξεν αὐτές· ἔπειτα προσκεφαλαίε τινὸς αὐτῷ κομισθέντος, ἐκέλευσε λαβόντα καθίσαι τὸν πρεσβύτατον [3]. Ἄκεφις ἐκαλεῖτο. θαυμάσας ὖν τὴν λαμπρότητα καὶ φιλανθρωπίαν ὁ Ἄκεφις, ἠρώτα, τί βέλεται ποιῦντας αυτὲς ἔχειν φίλες. Φήσαντος δὲ τῦ Ἀλεξάνδρε· Σὲ μὲν αὐτὸν ἄρχοντα καταςήσαντας αὐτῶν [4], πρὸς δ' ἡμᾶς πέμψαντας ἑκατὸν ἄνδρας τὲς ἀρίςες· γελάσας ὁ Ἄκεφις· Ἀλλὰ βέλτιον, εἶπεν, ἄρξω, βασιλεῦ, τὲς κακίςες πρός σε πέμψας μᾶλλον, ἢ τὲς ἀρίςες.

LIX. Ὁ δὲ Ταξίλης λέγεται μὲν τῆς Ἰνδικῆς ἔχειν μοῖραν ἐκ ἀποδέεσαν Αἰγύπτε τὸ μέγεθος, εὔβοτον δὲ καὶ καλλίκαρπον ἐν τοῖς μάλιςα· σοφὸς δέ τις ἀνὴρ εἶναι, καὶ τὸν Ἀλέξανδρον ἀσπασάμενος· Τί δεῖ πολέμων, φάναι, καὶ μάχης ἡμῖν, Ἀλέξανδρε, πρὸς ἀλλήλες, εἰ μήτε ὕδωρ ἀφαιρησόμενος ἡμῶν ἀφῖξαι, μήτε τροφὴν ἀναγκαίαν; ὑπὲρ ὧν μόνων ἀνάγκη διαμάχεσθαι νῦν ἔχεσιν ἀνθρώποις. τοῖς δ' ἄλλοις χρήμασι καὶ κτήμασι λεγομένοις, εἰ μέν εἰμι κρείττων, ἕτοιμος [5] εὖ ποιεῖν· εἰ δ' ἥττων, ἐ φεύγω χάριν ἔχειν εὖ παθών· ἡσθεὶς ὖν ὁ Ἀλέξανδρος, καὶ δεξιωσάμενος αὐ-

1 V. & Arrian. Νύσσῃ.
2 V. πρὸς αὐτήν.
3 Quidam Steph. codd. & V. πρεσβύτερον.
4 Frst. αὐτόν. Hinc in cat. Var. e V. enotatum eſt αὐτῶν.
5 Poſt h. v. inſerit Anon. εἰμι, quod probat Moſ. Duſ.

αὐτόν· Ἢ πȣ νομίζεις, ἔφη, δίχα μάχης ἔσεσθαι τὴν ἔντευξιν ἡμῖν ἀπὸ τοιȣ́των λόγων καὶ φιλοφροσύνης; ἀλλ' ȣ̓δέν σοι πλέον· ἐγὼ γὰρ ἀγωνιȣ̃μαι πρός σε καὶ διαμαχȣ̃μαι ταῖς χάρισιν, ὥς μȣ χρηςὸς ὢν μὴ περιγένῃ. λαβὼν δὲ δῶρα πολλὰ, καὶ δȣ̀ς πλείονα, τέλος χίλια τάλαντα νομίσματος αὐτῷ προέπιεν. ἐφ' οἷς τȣ̀ς μὲν φίλȣς ἰσχυρῶς ἐλύπησε, τῶν δὲ βαρβάρων πολλȣ̀ς ἐποίησεν ἡμερωτέρως ἔχειν πρὸς αὐτόν. ἐπεὶ δὲ τῶν Ἰνδῶν οἱ μαχιμώτατοι μισθοφορȣ̃ντες ἐπεφοίτων ταῖς πόλεσιν ἐῤῥωμένως ἀμύνοντες, καὶ κατὰ πολλὰ τὸν Ἀλέξανδρον ἐκακοποίȣν, σπεισάμενος ἔν τινι πόλει πρὸς αὐτȣ̀ς, ἀπιόντας ἐν ὁδῷ λαβὼν, ἅπαντας ἀπέκτεινε. καὶ τȣ̃το τοῖς πολεμικοῖς ἔργοις αὐτȣ̃, τἆλλα νομίμως καὶ βασιλικῶς πολεμήσαντος, ὡς κηλὶς πρόσεςιν. ȣ̓κ ἐλάσσονα δὲ τȣ́των οἱ φιλόσοφοι [1] πράγματα παρέσχον αὐτῷ, τȣ̀ς τε προστιθεμένȣς τῶν βασιλέων κακίζοντες, καὶ τȣ̀ς ἐλευθέρȣς δήμȣς ἀφιςάντες. διὸ καὶ τȣ́των πολλȣ̀ς ἐκρέμασεν.

LX. Τὰ δὲ πρὸς Πῶρον αὐτὸς ἐν ταῖς ἐπιςολαῖς ὡς ἐπράχθη γέγραφε. Φησὶ γὰρ, ἐν μέσῳ τῶν ςρατοπέδων [2] τȣ̃ Ὑδάσπȣ ῥέοντος, ἀντιπρώρȣς ἱςάντα τȣ̀ς ἐλέφαντας ἀεὶ τὸν Πῶρον ἐπιτηρεῖν τὴν διάβασιν. αὐτὸν μὲν ȣ̃ν καθ' ἡμέραν ἑκάςην ψόφον ποιεῖν καὶ θόρυβον ἐν τῷ ςρατοπέδῳ πολὺν, ἐθίζοντα τȣ̀ς βαρβάρȣς μὴ φοβεῖσθαι [3]. νυκτὸς δὲ χειμερίȣ καὶ ἀσελήνȣ, λα-

1 Philoſophos Indorum, Brachmanas, deſignari, monet R. — Moſ. Duſ. ſuſp. pro οἱ φιλόσ. ſcribendum eſſe οἱ γυμνοσοφιςαὶ λεγόμενοι.

2 Legi etiam ἐν μέσῳ τῷ ςρατοπέδῳ, H. Steph. teſtatur. Sic eſt in Junt.

3 Bene monet Moſ. Duſ. ex Arriano, haec non ita eſſe intelligenda, uti ab Interpp. eſt redditum — *quo adſuefaceret ſuos, non formidare barbaros*; ſed, *barbaros ipſos, aſſuefecit, non timere*, quos ſecuros tandem vero trajiciendi fluminis ſtrepitu oppreſſurus erat.

λαβόντα τῶν πεζῶν μέρος, ἱππεῖς δὲ τὲς κρατίςες, καὶ προελθόντα πόῤῥω τῶν πολεμίων, διαπερᾶσαι πρὸς νῆσον ȣ̓ μεγάλην. ἐνταῦθα δὲ ῥαγδαίȣ μὲν ἐκχυθέντος ὄμβρȣ, πρηςήρων δὲ πολλῶν καὶ κεραυνῶν εἰς τὸ ςρατόπεδον Φερομένων, ὅμως ὁρῶν ἀπολλυμένȣς τινὰς καὶ συμφλεγομένȣς ὑπὸ τῶν κεραυνῶν, ἀπὸ τῆς νησίδος ἆρας, προσφέρεσθαι ταῖς ἀντιπέρας ὄχθαις. τραχὺν δὲ τὸν Ὑδάσπην ὑπὸ τȣ̃ χειμῶνος ἐπιόντα καὶ μετέωρον, ἔκρηγμα ποιῆσαι μέγα, καὶ πολὺ μέρος ἐκείνῃ Φέρεσθαι τȣ̃ ῥεύματος· αὐτὸς δὲ δέξασθαι τὸ μέσον [1] ȣ̓ βεβαίως, ἅτε δὴ συνολισθαῖνον καὶ περιῤῥηγνύμενον. ἐνταῦθα δ᾽ εἰπεῖν Φασιν αὐτόν. Ὦ Ἀθηναῖοι, ἆρά γε πιςεύσαιτ᾽ [2] ἂν, ἡλίκȣς ὑπομένω κινδύνȣς ἕνεκα τῆς παρ᾽ ὑμῖν εὐδοξίας; Ἀλλὰ τȣ̃το μὲν Ὀνησίκριτος εἴρηκεν· αὐτὸς δέ Φησι, τὰς σχεδίας ἀφέντας αὐτȣ̀ς μετὰ τῶν ὅπλων τὸ ἔκρηγμα διαβαίνειν ἄχρι μαςῶν βρεχομένȣς. διαβὰς δὲ, τῶν πεζῶν εἴκοσι ςαδίȣς προϊππεῦσαι, λογιζόμενος, εἰ μὲν οἱ πολέμιοι τοῖς ἵπποις προσβάλοιεν, πολὺ κρατήσειν· εἰ δὲ κινοῖεν τὴν Φάλαγγα, Φθήσεσθαι τȣ̀ς πεζȣ̀ς αὐτῷ προσγενομένȣς· θάτερον δὲ συμβῆναι. τῶν γὰρ ἱππέων χιλίȣς, καὶ τῶν ἁρμάτων ἑξήκοντα συμπεσόντα τρεψάμενος, τὰ μὲν ἅρματα λαβεῖν ἅπαντα, τῶν δ᾽ ἱππέων ἀνελεῖν τετρακοσίȣς. ȣ̔́τω δὴ συμφρονήσαντα τὸν Πῶρον, ὡς αὐτὸς εἴη διαβεβηκὼς Ἀλέξανδρος, ἐπιέναι μετὰ πάσης τῆς δυνάμεως, πλὴν ὅσον ἐμποδὼν εἶναι τοῖς διαβαίνȣσι τῶν Μακεδόνων ἀπέλιπε, Φοβηθεὶς δὲ τὰ θηρία καὶ τὸ πλῆθος τῶν

1 R. quaerit, quid fit δέχεσθαι τὸ μέσον? num *locum ftandi in area patente capere?* an μέσον fit illa pars continentis, quae alias ficca foleret effe, jam undis obruta effet ab exundatione fluvii — unter Waffer gefeztes Land, vom Ufer des Fluffes an, bis dahin, wo das trockne Land nun angeht? —

2 V. πιςεύσετε.

τῶν πολεμίων, αὐτὸς μὲν ἐνσεῖσαι κατὰ θάτερον κέρας, Κοῖνον [1] δὲ τῷ δεξιῷ προσβαλεῖν κελεῦσαι. γενομένης δὲ τροπῆς ἑκατέρωθεν, ἀναχωρεῖν ἀεὶ πρὸς τὰ θηρία καὶ συνειλεῖσθαι τὰς ἐκβιαζομένας. ὅθεν ἤδη [2] τὴν μάχην ἀναμεμιγμένην εἶναι, καὶ μόλις ὀγδόης ὥρας ἀπειπεῖν τὰς πολεμίας. ταῦτα μὲν οὖν ὁ τῆς μάχης ποιητὴς αὐτὸς ἐν ταῖς ἐπισολαῖς εἴρηκεν. οἱ δὲ πλεῖσοι τῶν συγγραφέων ὁμολογοῦσι, τὸν Πῶρον ὑπεραίροντα τεσσάρων πηχῶν σπιθαμῇ [3] τὸ μῆκος ἱππότου, μηδὲν ἀποδεῖν πρὸς τὸν ἐλέφαντα συμμετρίᾳ, διὰ τὸ μέγεθος καὶ τὸν ὄγκον τοῦ σώματος· καίτοι μέγισος ἦν ὁ ἐλέφας. σύνεσιν δὲ θαυμασὴν ἐπεδείξατο καὶ κηδεμονίαν τοῦ βασιλέως, ἐῤῥωμένου μὲν ἔτι, θυμῷ τοὺς προσμαχομένους [4] ἀμυνόμενος καὶ ἀνακόπτων· ὡς δ᾽ ᾔσθετο βελῶν πλήθει καὶ τραυμάτων κάμνοντα, δείσας, μὴ περιῤῥυῇ, τοῖς μὲν γόνασιν εἰς γῆν ὑφῆκε πρᾴως ἑαυτὸν, τῇ δὲ προνομαίᾳ λαμβάνων ἀτρέμα τῶν δορατίων ἕκασον,

1 Sic Br. & Mos. Dus. legi voluerunt Arriani & Diodori Sic. auctoritate, deditque R. pro vulg. κοινῇ Pro κατὰ θάτ. κέρ. Mos. Dus. susp. κατ᾽ ἀρισερὸν κ. Anon. Περδίκκαν habet pro vulg. κοινῇ, quam scripturam Dacer. amplectitur.

2 Mos. Dus. susp. ἕωθεν δὲ, aut ἕωθεν ἤδη, idque postulare censet sequentia ὀγδόης ὥρας. R. tuetur vulgatam, ut bene habentem.

3 V. σπιθαμῶν. Loco huic haud parum inesse obscuritatis, cuivis facile erit observatu. Interpunctionem pravam censet Mos. Dus. — Gallico interpr. eodem monente ponendum videbatur comma post μῆκος, ut ἱππότου ab ἀποδεῖν regatur. Sic in Junt. datur. Schirach vertit: *daß Porus eine Spanne über vier Ellen lang gewesen, und mit dem Elephanten, den er zu besteigen pflegte, und der der gröste unter allen war, an Grösse seines Körpers eine Gleichheit gehabt habe.* Guarin. ita: Plurimi scriptores Porum quatuor cubitis & palmo procerum extitisse consentiunt. Pari id est maximo pro corporis magnitudine insidebat elephanto. — Arrian. *ultra quinque cubitos* habet; Diodor. *quinque.*

4 Sic Br. scribi voluit, deditque R. pro vulg. προμαχομένους. V. προμάχους.

σον, ἐξῆρε τῦ σώματος. ἐπεὶ δὲ ληφθέντα τὸν Πῶρον ὁ Ἀλέξανδρος ἠρώτα, πῶς αὐτῷ χρήσηται; Βασιλικῶς, εἶπε· προσπυθομένυ δὲ, μή τι ἄλλο λέγει; Πάντα, εἶπεν, ἐςὶν ἐν τῷ βασιλικῶς. ὐ μόνον ὗν ἀφῆκεν αὐτον ἄρχειν, ὧν ἐβασίλευε, σατράπην καλύμενον, ἀλλὰ καὶ προσέθηκε χώραν, καὶ τὺς [1] αὐτονόμυς καταςρεψάμενος, ἐν ᾗ πεντεκαίδεκα μὲν ἔθνη, πόλεις δὲ πεντακισχιλίας [2] ἀξιολόγυς, κώμας δὲ παμπόλλας εἶναι φασίν· ἄλλην δὲ τρὶς τοσαύτην, ἧς [3] Φίλιππον, τινὰ τῶν ἑταίρων, σατράπην ἀπέδειξεν.

LXI. Ἐκ δὲ τῆς πρὸς Πῶρον μάχης καὶ ὁ Βυκεφάλας ἐτελεύτησεν, ὐκ εὐθὺς, ἀλλ᾽ ὕςερον, ὡς οἱ πλεῖςοι λέγυσιν, ὑπὸ τραυμάτων θεραπευόμενος· ὡς δ᾽ Ὀνησίκριτος, διὰ γῆρας ὑπέρπονος γενόμενος· τριάκοντα γὰρ ἐτῶν ἀποθανεῖν αὐτόν. ἐδήχθη δ᾽ ἰσχυρῶς Ἀλέξανδρος, ὐδὲν ἄλλο, ἢ συνήθη καὶ φίλον, ἀποβεβληκέναι [4] νομίζων· καὶ πόλιν οἰκίσας ἐπ᾽ αὐτῷ παρὰ τὸν Ὑδάσπην, Βυκεφαλίαν προσηγόρευσε. λέγεται δὲ καὶ κύνα, Περίταν ὄνομα, τεθραμμένον ὑπ᾽ αὐτῦ καὶ ςεργόμενον ἀποβαλὼν κτίσαι πόλιν ἐπώνυμον. τῦτο δὲ Σωτίων φησὶ Ποτάμωνος ἀκῦσαι τῦ Λεσβίυ.

LXII. Τὺς μέντοι Μακεδόνας ὁ πρὸς Πῶρον ἀγὼν ἀμβλυτέρυς ἐποίησε, καὶ τὸ πρόσω [5] τῆς Ἰνδικῆς ἔτι προ-

1 Mos. Dus. delendum censuit καὶ. R. susp. χώραν τῆς αὐτονόμυ, καταςρεψ.

2 Numerus hic insignium urbium Mosi Dus. est suspectus. Locus Arriani ei opem ferre videtur, ut sit: πόλεις δὲ τριάκοντα καὶ ἑπτὰ ἀξιολόγυς &c. numerus quinque millium autem designet numerum incolarum harum urbium. Sic in Arriano: ὧν (πόλεων) — οἰκήτορες, πεντακισχιλίων ὐκ ἐλάττυς ἦσαν, πολλῶν δὲ καὶ ὑπὲρ μυρίυς.

3 Mos. Dus. scribi vult ἄλλης δὲ τρὶς τοσαύτης Φ. R. ad ἄλ. — τοσ. subaudiendum monet φασὶν εἶναι ex praeced.

4 V. ἀποβεβλημένον.

5 Anon. τῦ πρόσω, quod Br. probat. R. monet τὸ πρόσω ἔτι

προελθεῖν ἐπέχε. μόλις γὰρ ἐκεῖνον ὠσάμενοι, δισμυρίοις πεζοῖς καὶ διχιλίοις ἱππεῦσι παραταξάμενον, ἀντέστησαν ἰσχυρῶς Ἀλεξάνδρῳ βιαζομένῳ καὶ τὸν Γάγγην περάσαι ποταμὸν, εὖρος μὲν αὐτοῦ δύο καὶ τριάκοντα σταδίων εἶναι πυνθανόμενοι, καὶ βάθος ὀργυιὰς ἑκατόν· ἀντιπέρας δὲ τὰς ὄχθας [1] ἀποκεκρύφθαι πλήθεσιν ὅπλων καὶ ἵππων καὶ ἐλεφάντων. ἐλέγοντο γὰρ ὀκτὼ [2] μὲν μυριάδας ἱπποτῶν, εἴκοσι δὲ πεζῶν, ἅρματα δ' ὀκτακισχίλια [3], καὶ μαχίμους ἐλέφαντας ἑξακισχιλίους ἔχοντες οἱ Γανδαριτῶν [4] καὶ Πραισίων βασιλεῖς ὑπομένειν. καὶ κόμπος οὐκ ἦν περὶ ταῦτα. Ἀνδρόκοττος γὰρ ὕστερον οὐ πολλῷ βασιλεύσας, Σελεύκῳ πεντακοσίους ἐλέφαντας ἐδωρήσατο, καὶ στρατοῦ μυριάσιν ἑξήκοντα τὴν Ἰνδικὴν ἐπῆλθεν ἅπασαν καταστρεφόμενος. τὸ μὲν οὖν πρῶτον ὑπὸ δυσθυμίας καὶ ὀργῆς αὑτὸν εἰς τὴν σκηνὴν [5] καθείρξας ἔκειτο, χάριν οὐδεμίαν εἰδὼς τοῖς διαπεπραγμένοις, εἰ μὴ περάσειε τὸν Γάγγην, ἀλλ' ἐξομολόγησιν ἥττης τιθέμενος τὴν ἀναχώρησιν. ὡς δ' οἵ τε φίλοι τὰ εἰκότα παρηγοροῦντες αὐτὸν, οἵ τε στρατιῶται κλαυθμῷ καὶ βοῇ προσιστάμενοι ταῖς θύραις ἱκέτευον,

ἔτι idem esse atque προσωτέρω vel πορρωτέρω, τὸ πρόσω, velut unum vocabulum esse adverbiale. Sequens προελθεῖν Mos. Duf. cum H. Steph. reponi voluit, deditque R. pro vulg. προσελθεῖν.

1 H. Steph. susp. τὰς δὲ ἀντιπέρας ὄχθ.

2 Diodor. Equitum XX. tantum M. — currum II. M. — elephantorum IV. millia habet.

3 In quibusdam quoque legi ὀκτακισχιλίους, testis est H. Steph.

4 Blanc. ad Arr. Γανδαριδῶν scribere jubet, & Ταβρασίων pro Πραισίων. Apud Strabonem *Gandaris* & *Gandaritis* scribitur. V. pro Πραισ. dat Πραιτοσίων (in ind. Var. nulla est adjuncta codicis nota) at ex eod. pro Γάνδ. enotatur Γανδαριτῶν. Paulo post Plut. habet Πραισιακῶν. Cellarius, Strabonem secutus, vocat *Praesios*.

5 V. εἰς τὴν γαλήνην.

τευον, ἐπικλαθεὶς ἀνεζεύγνυε, πολλὰ πρὸς δόξαν ἀπατηλὰ καὶ σοφιστικὰ μηχανώμενος. καὶ γὰρ ὅπλα μείζονα καὶ φάτνας ἵππων καὶ χαλινὲς βαρυτέρες κατασκευάσας, ἀπέλιπέ τε καὶ διέῤῥιψεν. ἱδρύσατο δὲ βωμὲς θεῶν [1], ὃς μέχρι νῦν οἱ Πραισιαίων βασιλεῖς διαβαίνοντες σέβονται, καὶ θύεσιν Ἑλληνικὰς θυσίας. Ἀνδρόκοττος δὲ [2], μειράκιον ὢν, αὐτὸν Ἀλέξανδρον εἶδε, καὶ λέγεται πολλάκις εἰπεῖν ὕστερον, ὡς παρ' ἐδὲν ἦλθε τὰ πράγματα λαβεῖν Ἀλέξανδρος, μισεμένε τε καὶ καταφρονεμένε τε βασιλέως διὰ μοχθηρίαν καὶ δυσγένειαν.

LXIII. Ἐντεῦθεν ὁρμήσας Ἀλέξανδρος τὴν ἔξω θάλασσαν ἐπιδεῖν, καὶ πολλὰ πορθμεῖα κωπήρη καὶ σχεδίας πηξάμενος, ἐκομίζετο [3] τοῖς ποταμοῖς ὑποφερόμενος σχολαίως. ὁ δὲ πλὲς ἐκ ἀργὸς ἦν, ἐδ' ἀπόλεμος· προσβάλλων δὲ ταῖς πόλεσι καὶ ἀποβαίνων, ἐχειρετο πάντα. πρὸς δὲ τοῖς καλεμένοις Μαλλοῖς, ὃς φασιν Ἰνδῶν μαχιμωτάτες γενέσθαι, μικρὸν ἐδέησε κατακοπῆναι. τὲς μὲν γὰρ ἀνθρώπες βέλεσιν ἀπὸ τῶν τειχῶν ἀπεσκέδασε· πρῶτος δὲ διὰ κλίμακος τεθείσης ἀναβὰς ἐπὶ τὸ τεῖχος, ὡς ἥ τε κλίμαξ συνετρίβη, καὶ, τῶν βαρβάρων ὑφισαμένων παρὰ τὸ τεῖχος, ἐλάμβανε πληγὰς κάτωθεν, ὀλιγοσὸς ὢν, συστρέψας ἑαυτὸν εἰς μέσες ἀφῆκε τὲς πολεμίες, καὶ κατὰ τύχην ὀρθὸς ἔστη. τιναξαμένε δὲ τοῖς ὅπλοις, ἔδοξαν οἱ βάρβαροι σέλας τι καὶ φάσμα πρὸ τε σώματος φέρεσθαι. διὸ καὶ τὸ πρῶτον ἔφυγον καὶ διεσκεδάσθησαν· ὡς δ' εἶδον αὐτὸν μετὰ δυεῖν ὑπασπιστῶν, ἐπιδραμόντες, οἱ μὲν ἐκ χειρὸς ξίφεσι καὶ δόρασι διὰ τῶν ὅπλων συνετίτρωσκον ἀμυνόμενον· εἷς δὲ μικρὸν ἀπωτέρω στὰς, ἐφῆκεν ἀπὸ τό-

ξε

1 Diod. habet τῶν δώδεκα θεῶν.

2 V. pro δὲ habet γάρ.

3 Sic cum V. Mos. Dus. probante, R. dedit pro vulg. ἐκόμιζε.

ξου βέλος οὕτως εὔτονον καὶ βίαιον, ὥστε τὸν θώρακα διακόψαν ἐμπαγῆναι τοῖς περὶ τὸν μαστὸν ὀστέοις. πρὸς δὲ τὴν πληγὴν ἐνδόντος αὐτοῦ, καὶ τὸ σῶμα κάμψαντος [1], ὁ μὲν βαλὼν ἐπέδραμε, σπασάμενος βαρβαρικὴν μάχαιραν· Πευκέστας δὲ καὶ Λιμναῖος [2] προέστησαν· ὧν πληγέντων ἑκατέρων, ὁ μὲν ἀπέθανε, Πευκέστας δ' ἀντεῖχε. τὸν δὲ βάρβαρον Ἀλέξανδρος ἀπέκτεινεν. αὐτὸς δὲ τραύματα πολλὰ λαμβάνων [3], τέλος δὲ πληγεὶς ὑπέρῳ κατὰ τοῦ τραχήλου, προσήρεισε τῷ τείχει τὸ σῶμα, βλέπων πρὸς τοὺς πολεμίους. ἐν τούτῳ δὲ τῶν Μακεδόνων περιχυθέντων, ἁρπασθεὶς, ἀναίσθητος ἤδη τῶν περὶ αὐτὸν ἐπὶ τὴν σκηνὴν [4] ἐκομίζετο. καὶ παραυτίκα μὲν ὡς τεθνεῶτος ἦν λόγος ἐν τῷ στρατοπέδῳ· χαλεπῶς δὲ καὶ πολυπόνως τὸν οἰστὸν ἐκπρισάντων, ξύλινον ὄντα, καὶ τοῦ θώρακος οὕτω μόλις ἀπολυθέντος [5], περὶ τὴν ἐκκοπὴν ἐγίνοντο, τῆς ἀκίδος ἐνδεδυκυίας [ἐν [6]] ἑνὶ τῶν ὀστέων. λέγεται δὲ τὸ μὲν πλάτος τριῶν δακτύλων εἶναι, τὸ δὲ μῆκος τεσσάρων [7]. διὸ ταῖς λειποθυμίαις ἔγγιστα θανάτου συνελαυνόμενος, ἐξαιρουμένης αὐτῆς, ὅμως ἀνέλαβε. καὶ διαφυγὼν τὸν κίνδυνον, ἔτι δ' ἀσθενὴς ὤν, καὶ πολὺν χρόνον ἐν διαίτῃ καὶ θεραπείαις ἔχων αὐτὸν, ἔξω θορυβοῦντας ὡς ᾔσθετο, ποθοῦν-



1 Sic R. de suo dedit. Vulgo ἐνδόντος αὐτοῦ τὸ σῶμα καὶ κάμψ.

2 Alibi in Plut. prave scribi Λημναῖοι, Br. adnotat. Curtius *Timaeum* vocat. Sequens προίστ. R. ex Br. conjectura dedit pro vulg. προσίστησαν. Mos. Dus. προσήεσαν maluit, cum Curtius eos tum demum *supervenisse* affirmat, & *solum* diu ibi fuisse Alexandrum, apud omnes constet.

3 V. λαβών.

4 Vulgo ἐπὶ σκηνῆς. Mos. Dus. voluit ἐπὶ σκηνήν. Sic dedit R. articulum de suo addens.

5 Br. susp. ἀποδυθέντος.

6 R. uncis inclusit.

7 Alibi a Plut. longitudo IV. digitorum, longitudo V. fuisse dicitur.

τας αὐτὸν ἰδεῖν, τὰς Μακεδόνας, λαβὼν ἱμάτιον προῆλθε, καὶ θύσας τοῖς θεοῖς, αὖθις ἀνῆλθε [1], καὶ παρεκομίζετο χώραν τε πολλὴν καὶ πόλεις μεγάλας καταστρεφόμενος.

LXIV. Τῶν δὲ Γυμνοσοφιστῶν τὰς μάλιστα τὸν Σάββαν [2] ἀναπείσαντας ἀποστῆναι, καὶ κακὰ πλεῖστα τοῖς Μακεδόσι παρασχόντας, λαβὼν δέκα, δεινὰς δοκᾶντας εἶναι περὶ τὰς ἀποκρίσεις καὶ βραχυλόγας, ἐρωτήματα πρᾶγραφεν [3] αὐτοῖς ἄπορα· φήσας, ἀποκτενεῖν τὸν μὴ ὀρθῶς [4] ἀποκρινόμενον πρῶτον, εἶτ᾽ ἐφεξῆς ἄτω [5] τὰς ἄλλας. ἕνα δὲ τὸν πρεσβύτατον ἐκέλευσε κρίνειν. ὁ μὲν ἂν πρῶτος ἐρωτηθεὶς, πότερον οἴεται τὰς ζῶντας εἶναι πλείονας, ἢ τὰς τεθνηκότας, ἔφη, τὰς ζῶντας· ἀκ ἔτι γὰρ εἶναι τὰς τεθνηκότας. ὁ δὲ δεύτερος, πότερον τὴν γῆν, ἢ τὴν θάλατταν, μείζονα τρέφειν θηρία· τὴν γῆν· ταύτης γὰρ ἔφη μέρος εἶναι τὴν θάλατταν. ὁ δὲ τρίτος, ποῖόν ἐστι ζῶον πανεργότατον· ὃ μέχρι τᾶ νῦν, εἶπεν, ἄνθρωπος ἀκ ἔγνωκεν. ὁ δὲ τέταρτος ἀνακρινόμενος, τίνι λογισμῷ τὸν Σάββαν ἀπέστησαν [6]· ἀπεκρίνατο, καλῶς ζῆν βαλόμενοι αὐτὸν, ἢ κακῶς [7] ἀποθανεῖν. ὁ δὲ πέμπτος, ἐρωτηθεὶς, πότερον οἴεται τὴν ἡμέραν, ἢ τὴν νύκτα, προτέραν γεγονέναι· Την

1 R. mavult ἀνήχθη, *in altum evehebatur, vela ventis dabat.*

2 Diodor. Σάμβαν appellat.

3 Quidam H. Steph. codd. πρᾶφερεν.

4 Pro μὴ ὀρθ. reponendum cenſuit ex ſeq. Moſ. Duſ. κάκιστα.

5 R. mavult ἄτω καὶ τὰς ἄλλας.

6 Sic R. de ſuo dedit, uti & ſeq. βαλόμενοι pro vulg. ἀπέστησεν & βαλόμενος, ut ad plures redeat, de quibus ſupra mentio eſt facta. Junt. habet βαλόμενον. Sic & reliquae omnes edd. excepta Bryanea, quae dedit βαλόμενοι.

7 Dacer. & hoc loco maluit καλῶς. Moſ. Duſ. tuetur vulgatam.

Τὴν ἡμέραν, εἶπεν, ἡμέρᾳ μιᾷ· καὶ προσεῖπεν ἔτως [1] θαυμάσαντος τῦ βασιλέως, ὅτι τῶν ἀπόρων ἐρωτήσεων ανάγκη καὶ τὰς ἀποκρίσεις ἀπόρυς εἶναι. μεταλαβὼν [2] ἦν, τὸν ἕκτον ἠρώτα, πῶς ἄν τις φιληθείη μάλιςα· Ἂν κράτιςος ὢν, ἔφη, μὴ φοβερὸς ᾖ. τῶν δὲ λοιπῶν [3], ὁ μὲν ἐρωτηθεὶς, πῶς ἄν τις ἐξ ἀνθρώπων γένοιτο θεός· Εἴ τι πράξειεν, εἶπεν, ὃ πρᾶξαι δυνατὸν ἀνθρώπῳ μὴ ἐςιν· ὁ δὲ, περὶ ζωῆς καὶ θανάτυ, πότερον ἰσχυρότερον, ἀπεκρίνατο, τὴν ζωὴν, τοσαῦτα κακὰ [4] φέρυσαν. ὁ δὲ τελευταῖος, μέχρι τίνος ἄνθρωπον καλῶς ἔχοι [5] ζῆν. Μέχρις ἂ μὴ νομίζῃ τὸ τεθνάναι τῦ ζῆν ἄμεινον. ἔτω δὴ τραπόμενος πρὸς τὸν δικαςὴν, ἐκέλευσεν ἀποφαίνεσθαι. τῦ δ' ἕτερον ἑτέρυ χεῖρον εἰρηκέναι φήσαντος· Οὐκῦν, ἔφη, καὶ σὺ πρῶτος ἀποθανῇ, τοιαῦτα κρίνων. Οὐκ ἄν γ', εἶπεν, ὦ βασιλεῦ, εἰ μὴ σὺ ψεύδῃ, φήσας, πρῶτον [6] ἀποκτενεῖν τὸν ἀποκρινόμενον κάκιςα.

LXV. Τύτυς μὲν ἦν ἀφῆκε δωρησάμενος· πρὸς δὲ τὺς ἐν δόξῃ μάλιςα καὶ καθ' ἑαυτὺς ἐν ἡσυχίᾳ ζῶντας ἔπεμψεν Ὀνησίκριτον, ἀφικέσθαι δεόμενος πρὸς αὐτόν. ὁ δ' Ὀνησίκριτος ἦν φιλόσοφος τῶν Διογένει τῷ Κυνικῷ συνεσχολακότων. καὶ φησὶ, τὸν μὲν Καλανὸν ὑβριςικῶς πάνυ καὶ τραχέως κελεύειν, ἀποδύντα τὸν χι-



1 Anon. ἔτος, quod probat Mof. Duf. R. poft h. v. deeffe cenfet ἀποκρινάμενον — Alexandro eum mirato, qui hujus modi refponfum dediffet.

2 Junt. μεταβαλών.

3 V. addit τριῶν, quod probat Mof. Duf.

4 Junt. καί. Ald. κατά. Crat. κακά.

5 Sic ex Br. conjectura R. dedit pro vulg. ἔχον. Anon. ἔχει, quod Mofi Duf. placuit. Idem R. feq. νομίζῃ dedit pro vulg. νομίζει, ut omnia confentiant fuperioribus φιληθείη, ᾖ, γένοιτο. Pro μὴ, quod eft ante νομίζει, Dacer. voluit μέν.

6 Junt. πρῶτος, conjunctim cum φήσας. Pro feq. ἀποκρινόμ. R. mavult ἀποκρινάμενον.

χιτῶνα, γυμνὸν ἀκροᾶσθαι τῶν λόγων [1]. ἄλλως δ' οὐ διαλέξεσθαι πρὸς αὐτὸν, οὐδ' εἰ παρὰ τοῦ Διὸς ἀφῖκται· τὸν δὲ Δάνδαμιν, πρᾳότερον [2], καὶ διακούσαντα περὶ Σωκράτους καὶ Πυθαγόρου καὶ Διογένους, εἰπεῖν, ὡς εὐφυεῖς μὲν αὐτῷ γεγονέναι δοκοῦσιν οἱ ἄνδρες, λίαν δὲ τοὺς νόμους αἰσχυνόμενοι βεβιωκέναι [3]. ἄλλοι δέ φασι, τὸν Δάνδαμιν οὐδὲν εἰπεῖν, ἀλλ' ἢ τοσοῦτον μόνον, τίνος χάριν ὁ Ἀλέξανδρος ὁδὸν τοσαύτην δεῦρ' ἦλθε; τὸν μέντοι Καλανὸν ἔπεισεν ὁ Ταξίλης ἐλθεῖν πρὸς Ἀλέξανδρον. ἐκαλεῖτο δὲ Σφίνης· ἐπεὶ δὲ κατ' Ἰνδικὴν γλῶτταν τῷ Καλὲ προσαγορεύων ἀντὶ τοῦ Χαίρειν, τοὺς ἐντυγχάνοντας ἠσπάζετο, Καλανὸς ὑπὸ τῶν Ἑλλήνων ὠνομάσθη. τοῦτον δὲ λέγεται καὶ τὸ παράδειγμα τῆς ἀρχῆς τῷ Ἀλεξάνδρῳ προθέσθαι. καταβαλὼν γὰρ ἐν μέσῳ βύρσαν τινὰ ξηρὰν καὶ κατεσκληκυῖαν, ἐπάτησε τὸ ἄκρον· ἡ δ' εἰς ἓν πιεσθεῖσα, τοῖς ἄλλοις ἐπήρθη μέρεσι. καὶ τοῦτο, περιϊὼν ἐν κύκλῳ καὶ πιέζων, καθ' ἕκαστον ἐδείκνυε γιγνόμενον, ἄχρις οὗ τὸ μέσον ἐπιστὰς κατέσχε, καὶ πάντα οὕτως ἠρέμησεν. ἐβούλετο δ' ἡ εἰκὼν ἔνδειξις εἶναι τοῦ τὰ μέσα δεῖν μάλιστα τῆς ἀρχῆς πιέζειν, καὶ μὴ μακρὰν ἀποπλανᾶσθαι τὸν Ἀλέξανδρον.

LXVI. Ἡ δὲ διὰ τῶν ποταμῶν πρὸς τὴν θάλατταν ὑπαγωγὴ μηνῶν ἑπτὰ χρόνον ἀνήλωσεν. ἐμβαλὼν

δὲ

1 Sermones audire, quos Gymnosophistae ad eum essent habituri. R. tamen videtur sententia postulare ἀποδιδόναι τὸν λόγον, *mandata ab Alexandro ad se reddere*, vel *exponere.*

2 R. monet, subaudiendum esse a communi διαλέχθαι, *cum eo egisse*, alias aut προσφέρεσθαι addendum esse, *cum mitius excepisse*, aut καὶ ante πρᾳότ. delendum.

3 Dacerius id unice respexisse Dandamin putat, quod non nudi & paucis contenti, sicut ipsi, vixissent. Mose autem Duf. notante sententiam in angustum admodum cogit. R. sic explicat: illos nimia & improbabili reverentia constrictos institutis patriis servisse, nimis reveritos esse auctoritates atque voluntates humanas.

δὲ ταῖς ναυσὶν εἰς τὸν Ὠκεανὸν, ἀνέπλευσε πρὸς νῆσον, ἣν Σκιλλῦσιν [1] αὐτὸς ὠνόμασεν, ἕτεροι δὲ Ψιλτοῦκιν. ἐνταῦθα δ᾽ ἀποβὰς, ἔθυε τοῖς θεοῖς, καὶ τὴν φύσιν ἐπεῖδε τοῦ πελάγους καὶ τῆς παραλίας, ὅσον ἐφικτὸν ἦν. εἶτ᾽ ἐπευξάμενος μηδένα μετ᾽ αὐτὸν ἀνθρώπων ὑπερβῆναι τοὺς ὅρους τῆς στρατείας, ἀνέστρεφε. καὶ τὰς μὲν ναῦς ἐκέλευσε περιπλεῖν, ἐν δεξιᾷ τὴν Ἰνδικὴν ἐχούσας, ἡγεμόνα [2] μὲν Νέαρχον ἀποδείξας, ἀρχικυβερνήτην δ᾽ Ὀνησίκριτον. αὐτὸς δὲ πεζῇ δι᾽ Ὠρειτῶν πορευόμενος, εἰς ἐσχάτην ἀπορίαν προήχθη, καὶ πλῆθος ἀνθρώπων ἀπώλεσεν, ὥστε τῆς μαχίμου δυνάμεως μηδὲ τὸ τέταρτον ἐκ τῆς Ἰνδικῆς ἀπαγαγεῖν. καίτοι δώδεκα μὲν μυριάδες ἦσαν οἱ πεζοὶ, τὸ δ᾽ ἱππικὸν εἰς μυρίους καὶ πεντακισχιλίους. ἀλλὰ καὶ νόσοι χαλεπαὶ, καὶ δίαιται πονηραὶ, καὶ καύματα ξηρὰ, καὶ πλείστους [3] ὁ λιμὸς διέφθειρεν, ἄσπορον χώραν ἐπιόντας ἀνθρώπων κακοβίων, ὀλίγα καὶ ἀγεννῆ πρόβατα κεκτημένων, ἃ τοὺς θαλαττίους ἰχθύας [4] εἰθισμένα προσφέρεσθαι, σάρκα μοχθηρὰν εἶχε καὶ δυσώδη. μόλις οὖν ἐν ἡμέραις ἑξήκοντα ταύτην διελθὼν, καὶ τῆς Γεδρωσίας ἁψάμενος, εὐθὺς ἐν ἀφθόνοις ἦν πᾶσι, τῶν ἔγγιστα σατραπῶν καὶ βασιλέων παρασκευασάντων [5].

LXVII. Ἀναλαβὼν οὖν ἐνταῦθα τὴν δύναμιν, ἐξώρμησε κώμῳ χρώμενος ἐφ᾽ ἡμέρας ἑπτὰ διὰ τῆς Καρμανίας. αὐτὸν μὲν οὖν ἵπποι σχέδην ἐκόμιζον ὀκτὼ μετὰ τῶν ἑταίρων ὑπὲρ θυμέλης ἐν ὑψηλῷ καὶ περιφανεῖ πλαισίῳ πεπηγυίας, εὐωχούμενον συνεχῶς ἡμέρας καὶ

 νυκτός.

1 Arrian. L. VI. Κίλλουτα dictam fuisse tradit.

2 Magistrum militum, ut archigubernatori suberant cum minoribus gubernatoribus nautae. R.

3 R. mavult cum artic. τοὺς πλείστους.

4 V. ἰχθῦς. Cf. Strab. L. XV. cum Casauboni observationibus ad eundem locum.

5 V. παρασκευάσματα.

νυκτός. ἅμαξαι δὲ παμπληθεῖς, αἱ μὲν ἁλυργοῖς καὶ ποικίλοις περιβολαίοις, αἱ δ' ὕλης ἀεὶ προσφάτου καὶ χλωρᾶς σκιαζόμεναι κλάδοις εἵποντο, τοὺς ἄλλους ἄγουσαι φίλους καὶ ἡγεμόνας ἐστεφανωμένους καὶ πίνοντας. εἶδες δ' ἂν οὐ πέλτην, οὐ κράνος, οὐ σάρισσαν, ἀλλὰ φιάλαις καὶ ῥυτοῖς καὶ θηρικλείοις παρὰ τὴν ὁδὸν ἅπασαν οἱ στρατιῶται βαπτίζοντες [1] ἐκ πίθων μεγάλων καὶ κρατήρων ἀλλήλοις προέπινον, οἱ μὲν ἐν τῷ προάγειν ἅμα καὶ βαδίζειν, οἱ δὲ κατακείμενοι. πολλὴ δὲ μοῦσα συρίγγων καὶ αὐλῶν, ᾠδῆς τε καὶ ψαλμοῦ καὶ βακχείας [2] γυναικῶν κατεῖχε πάντα τόπον. τῷ δ' ἀτάκτῳ καὶ πεπλανημένῳ τῆς πορείας παρείπετο [ταῖς φιάλαις [3]] καὶ παιδιὰ βακχικῆς ὕβρεως, ὡς τοῦ θεοῦ παρόντος αὐτοῦ, καὶ συμπαραπέμποντος τὸν κῶμον. ἐπεὶ δ' ἧκε τῆς Γεδρωσίας [4] εἰς τὸ βασίλειον, αὖθις ἀνελάμβανε τὴν στρα-

1 Mosi Duf. haec vox est suspecta, cum ἐκ πίθων ita constructa. Non audet tamen ἀρύοντες absque Codd. auctoritate reponere.

2 R. mavult in nomin. βακχεία.

3 R. uncis inclusit, suspicans, has duas voces in versum proximum deducendas esse, & pone καὶ collocandas. Tan. Faber, Dacerio notante, in not. ad Anacr. ita legendum censuit: παρείπετο ὁ Φάλης, *sequebatur Phales* (Priapus, in Bacchanalibus circumferri solitus) *& Bacchicae licentiae ludus.* Hanc conjecturam sequitur cum Kindio Schirach, adnotans: „Mich dünkt, dass Alexander bey diesem schwärmerischen „Bacchuszuge, der in seiner Art so einzig ist, den in der „Mythologie berühmten Zug des Bacchus nach Indien habe „nachahmen wollen.“ Br. maluit τῆς φαλλοφορίας π. κ. β. ὕ. Mos. Dus. autem καὶ θίασος. Ante aut post ὕβρεως addi vult R. μεστή.

4 Dacer. τῆς Καρμανίας reponit, cum Gedrosia relicta, peragraverat VII. certe diebus Carmaniam, in eaque aut in proxima regione, quae Persia erat, jam versari, non in Gedrosia, necesse sit. Mos. Dus. susp. ἐκ τῆς Γεδρωσίας ἧκεν. Schirach Plutarchum ipsum erroris incusat, qualem haud raro admiserit sive memoriae lapsu, sive temere ex aliis excerpendo.

ϛρατιὰν πανυγηρίζων. λέγεται δὲ, μεθύοντα αὐτὸν θεωρεῖν ἀγῶνας χορῶν, τὸν δ' ἐρώμενον Βαγώαν χορηγοῦντα νικῆσαι, καὶ κεκοσμημένον διὰ τοῦ θεάτρου παρελθόντα καθίσαι παρ' αὐτόν· ἰδόντας δὲ τοὺς Μακεδόνας, κροτεῖν καὶ βοᾶν, φιλῆσαι κελεύοντας, ἄχρις οὗ περιβαλὼν κατεφίλησεν.

LXVIII. Ἐνταῦθα τῶν περὶ Νέαρχον ἀναβάντων πρὸς αὐτὸν, ἡσθεὶς καὶ διακούσας τὰ περὶ τὸν πλοῦν, ὥρμησεν αὐτὸς πλεύσας κατὰ τὸν Εὐφράτην [1] ϛόλῳ μεγάλῳ, εἶτα περὶ τὴν Ἀραβίαν καὶ τὴν Λιβύην παρακομισθεὶς [2], διὰ ϛηλῶν Ἡρακλείων ἐμβαλεῖν εἰς τὴν ἐντὸς θάλασσαν. καὶ πλοῖα παντοδαπὰ περὶ Θάψακον ἐπήγνυτο [3], καὶ συνήγοντο ναῦται καὶ κυβερνῆται πανταχόθεν. ἡ δ' ἄνω ϛρατεία [4] χαλεπὴ γενομένη, καὶ τὸ περὶ Μαλλοὺς ϛράτευμα [5] καὶ ἡ φθορὰ πολλὴ λεχθεῖσα τῆς δυνάμεως, ἀπιϛίᾳ τῆς σωτηρίας αὐτοῦ, τά τε ὑπήκοα πρὸς ἀποϛάσεις ἐπῆρε, καὶ τοῖς ϛρατηγοῖς καὶ σατράπαις ἀδικίαν πολλὴν καὶ πλεονεξίαν καὶ ὕβριν ἐποίησε· καὶ ὅλως διέδραμε σάλος ἁπάντων καὶ νεωτερισμός. ὅπου καὶ πρὸς Ἀντίπατρον Ὀλυμπιὰς καὶ Κλεοπάτρα ϛασιάσασαι διείλοντο τὴν ἀρχὴν, Ὀλυμπιὰς μὲν Ἤπειρον, Κλεοπάτρα δὲ Μακεδονίαν παραλαβοῦσα. καὶ τοῦτ' ἀκούσας Ἀλέξανδρος, βέλτιον ἔφη βεβουλεῦσθαι τὴν μητέρα· Μακεδόνας γὰρ οὐκ ἂν ὑπομεῖναι βασιλευομένους ὑπὸ γυναικός. διὰ ταῦτα Νέαρχον μὲν



1 R. susp. κατὰ τοῦ Εὐφράτου, *per Euphratem deorsum*, secundo fluvio. κατὰ τὸν Εὐφ. πλεῖν est in flumine vehi, quamcunque ad plagam.

2 R. aut περὶ τὴν Ἀραβίαν, aut περικομισθεὶς legi vult.

3 V. ἐπήγοντο.

4 Junt. Ald. Crat. ϛρατιά. Steph. ϛρατεία.

5 V. παρὰ πολλοὺς pro περὶ M. Vox ϛρατ. Mosi Duf. cum πάθημα aut ἧττημα mutandum videtur, si vulgata stet περὶ M. — R. quaerit num τραῦμα pro ϛρατ. — Id. in seq. susp. καὶ ἡ παρ' Ὠρείταις φθορὰ, πολλὴ λεχθεῖσα — καὶ ἀπιϛία.

αὖθις ἐπὶ θάλασσαν ἔπεμψεν, ἐμπλῆσαι πολέμων [1] ἅπασαν ἐγνωκὼς τὴν παραλίαν· αὐτὸς δὲ καταβαίνων [2] ἐκόλασε τοὺς πονηροὺς τῶν στρατηγῶν. τῶν δ' Ἀβουλίτου παίδων ἕνα μὲν, Ὀξυάρτην, αὐτὸς ἀπέκτεινε, σαρίσσῃ διελάσας· Ἀβουλίτου δὲ μηδὲν τῶν ἀναγκαίων παρασκευάσαντος, ἀλλ' ἢ τριχίλια τάλαντα νομίσματος αὐτῷ προσαγαγόντος, ἐκέλευσε τοῖς ἵπποις τὸ ἀργύριον παραβαλεῖν. ὡς δ' οὐκ ἐγεύοντο, Φήσας· Τί οὖν ὄφελος ἡμῖν τῆς σῆς παρασκευῆς; καθεῖρξε τὸν Ἀβουλίτην.

LXIX. Ἐν δὲ Πέρσαις πρῶτον μὲν ἀπέδωκε τὸ νόμισμα ταῖς γυναιξὶν, ὥσπερ εἰώθεισαν οἱ βασιλεῖς, ὁσάκις εἰς Πέρσας ἀφίκοιντο, διδόναι χρυσοῦν [3] ἑκάστῃ. καὶ διὰ τοῦτο φασὶν ἐνίους μὴ πολλάκις, Ὦχον δὲ μηδ' ἅπαξ εἰς Πέρσας παραγενέσθαι, διὰ μικρολογίαν ἀποξενώσαντα τῆς πατρίδος ἑαυτόν. ἔπειτα τὸν Κύρου τάφον εὑρὼν διορωρυγμένον, ἀπέκτεινε τὸν ἀδικήσαντα, καίτοι Πελλαῖος [4] ἦν οὐ τῶν ἀσημοτάτων ὁ πλημμελήσας, ὄνομα Πολύμαχος. τὴν δ' ἐπιγραφὴν ἀναγνοὺς, ἐκέλευσεν Ἑλληνικοῖς ὑποχαράξαι γράμμασιν. εἶχε δ' οὕτως· Ὦ ἄνθρωπε, ὅστις εἶ, καὶ πόθεν [5] ἥκεις· (ὅτι μὲν γὰρ ἥξεις, οἶδα·) ἐγὼ Κῦρος εἰμὶ, ὁ Πέρσαις κτησάμενος τὴν ἀρχήν. μὴ οὖν τῆς ὀλίγης ταύτης γῆς φθονήσῃς, ἣ τοὐμὸν σῶμα περικαλύπτει. Ταῦτα μὲν οὖν ἐμπαθῆ σφόδρα τὸν Ἀλέξανδρον ἐποίησεν, ἐν νῷ λα-

1 V. e Junt. πολεμίων. R. quaerit, num πόλεων, urbibus?
2 R. fusp. ἀναβαίνων εἰς τὴν Περσίδα, cum ab ora maritima versus continentem proficiscentes ἀναβαίνειν, *adscendere*, dicantur, contra καταβαίνειν, *ad mare descendere*, Alexander autem ab ora maris Indici vel Persici, in Persiam venerit. Sequens ἐκόλασε sola ex Br. prodiit. Omnes priores ἐκόλαζε.
3 V. χρυσόν. Idem paulo post ἀποξενώσαντος pro accus.
4 V. Παλαῖος. Cf. Curt. X, 1. Arrian. L. VI. sub fin.
5 V. ὅθεν. Seq. ἐγὼ alii jungunt cum οἶδα. Sic est in Ald. Junt. Crat. Rectius autem jungi cum seqq. monuit H. Steph.

λαβόντα [1] τὴν ἀδηλότητα καὶ τὴν μεταβολήν. ὁ δὲ Κάλανος ἐνταῦθα χρόνον ὀ πολὺν ὑπὸ κοιλίας ἐνοχληθεὶς, ᾐτήσατο πυρὰν αὐτῷ γενέσθαι. καὶ κομισθεὶς ἵππῳ πρὸς αὐτὴν, ἐπευξάμενος καὶ κατασπείσας ἑαυτῦ [2], καὶ τῶν τριχῶν ἀπαρξάμενος, ἀναβαίνων ἐδεξιῦτο τὺς παρόντας τῶν Μακεδόνων, καὶ παρεκάλει τὴν ἡμέραν ἐκείνην ἡδέως γενέσθαι, καὶ μεθυσθῆναι μετὰ τῦ βασιλέως· αὐτὸν [3] δ' ἐκεῖνον ἔφη μετ' ὀλίγον χρόνον ἐν Βαβυλῶνι ὄψεσθαι. Ταῦτα δ' εἰπὼν, κατακλιθεὶς καὶ συγκαλυψάμενος, ὐκ ἐκινήθη, τῦ πυρὸς πλησιάζοντος, ἀλλ', ἐν ᾧ κατεκλίθη σχήματι, τῦτο διατηρῶν, ἐκαλλιέρησεν ἑαυτὸν τῷ πατρίῳ νόμῳ τῶν ἐκεῖ σοφιςῶν. τῦτο πολλοῖς ἔτεσιν ὕςερον ἄλλος Ἰνδὸς, ἐν Ἀθήναις Καίσαρι συνὼν, ἐποίησε· καὶ δείκνυται μέχρι νῦν τὸ μνημεῖον, Ἰνδῦ προσαγορευόμενον.

LXX. Ὁ δ' Ἀλέξανδρος ἀπὸ τῆς πυρᾶς γενόμενος, καὶ συναγαγὼν πολλὺς τῶν φίλων καὶ τῶν ἡγεμόνων ἐπὶ δεῖπνον, ἀγῶνα πρῦθηκε καὶ ςέφανον ἀκρατοποσίας. ὁ μὲν ὖν πλεῖςον πιὼν Πρόμαχος, ἄχρι χοῶν τεσσάρων προῆλθε· καὶ λαβὼν τὸ νικητήριον, ςέφανον τ' ταλάντων [4], ἡμέρας τρεῖς ἐπέζησε. τῶν δὲ ἄλλων, ὡς Χάρης φησὶν, τετταράκοντα καὶ εἷς ἀπέθανον πίνον-

1 Post h. v. aut in hac regione R. deesse censet τῆς τύχης.

2 Br. mavult ἑαυτόν.

3 Mos. Dus. mavult αὐτός.

4 R. sic dedit de suo — *praemium victoriae, coronam nempe auream tercentorum talentorum.* Vulgo νικητήριον ςέφανον τάλαντον. Mos. Dus. cum H. Steph. aut καὶ interjiciendum censet, aut ταλάντυ vult scribi, aut prorsus hanc vocem deleri, aut denique aliquid excidisse suspicatur. Anon. τὸν νικητήριον ςέφ. quod & H. Steph. probavit, ut sit τὸν νικητήριον ςέφ. καὶ τάλ. vel τὸ νικητήριον, ςέφ. καὶ τάλ. Xyl. & Cruser. omittunt ςέφ. (Sic & Aelian. II, 41.) Guarin. *unius talenti coronam.* Schirach sequitur Stephanum, reprobans Reiskii conjecturam.

νοντες [1], ἰσχυρȣ̃ τῇ μέθῃ κρύȣς ἐπιγενομένȣ. τῶν δ' ἑταίρων γάμον ἐν Σȣ́σοις ἐπιτελῶν, καὶ λαμβάνων μὲν αὐτὸς γυναῖκα, τὴν Δαρείȣ θυγατέρα, Στάτειραν [2], διανέμων δὲ τὰς ἀρίστας τοῖς ἀρίστοις, κοινὸν δὲ τῶν ἤδη προγεγαμηκότων Μακεδόνων γάμον καλὸν [3] ἑστιάσας· ἐν ᾧ φασὶν, ἐννακισχιλίων τῶν παρακεκλημένων ἐπὶ τὸ δεῖπνον ὄντων, ἑκάστῳ χρυσῆν φιάλην πρὸς τὰς σπονδὰς δοθῆναι· τά τ' ἄλλα θαυμαστῶς ἐλαμπρύνατο, καὶ τὰ χρέα τοῖς δανείσασιν [4] ὑπὲρ τῶν ὀφειλόντων αὐτὸς διαλύσας [5], τȣ̃ παντὸς ἀναλώματος ἐλάσσονος μυρίων ταλάντων ἑκατὸν τριάκοντα ταλάντοις γενομένȣ. ἐπεὶ δ' Ἀντιγένης ὁ ἑτερόφθαλμος, ὡς ὀφείλων ἀπεγράψατο ψευδῶς, καὶ παραγαγὼν τινὰ φάσκοντα δεδανεικέναι πρὸς τὴν τράπεζαν, ἀπέτισε τὸ ἀργύριον, εἶτ' ἐφωράθη ψευδόμενος· ὀργισθεὶς ὁ βασιλεὺς, ἀπήλασε τῆς αὐλῆς αὐτὸν, καὶ παρείλετο τὴν ἡγεμονίαν. ἦν δὲ λαμπρὸς ἐν τοῖς πολεμικοῖς ὁ Ἀντιγένης· καὶ ἔτι δὲ νέος ὢν, Φιλίππȣ πολιορκȣ̃ντος Πέρινθον, ἐμπεσόντος αὐτῷ καταπελτικȣ̃ βέλȣς εἰς τὸν ὀφθαλμὸν, ȣ̓ παρέσχε βȣλομένοις ἐξελεῖν τὸ βέλος, ȣ̓δὲ ὑφήκατο, πρὶν ὤσασθαι προσμαχόμενος καὶ κατακλεῖσαι τȣ̀ς πολεμίȣς εἰς τὸ τεῖχος. ȣ̓ μετρίως ȣ̃ν τότε τὴν ἀτιμίαν ἔφερεν, ἀλλὰ δῆλος ἦν ἑαυτὸν ὑπὸ λύπης καὶ βαρυθυμίας [6] διαχρησόμενος. καὶ τȣ̃το δείσας ὁ βασιλεὺς, ἀνῆκε τὴν ὀργὴν, καὶ τὰ χρήματα ἔχειν ἐκέλευσεν αὐτόν·

LXXI. Τῶν δὲ παίδων τῶν τρισμυρίων, ȣ̔̃ς ἀσκȣμένȣς καὶ μανθάνοντας ἀπέλιπε, τοῖς τε σώμασιν ἀνδρείων

1 Inter potandum, ipſo in triclinio — exſpirabant. R.

2 Arrian. corrupte habet Barſinen. Moſ. Duſ.

3 Aut delendam hanc vocem cenſet R. aut cum πάλιν mutandam.

4 R. poſt h. v. deeſſe cenſet ἀπέδωκεν.

5 Anon. διέλυσε.

6 Junt. ſola ῥαθυμίας.

δρείων Φανένων, καὶ τοῖς εἴδεσιν [1] εὐπρεπῶν, ἔτι δὲ καὶ ταῖς μελέταις εὐχέρειαν καὶ κȣφότητα θαυμαςὴν ἐπιδειξαμένων, αὐτὸς μὲν ἥδη· τοῖς δὲ Μακεδόσι δυσθυμία παρέςη καὶ δέος, ὡς ἧτον αὐτοῖς τȣ̃ βασιλέως προσέξοντος. διὸ καὶ τȣ̀ς ἀσθενεῖς καὶ πεπηρωμένȣς αὐτȣ̃ καταπέμποντος ἐπὶ θάλατταν [2], ὕβριν ἔφασαν εἶναι καὶ προπηλακισμὸν, ἀνθρώποις ἀποχρησάμενον εἰς ἅπαντα, νῦν ἀποτίθεσθαι [3] σὺν αἰσχύνῃ, καὶ προσρίπτειν ταῖς πατρίσι καὶ τοῖς γονεῦσιν, ȣ̓ τοιȣ́τȣς παραλαβόντα. πάντας ȣ̓̃ν ἐκέλευον ἀφιέναι, καὶ πάντας ἀχρήςȣς νομίζειν Μακεδόνας, ἔχοντα τȣ̀ς νέȣς τȣ́τȣς πυῤῥιχιςὰς, σὺν οἷς ἐπιὼν καταϰτήσεται τὴν οἰκȣμένην. πρὸς ταῦτα χαλεπῶς ὁ Ἀλέξανδρος ἔσχε, καὶ πολλὰ μὲν ἐλοιδόρησεν αὐτȣ̀ς πρὸς ὀργὴν, ἀπελάσας δὲ, τὰς Φυλακὰς [4] παρέδωκε Πέρσαις, καὶ κατέςησεν ἐκ τȣ́των δορυφόρȣς καὶ ῥαβδοφόρȣς· ὑφ᾽ ὧν ὁρῶντες αὐτὸν παραπεμπόμενον, αὐτȣ̀ς δ᾽ ἀπειργομένȣς καὶ προπηλακιζομένȣς, ἐταπεινȣ̃ντο· καὶ διδόντες λόγον [5], εὕρισκον αὑτȣ̀ς ὀλίγȣ δεῖν μανέν-

1 Pro hac voce iterum V. σώμασιν. Cat. var. Frſt.
2 V. πεπληρωμένȣς αὐτȣ̃ κατεπέμποντο εἰς τὴν θάλατταν.
3 Subaudi αὐτȣ̀ς.
4 V. Φυλὰς.
5 Pro ἐταπ. Moſ. Duſ. ſuſp. ἐτραχύνοντο. Pro διδ. Anon. διαδόντες, quod Dacer. probat. R. ſuſp. διδόντες ἑαυτοῖς λόγον, *rationes ſecum ſubducentes*, h. e. *ipſi ſecum deliberatum euntes, conditionem ipſi ſuam ſecum tacite reputantes.* Haud tamen negat, hanc dictionem huic, quem nunc tenent, ordini verborum parum convenientem videri, & ſuſpicatur, nonnihil a librariis hic admiſſum erroris verba trajicientibus ad hunc modum reſtituenda: προπηλακιζομένȣς, εὕρισκον ἑαυτȣ̀ς ὀλίγȣ δεῖν μανέντας ὑπὸ ζηλοτυπίας καὶ ὀργῆς, *intelligebant, ſe ab aemulatione atque iracundia ita exarſiſſe, ut a furore parum diſtarent.* Τέλος δὲ διδόντες ἑαυτοῖς λόγον, *tandem vero, rebus mature penſitatis, & momentis cauſae in utramque partem, tam ſuam, quam Alexandri, gravantibusque & elevantibus, aequa lance libratis,* ἐταπεινȣ̃ντο, *molliebantur, ſubſide-*

μανέντας ὑπὸ ζηλοτυπίας καὶ ὀργῆς. τέλος δὲ, συμφρονήσαντες ἐβάδιζον ἄνοπλοι καὶ μονοχίτωνες ἐπὶ τὴν σκηνὴν μετὰ βοῆς καὶ κλαυθμοῦ παραδιδόντες ἑαυτοὺς, καὶ χρήσασθαι κελεύοντες ὡς κακοῖς καὶ ἀχαρίστοις. ὁ δ' οὐ προσίετο, καίπερ ἤδη μαλασσόμενος. οἱ δ' οὐκ ἀπέστησαν, ἀλλ' ἡμέρας δύο καὶ νύκτας οὕτω προεστῶτες καὶ ὀλοφυρόμενοι καὶ κοίρανον [1] ἀνακαλοῦντες ἐκαρτέρησαν. τῇ δὲ τρίτῃ προελθὼν, καὶ θεασάμενος οἰκτροὺς καὶ τεταπεινωμένους, ἐδάκρυε [2] πολὺν χρόνον· εἶτα μεμψάμενος μέτρια, καὶ προσαγορεύσας φιλανθρώπως, ἀπέλυσε τοὺς ἀχρήστους, δωρησάμενος μεγαλοπρεπῶς, καὶ γράψας πρὸς Ἀντίπατρον, ὅπως ἐν πᾶσι τοῖς ἀγῶσι καὶ τοῖς θεάτροις προεδρίαν ἔχοντες ἐστεφανωμένοι καθέζοιντο. τῶν δὲ τεθνηκότων τοὺς παῖδας, ὀρφανοὺς ὄντας, ἐμμίσθους ἐποίησεν.

LXXII. Ὡς δ' ἧκεν εἰς Ἐκβάτανα τῆς Μηδίας, καὶ διῴκησε τὰ κατεπείγοντα, πάλιν ἦν ἐν θεάτροις καὶ πανηγύρεσιν, ἅτε δὴ τρισχιλίων αὐτῷ τεχνιτῶν ἀπὸ τῆς Ἑλλάδος ἀφιγμένων. ἔτυχε δὲ περὶ τὰς ἡμέρας ἐκείνας Ἡφαιστίων πυρέσσων· οἷα δὲ νέος καὶ στρατιωτικὸς, οὐ φέρων ἀκριβῆ δίαιταν, ἀλλ', ἅμα τῷ [3] τὸν ἰατρὸν Γλαῦκον ἀπελθεῖν εἰς τὸ θέατρον, περὶ ἄριστον γενό-

*sidebant tumidi ipsorum animi*, καὶ συμφρονήσαντες, *omnesque unanimi consensu adibant ad Alexandrum* — Minus necessariam hanc textus transpositionem censet Schirach, sic vertens: Wie die Macedonier — sich verstossen und beschimpft sahen, wurden sie ganz niedergeschlagen, und in ihren Betrachtungen darüber von Eifersucht und Zorn fast unsinnig. Endlich, da *sie wieder etwas zu sich selbst kamen* —

1 Convenire huic loco apprime ea censet Mos. Duf. quae Constantinus in Lex. de hac voce exponit: Κοίρανος, ὁ ἐν καιρῷ ἄρχων, i. e. *qui opportune imperat & absque suorum injuria.* Pariter ex Hom. Iliad. II, 240. putari posse monet, legendum esse h. l. κοίρανον ἕνα ἀνακαλοῦντες.

2 V. ἐδάκρυσε.

3 Sic R. cum Anon. dedit. Vulgo deest ἅμα.

γενόμενος, καὶ καταφαγὼν ἀλεκτρυόνα ἐφθὸν, καὶ ψυκτῆρα μέγαν ἐκπιὼν οἴνου, κακῶς ἔσχε, καὶ μικρὸν διαλιπὼν ἀπέθανε. τοῦτ' οὐδενὶ λογισμῷ τὸ πάθος Ἀλέξανδρος ἤνεγκεν, ἀλλ' εὐθὺς μὲν ἵππους τε κεῖραι πάντας ἐπὶ πένθει καὶ ἡμιόνους ἐκέλευσε, καὶ τῶν πέριξ πόλεων ἀφεῖλε τὰς ἐπάλξεις· τὸν δ' ἄθλιον ἰατρὸν ἀνεσταύρωσεν. αὐλοὺς δὲ κατέπαυσε καὶ μουσικὴν ἐν τῷ στρατοπέδῳ πολὺν χρόνον, ἕως ἐξ Ἄμμωνος ἦλθε μαντεία τιμᾷν Ἡφαιστίωνα, καὶ θύειν ὡς ἥρωϊ παρακελεύουσα. τοῦ δὲ πένθους παρηγορίᾳ τῷ πολέμῳ χρώμενος, ὥσπερ ἐπὶ θήραν καὶ κυνηγεσίαν ἀνθρώπων ἐξῆλθε, καὶ τὸ Κουσσαῖον [1] ἔθνος κατεστρέφετο, πάντας ἡβηδὸν ἀποσφάττων. τοῦτο δ' Ἡφαιστίωνος ἐναγισμὸς ἐκαλεῖτο. τύμβον δὲ καὶ τάφον [2] αὐτοῦ καὶ τὸν περὶ ταῦτα κόσμον ἀπὸ μυρίων ταλάντων [3] ἐπιτελέσαι διανοούμενος, ὑπερβαλέσθαι δὲ τῷ φιλοτέχνῳ καὶ περιττῷ τῆς κατασκευῆς τὴν δαπάνην, ἐπόθησε μάλιστα τῶν τεχνιτῶν Στασικράτην [4], μεγαλουργίαν τινὰ καὶ τόλμαν καὶ κόμπον ἐν ταῖς καινοτομίαις ἐπαγγελλόμενον. οὗτος γὰρ αὐτῷ πρότερον ἐντυχὼν, ἔφη, τῶν ὀρῶν μάλιστα τὸν Θρᾴκιον Ἄθων διατύπωσιν ἀνδρείκελον δέχεσθαι καὶ διαμόρφωσιν· ἂν οὖν κελεύῃ, μονιμώτατον ἀγαλμάτων αὐτῷ καὶ περιφανέστατον ἐξεργάσασθαι [5] τὸν Ἄθων, τῇ μὲν ἀριστερᾷ χειρὶ περιλαμβάνοντα μυρίανδρον πόλιν οἰκουμένην, τῇ δὲ δεξιᾷ σπένδοντα ποταμοῦ ῥεῦμα δαψιλὲς εἰς τὴν θάλασσαν ἀποῤῥέοντος. ταῦτα μὲν οὖν παρῃτήσατο, πολλῷ δ' ἀτοπώτερα

1 Arrian. & Diodor. Κοσσαῖον scribunt, quod Br. probat.

2 V. ταφήν.

3 Diodor. XII. millia habet.

4 Vitruvius *Dinocratem* nominat. Hunc vero Alexandriae condendae praefuisse auctor est Plinius.

5 Br. voluit ἐξεργάσεσθαι. R. tuetur vulgatam, admonens, ἐξεργάσεσθαι tantummodo quadrare, si Alexander conditionem oblatam accepisset, & Stasicrates certam condixisset operam; in re hypothetica non futuro, sed soli aoristo, locum esse.

πότερα καὶ δαπανηρότερα τέτων σοφιζόμενος τότε καὶ συμμηχανώμενος τοῖς τεχνίταις διέτριβεν.

LXXIII. Εἰς δὲ Βαβυλῶνα προάγοντος αὐτῦ, Νέαρχος (ἀφίκετο γὰρ αὖθις εἰσπλεύσας [1] εἰς τὸν Εὐφράτην διὰ τῆς μεγάλης θαλάσσης) ἔφη, τινὰς ἐντυχεῖν αὐτῷ Χαλδαίους, παραινῦντας ἀπέχεσθαι Βαβυλῶνος τὸν Ἀλέξανδρον. ὁ δ' ὐκ ἐφρόντισεν, ἀλλ' ἐπορεύετο· καὶ πρὸς τοῖς τείχεσι γενόμενος, κόρακας εἶδε πολλὺς διαφερομένυς [2], καὶ τύπτοντας ἀλλήλυς, ὧν ἔνιοι κατέπεσον παρ' αὐτόν. ἔπειτα μηνύσεως γενομένης κατ' Ἀπολλοδώρυ, τῦ ςρατηγῦ τῆς Βαβυλῶνος, ὡς εἴη περὶ αὐτῦ τεθυμένος, ἐκάλει Πυθαγόραν [3], τὸν μάντιν. ὐκ ἀρνυμένυ δὲ τὴν πρᾶξιν, ἠρώτησε τῶν ἱερῶν τὸν τρόπον. Φήσαντος δ', ὅτι τὸ ἧπαρ ἦν ἄλοβον. Παπαὶ, εἶπεν, ἰσχυρὸν τὸ σημεῖον. καὶ τὸν Πυθαγόραν ὐδὲν ἠδίκησεν· ἤχθετο δὲ μὴ πειθεὶς τῷ Νεάρχῳ, καὶ τὰ πολλὰ τῆς Βαβυλῶνος ἔξω κατασκηνῶν, καὶ περιπλέων τὸν Εὐφράτην διέτριβεν. ἠνώχλει δ' αὐτον σημεῖα πολλά. καὶ γὰρ λέοντα τῶν τρεφομένων μέγιςον καὶ κάλλιςον ἥμερος ὄνος ἐπελθὼν καὶ λακτίσας ἀνεῖλεν. ἀποδυσαμένυ δὲ πρὸς ἄλειμμα, καὶ σφαῖραν αὐτῦ παίζοντος, οἱ νεανίσκοι οἱ σφαιρίζοντες [4], ὡς ἔδει πάλιν λαβεῖν τὰ ἱμάτια, καθορῶσιν ἄνθρωπον ἐν τῷ θρόνῳ καθεζόμενον σιωπῇ, τὸ διάδημα καὶ τὴν ςολὴν τὴν βασιλικὴν περικείμενον. ὗτος ἀνακρινόμενος, ὅςις εἴη, χρόνον πολὺν ἄναυδος ἦν. μόλις δὲ συμφρονήσας, Διονύσιος μὲν ἔφη καλεῖσθαι, Μεσσήνιος δ' εἶναι τὸ γένος. ἐκ δέ τινος αἰτίας καὶ κατηγορίας ἐνταῦθα κομισθεὶς ἀπὸ θαλάσσης, πολὺν χρόνον γεγονέναι ἐν δεσμοῖς· ἄρτι δ' αὐτῷ τὸν Σάραπιν ἐπιςάντα τὺς δεσμὺς

1 Omisit hanc vocem Br. sola. Eam R. restituit.

2 V. ὁρᾷ πολλὺς διαφθειρομένυς.

3 Arrian. Πειθαγόραν habet.

4 R. susp. οἱ συσφαιρίζ. pila cum Alexandro ludentes.

μὲς ἀνεῖναι, καὶ προάγειν δεῦρο, καὶ κελεῦσαι λαβόντα τὴν ϛολὴν καὶ τὸ διάδημα καθίσαι καὶ σιωπᾶν.

LXXIV. Ταῦτ' ἀκέσας ὁ Ἀλέξανδρος, τὸν μὲν ἄνθρωπον, ὥσπερ ἐκέλευον οἱ μάντεις, ἠφάνισεν· αὐτὸς δ' ἠθύμει καὶ δύσελπις ἦν πρὸς τὸ θεῖον ἤδη, καὶ πρὸς τὲς φίλες ὕποπτος. μάλιϛα δ' Ἀντίπατρον ἐφοβεῖτο, καὶ τὲς παῖδας, ὧν Ἰόλαος [1] μὲν ἀρχιοινοχοος ἦν· ὁ δὲ Κάσανδρος ἀφῖκτο μὲν νεωϛί· θεασάμενος δὲ βαρβάρες τινὰς προσκυνῦντας, ἅτε δὴ τεθραμμένος Ἑλληνικῶς, καὶ τοιῦτο πρότερον μηδὲν ἑωρακὼς, ἐγέλασε προπετέϛερον. ὁ δ' Ἀλέξανδρος ὠργίσθη, καὶ δραξάμενος αὐτῦ τῶν τριχῶν, σφόδρα ταῖς χερσὶν ἀμφοτέραις ἔπαισε τὴν κεφαλὴν πρὸς τὸν τοῖχον [2]. αὖθις δὲ πρὸς τὲς κατηγορῦντας Ἀντιπάτρε λέγειν τι βελόμενον τὸν Κάσανδρον ἐκκρέων· Τί λέγεις; ἔφη, τοσαύτην ὁδὸν ἀνθρώπες μηδὲν ἀδικεμένες, ἀλλὰ συκοφαντῦντας ἐλθεῖν; φήσαντος δὲ τῦ Κασάνδρε, τῦτ' αὐτὸ σημεῖον εἶναι τῦ συκοφαντεῖν, ὅτι μακρὰν ἥκεσι τῶν ἐλέγχων, ἀναγελάσας ὁ Ἀλέξανδρος· Ταῦτ' ἐκεῖνα, ἔφη, σοφίσματα τῶν Ἀριϛοτέλες εἰς ἑκάτερον τῶν λόγων, οἰμωξομένε γ' ἂν [3] μικρὸν ἀδικῦντες φανῆτε τὲς ἀνθρώπες. τὸ δ' ὅλον ὕτω [4] φασὶ δεινὸν ἐνδῦναι

καὶ

1 Scribendum esse Ἰόλλας, monet Br. & Mos. Dus. Infra c. 77. ipse Plut. habet τῦ Ἰόλα.

2 Junt. Ald. Crat. πρὸς τοῖχοις.

3 Vulgo οἰμωξόμενοι ἂν· sec. Aldinam. V. e Junt. οἰμωξομένων ἄν. Mos. Dus. maluit, quod in Anon. est: οἰμώξει μὲν ὦν, scil. Antipater, vel οἰμώξετε, quia sequitur ἀδικῦντες φανῆτε. R. jam dedit, uti est in textu — *qui*, Aristoteles, *certo certius plorabit* (h. e. male peribit) *ubi vos* (tu cum patre tuo & cum factione vestra adversus me conjurata, qua in factione etiam Aristoteles est) *deprehendamini vel parum ab aequo jure descivisse.*

4 Sic cum V. & Anon. dari voluit Mos. Dus. pro vulg. αὐτῷ, deditque R.

καὶ δευσοποιὸν ἐγγενέθαι τῇ ψυχῇ τῦ Κασάνδρυ το δέος, ὥςε ὕςερον χρόνοις πολλοῖς, ἤδη Μακεδόνων βασιλεύοντα, καὶ κρατῦντα τῆς Ἑλλάδος, ἐν Δελφοῖς περιπατῦντα καὶ θεώμενον τὰς ἀνδριάντας, εἰκόνος Ἀλεξάνδρυ φανείσης, ἄφνω πληγέντα φρίξαι καὶ κραδανθῆναι [1] τὸ σῶμα, καὶ μόλις ἀναλαβεῖν ἑαυτὸν ἰλιγγιάσαντα πρὸς τὴν ὄψιν.

LXXV. Ὁ δ' ὖν Ἀλέξανδρος ὡς ἐνέδωκε τότε πρὸς τὰ θεῖα, ταραχώδης γενόμενος καὶ περίφοβος τὴν διάνοιαν, ὐδὲν ἦν μικρὸν ὕτως τῶν ἀήθων καὶ ἀτόπων, ὃ μὴ τέρας ἐποιεῖτο καὶ σημεῖον· ἀλλὰ θυομένων καὶ καθαιρόντων καὶ μαντευόντων [2] μεςὸν ἦν τὸ βασίλειον. ὕτως ἄρα δεινὸν μὲν ἀπιςία [3] πρὸς τὰ θεῖα, καὶ περιφρόνησις αὐτῶν· δεινὴ δ' αὖθις ἡ δεισιδαιμονία, δίκην ὕδατος ἀεὶ πρὸς τὸ ταπεινύμενον, καὶ ἀναπληρῦν ἀβελτερίας καὶ φόβυ τὸν Ἀλέξανδρον γενόμενον [4]. ὐ μὴν ἀλλὰ, καίπερ [5] χρησμῶν γε τῶν περὶ Ἡφαιςίωνος ἐκ θεῦ

1 V. κραδῆναι.

2 R. susp. σημεῖον· ὅθεν ἅμα θυομ. κ. καθαιρ. καὶ μαντευομένων.

3 R. quaerit, annon cum artic. ἡ, uti paulo post ἡ δεισιδ. Seq. vocem περιφρόν. dedit idem e Junt. pro καταφρ. quod ex Ald. prodiit.

4 Petav. ad Themist. notante Mos. Dus. locum hunc ita refingit: ἡ δεισιδαιμονία δ. ὕ. ἀ. πρὸς τὸ ταπεινύμενον ῥέυσα καὶ ἀναπληρῦσα τῶν γενομένων. Mos. Dus. mavult: ἡ δεισιδαιμονία, δίκην ὕδατος, ἀεὶ πρὸς τὸ ταπεινύμενον καὶ κάταντες ῥέυσα, ἀβελτερίας καὶ φόβυ τὸν Ἀλέξανδρον ἀνεπλήρυ. R. ordinem verborum ita restituendum censet: τὸ βασίλειον, καὶ ἀναπληρύντων ἀβελτερίας καὶ φόβυ τὸν Ἀλέξανδρον. ὕτως ἄρα δεινὸν μὲν ἀπιςία (vel ἡ ἀπ.) — πρὸς τὸ ταπεινύμενον παραγενόμενον — *plena erat regia, mentemque Alexandri stultitia & formidine implentium. Adeo res sunt atroces, ut illinc contemtus deorum, ita rursus hinc superstitio, semper illa solita in animos depressos incumbere, ut aqua nunquam non in loca humilia subsidit.*

5 V. καί. Junt. καὶ περὶ χρ. R. aut delendum esse censet

θεοῦ κομισθέντων, ἀποθέμενος τὸ πένθος, αὖθις ἦν ἐν θυσίαις καὶ πότοις. ἑστιάσας δὲ λαμπρῶς τοὺς περὶ Νέαρχον, εἶτα λουσάμενος, ὥσπερ εἰώθει, μέλλων καθεύδειν, Μηδίου δεηθέντος, ᾤχετο κωμασόμενος πρὸς αὐτόν· κἀκεῖ πιὼν ὅλην τὴν ἐπιοῦσαν ἡμέραν, ἤρξατο πυρέττειν, οὔτε σκύφον Ἡρακλέους ἐκπιὼν, οὔτ' ἄφνω διαλγὴς [1] γενόμενος τὸ μετάφρενον, ὥσπερ λόγχῃ πεπληγώς· ἀλλὰ ταῦτα τινὲς ᾤοντο δεῖν γράφειν, ὥσπερ δράματος μεγάλου τραγικὸν ἐξόδιον καὶ περιπαθὲς πλάσαντες. Ἀριστόβουλος δέ φησιν αὐτὸν πυρέττοντα μανικῶς, διψήσαντα δὲ σφόδρα, πιεῖν οἶνον· ἐκ τούτου δὲ φρενιτιάσαι, καὶ τελευτῆσαι τριακάδι [2] Δαισίου μηνός.

LXXVI. Ἐν δὲ ταῖς ἐφημερίσιν οὕτως γέγραπται περὶ τὴν νόσον. Ὀγδόῃ ἐπὶ δεκάτῃ Δαισίου μηνὸς ἐκάθευδεν ἐν τῷ λουτρῶνι διὰ τὸ πυρέξαι. τῇ δ' ἑξῆς λουσάμενος εἰς τὸν θάλαμον μετῆλθε, καὶ διημέρευε πρὸς Μήδιον κυβεύων. εἶτ' ὀψὲ λουσάμενος, καὶ τὰ ἱερὰ τοῖς θεοῖς ἐπιθεὶς, ἐμφαγὼν, διὰ νυκτὸς ἐπύρεξε. τῇ εἰκάδι λουσάμενος, πάλιν ἔθυσε τὴν εἰθισμένην θυσίαν· καὶ κατακείμενος ἐν τῷ λουτρῶνι [3] τοῖς περὶ Νέαρχον ἐσχόλαζεν, ἀκροώμενος τὰ περὶ τὸν πλοῦν καὶ τὴν μεγάλην θάλατταν. τῇ δεκάτῃ φθίνοντος ταὐτὰ ποιήσας μᾶλλον ἀνεφλέχθη, καὶ τὴν νύκτα βαρέως ἔσχε, καὶ τὴν ἐπιοῦσαν ἡμέραν ἐπύρεττε σφόδρα. καὶ μεταρθεὶς κατέκειτο παρὰ τὴν μεγάλην κολυμβήθραν· ὅτε δὴ τοῖς ἡγεμόσι διελέχθη περὶ τῶν ἐρήμων ἡγεμονίας τάξεων, ὅπως καταστήσωσι δοκιμάσαντες. ἑβδόμῃ σφόδρα



πυρέτ-

ſet καίπερ, vel καὶ περὶ, aut legendum: οὐ μὴν ἀλλὰ, καίπερ περιδεὴς χρησμῶν γε — *veruntamen, tametſi adeo exſternatus metu eſſet, allatis tamen oraculis* &c.

1 V. διαλγεὶς.

2 Moſ. Duſ. ſuſp. Τρίτῃ φθίνοντος eſſe ſcribendum, uti infra dicitur c. 76.

3 Apud Arrian. ἀνδρῶνι legitur.

πυρέττων ἔθυσεν ἐξαρθεὶς πρὸς τὰ ἱερά. τῶν δ' ἡγεμόνων ἐκέλευε τὰς μεγίστας διατρίβειν ἐν τῇ αὐλῇ, ταξιάρχας [1] δὲ καὶ πεντακοσιάρχας ἔξω νυκτερεύειν. εἰς δὲ τὰ πέραν βασίλεια διακομισθεὶς, τῇ ἕκτῃ σμικρὸν ὕπνωσεν· ὁ δὲ πυρετὸς οὐκ ἀνῆκεν. ἐπελθόντων δὲ τῶν ἡγεμόνων, ἦν ἄφωνος, ὁμοίως δὲ καὶ τὴν πέμπτην· διὸ καὶ τοῖς Μακεδόσιν ἔδοξε τεθνάναι, καὶ κατεβόων ἐλθόντες ἐπὶ τὰς θύρας, καὶ διηπειλοῦντο τοῖς ἑταίροις, ἕως ἐβιάσαντο. καὶ τῶν θυρῶν αὐτοῖς ἀνοιχθεισῶν, ἐν τοῖς χιτῶσι καθ' ἕνα πάντες παρὰ τὴν κλίνην παρεξῆλθον. ταύτης [2] δὲ τῆς ἡμέρας οἱ περὶ Πύθωνα καὶ Σέλευκον εἰς τὸ Σαραπεῖον ἀποσταλέντες, ἠρώτων, εἰ κομίσουσιν ἐκεῖ τὸν Ἀλέξανδρον· ὁ δὲ θεὸς κατὰ χώραν ἐᾷν ἀνεῖλε. τῇ δὲ τρίτῃ φθίνοντος πρὸς δείλην ἀπέθανε.

LXXVII. Τούτων τὰ πλεῖστα κατὰ λέξιν ἐν ταῖς ἐφημερίσιν οὕτω γέγραπται. φαρμακείας δ' ὑποψίαν αὐτίκα μὲν οὐδεὶς ἔσχεν· ἕκτῳ δ' ἔτει φασὶ μηνύσεως [3] γενομένης, τὴν Ὀλυμπιάδα πολλοὺς μὲν ἀνελεῖν, ἐκρίψαι δὲ τὰ λείψανα τοῦ Ἰόλα τεθνηκότος, ὡς τούτου τὸ φάρμακον ἐγχέαντος. οἱ δ' Ἀριστοτέλη φάσκοντες Ἀντιπάτρῳ σύμβουλον γεγενῆσθαι τῆς πράξεως, καὶ ὅλως δι' ἐκείνου κομισθῆναι τὸ φάρμακον, Ἀγνόθεμίν τινα διηγεῖσθαι λέγουσιν, ὡς Ἀντιγόνου τοῦ βασιλέως ἀκούσαντα [4]. τὸ δὲ φάρμακον ὕδωρ εἶναι ψυχρὸν καὶ παγετῶδες ἀπὸ πέτρας τινὸς ἐν Νωνακρίδι οὔσης, ἣν ὥσπερ δρόσον λεπτὴν ἀναλαμβάνοντες εἰς ὄνου χηλὴν ἀποτίθενται· τῶν γὰρ ἄλλων οὐδὲν ἀγγείων στέγειν, ἀλλὰ διακόπτειν ὑπὸ ψυχρότητος καὶ δριμύτητος. οἱ δὲ πλεῖστοι τὸν λόγον ὅλως οἴονται πεπλάσθαι τὸν περὶ τῆς φαρμακείας· καὶ τεκμήριον αὐτοῖς οὐ μικρὸν, ὅτι, τῶν ἡγεμόνων

1 Arrian. χιλιάρχας.
2 V. τετάρτης, quod Mos. Dus. probat.
3 V. ζητήσεως.
4 V. ἀκούσαντος.

μόνων ςασιασάντων ἐφ' ἡμέρας πολλὰς, ἀθεράπευτον τὸ σῶμα κείμενον ἐν τόποις θερμοῖς καὶ πνιγώδεσιν, ὐδὲν ἔχε τοιαύτης φθορᾶς σημεῖον, ἀλλ' ἔμεινε καθαρὸν καὶ πρόσφατον. ἡ δὲ Ῥωξάνη κύσα μὲν ἐτύγχανε, καὶ διὰ τῦτο τιμωμένη παρὰ τοῖς Μακεδόσι· δυσζήλως δ' ἔχυσα πρὸς τὴν Στάτειραν, ἐξηπάτησεν αὐτὴν ἐπιςολῇ τινι πεπλασμένῃ παραγενέσθαι, καὶ προσαγαγῦσαν [1] μετὰ τῆς ἀδελφῆς ἀπέκτεινε, καὶ τὺς νεκρὺς εἰς τὸ φρέαρ κατέβαλε καὶ συνέχωσεν, εἰδότος ταῦτα Περδίκκυ καὶ συμπράττοντος. ἦν γὰρ ἐκεῖνος εὐθὺς ἐν δυνάμει μεγίςῃ, τὸν Ἀῤῥιδαῖον, ὥσπερ δορυφόρημα τῆς βασιλείας, ἐφελκόμενος, γεγονότα μὲν ἐκ γυναικὸς ἀδόξυ καὶ κοινῆς, Φιλίννης, ἀτελῆ δὲ τῷ φρονεῖν ὄντα διὰ σώματος νόσον, ὐ φύσει προσπεσῦσαν, ὐδὲ αὐτομάτως· ἀλλὰ καὶ πάνυ φασὶν παιδὸς ὄντος αὐτῦ διαφαίνεσθαι χάριεν ἦθος, καὶ ὐκ ἀγεννὲς, εἶτα μέντοι φαρμάκοις ὑπ' Ὀλυμπιάδος κακωθέντα διαφθαρῆναι τὴν διάνοιαν.

## Γ. ΙΟΥΛΙΟΣ ΚΑΙΣΑΡ.

Τὴν Κίννα τῦ μοναρχήσαντος [2] θυγατέρα, Κορνηλίαν, ὡς ἐπεκράτησε Σύλλας, ὔτ' ἐλπίσιν, ὔτε φόβῳ δυνηθεὶς ἀποσπάσαι Καίσαρος, ἐδήμευσε τὴν φερνὴν αὐτῆς. αἰτία δὲ Καίσαρι τῆς πρὸς Σύλλαν ἀπεχθείας,



1 i. e. προσελθῦσαν πρὸς ἑαυτήν. Sic R. dedit de suo pro vulg. προσαγαγῦσα. Quaerit idem, cujusnam soror designetur? Statiraene, an Roxanae? Num praeter Statiram etiam soror ejus necata sit a Roxana? An solam Statiram necaverit Roxana, ab sorore sua adjuta? Posterius ei videtur praestare.

2 Aliquantulum improprie usurpat Plut. hoc vocabulum. Luc. Corn. Cinna non solus, sed cum collegis quatuor consulatum gessit: quia tamen ii fere ab ipso pendebant, & nutu Cinnae agebantur omnia, isque Marianam tyrannidem resuscitaverat, non male dicitur hic μοναρχῆσαι. Xyl. — Guarinus *dictatorem* vertit.

θείας, ἡ πρὸς Μάριον οἰκειότης ἦν. Ἰουλία γὰρ, πατρὸς ἀδελφῇ Καίσαρος, ὁ πρεσβύτερος συνῴκει Μάριος, ἐξ ἧς ἐγεγόνει Μάριος ὁ νεώτερος, ἀνεψιὸς ὢν Καίσαρος. ὡς δ' ὑπὸ πλήθους φόνων ἐν ἀρχῇ καὶ δι' ἀσχολίας ὑπὸ Σύλλα παρορώμενος οὐκ ἠγάπησεν, ἀλλὰ μετιὼν ἱερωσύνην εἰς τὸν δῆμον προσῆλθεν [1], οὔπω πάνυ μειράκιον ὢν, ταύτης μὲν ἐκπεσεῖν αὐτὸν ὑπεναντιωθεὶς Σύλλας παρεσκεύασε [2]. περὶ δ' ἀναιρέσεως βουλευόμενος, ἐνίων λεγόντων, ὡς οὐκ ἔχοι λόγον ἀποκτιννύναι παῖδα τηλικοῦτον, οὐκ ἔφη νοῦν ἔχειν αὐτοὺς, εἰ μὴ πολλοὺς ἐν τῷ παιδὶ τούτῳ Μαρίους ἐνορῶσι. ταύτης τῆς φωνῆς ἐνεχθείσης πρὸς Καίσαρα, συχνὸν μέν τινα χρόνον πλανώμενος ἐν Σαβίνοις [3] ἔκλεπτεν ἑαυτόν· ἔπειτα δι' ἀῤῥωστίαν εἰς οἰκίαν ἑτέραν [4] μετακομιζόμενος, κατὰ νύκτα περιπίπτει στρατιώταις τοῦ Σύλλα διερευνωμένοις ἐκεῖνα τὰ χωρία, καὶ τοὺς κεκρυμμένους συλλαμβάνουσιν. ὧν τὸν ἡγεμόνα, Κορνήλιον, πείσας δυσὶ ταλάντοις ἀφεῖθη, καὶ καταβὰς εὐθὺς ἐπὶ θάλατταν, ἐξέπλευσεν εἰς Βιθυνίαν πρὸς Νικομήδη [5] τὸν βασιλέα. παρ' ᾧ διατρίψας χρόνον οὐ πολὺν, εἶτ' ἀποπλέων, ἁλίσκεται περὶ τὴν Φαρμακοῦσαν νῆσον ὑπὸ πειρατῶν, ἤδη τότε στόλοις

1 Mos. Duf. *προῆλθεν* legi vult. R. consentit, aut pro *εἰς τὸν δ.* mavult *πρὸς* vel *ὡς τ. δ.*

2 Suetonius & Vellejus, Rualdo monente, differunt a Plutarcho. Ut illi referunt, Caesar a Mario Cinnaque adhuc Romae dominantibus sacerdos Dialis est factus, postmodum vero Sylla victor id sacerdotium ei ademit.

3 V. *ἐν Σαλαμίνοις.*

4 R. monente subaud. *ἐξ ἑτέρας, ἐν ᾗ τέως ἐλελήθει κεκρυμμένος.* Pro *δι' ἀῤῥωστίαν* Casaubonus dari voluit *δι' ἀῤῥωστίας.* Tuetur Rualdus vulgatam, monens, hoc in loco usurpatum esse *διὰ ἐνδεικτικῶς*, & statum indicare ipsum, in quo Caesar fuit, cum Syllanorum inquisitorum metu alio atque alio demigraret.

5 V. *Νικομήδους.*

ϛόλοις μεγάλοις καὶ σκάφεσιν ἀπλέτοις κατεχόντων τὴν θάλατἰαν.

II. Πρῶτον μὲν ἐν αἰτηθεὶς ὑπ' αὐτῶν λύτρα εἴκοσι τάλαντα κατεγέλασεν, ὡς ἐκ εἰδότων, ὃν ἡρήκοιεν· αὐτὸς δ' ὡμολόγησε πεντήκοντα δώσειν. ἔπειτα τῶν περὶ αὐτὸν ἄλλον εἰς ἄλλην διαπέμψας πόλιν ἐπὶ τὸν [1] τῶν χρημάτων πορισμὸν, ἐν ἀνθρώποις φονικωτάτοις Κίλιξι μεθ' ἑνὸς φίλε καὶ δυοῖν ἀκολέθοιν ἀπολελειμμένος, ἕτω καταφρονητικῶς εἶχεν, ὥϛε πέμπων, ὁσάκις ἀναπαύοιτο, προσέταττεν αὐτοῖς σιωπᾷν. ἡμέραις δὲ τεσσαράκοντα δυεῖν δεέσαις, ὥσπερ ἐ φρερέμενος, ἀλλὰ δορυφορέμενος ὑπ' αὐτῶν, ἐπὶ πολλῆς ἀδείας συνέπαιζε καὶ συνεγυμνάζετο. καὶ ποιήματα γράφων καὶ λόγες τινὰς, ἀκροαταῖς ἐκείνοις ἐχρῆτο· καὶ τὲς μὴ θαυμάζοντας ἄντικρυς ἀπαιδεύτες καὶ βαρβάρες ἀπεκάλει, καὶ σὺν γέλωτι πολλάκις ἠπείλησε κρεμᾷν αὐτές. οἱ δ' ἔχαιρον, ἀφελείᾳ τινὶ καὶ παιδιᾷ [2] τὴν παῤῥησίαν ταύτην νέμοντες. ὡς δ' ἧκον ἐκ Μιλήτε τὰ λύτρα, καὶ δὲς ἀφείθη, πλοῖα πληρώσας εὐθὺς ἐκ τῆ Μιλησίων λιμένος, ἐπὶ τὲς λῃϛὰς ἀνήγετο· καὶ καταλαβὼν ἔτι πρὸς τῇ νήσῳ ναυλοχἕντας, ἐκράτησε τῶν πλείϛων. καὶ τὰ μὲν χρήματα λείαν ἐποιήσατο, τὲς δ' ἄνδρας ἐν Περγάμῳ καταθέμενος εἰς τὸ δεσμωτήριον, αὐτὸς ἐπορεύθη πρὸς τὸν διέποντα τὴν Ἀσίαν Ἰένιον [3], ὡς ἐκείνῳ προσῆκον, ὄντι ϛρατηγῷ, κολάσαι τὲς ἑαλωκότας. ἐκείνε δὲ καὶ τοῖς χρήμασιν ἐποφθαλμιῶντος, (ἦν γὰρ ἐκ ὀλίγα) καὶ περὶ τῶν αἰχμαλώτων σκέψαθαι φάσκοντος ἐπὶ σχολῆς, χαίρειν ἐάσας αὐτὸν ὁ



1 Hunc artic. τὸν R. de ſuo addidit.

2 Br. notat, Xyl. recte vertiſſe *joco*, Cruſer. & alios interpp. prave *aetati*.

3 Junt. Ald. Crat. cum Ms. Par. Ἰέγκον. Steph. Ἰένιον. Sic & Xyl. vertit, Vellejum ſecutus Paterculum. Guarin. Julium.

ὁ Καῖσαρ, εἰς Πέργαμον ᾤχετο, καὶ προαγαγὼν τοὺς λῃστὰς ἅπαντας ἀνεσταύρωσεν, ὥσπερ αὐτοῖς δοκῶν παίζειν ἐν τῇ νήσῳ προειρήκει πολλάκις.

III. Ἐκ δὲ τούτου τῆς Σύλλα δυνάμεως ἤδη μαραινομένης, καὶ τῶν οἴκοι καλούντων αὐτὸν, ἔπλευσεν εἰς Ῥόδον ἐπὶ σχολὴν [1] πρὸς Ἀπολλώνιον τὸν τοῦ Μόλωνος, οὗ καὶ Κικέρων ἠκροᾶτο, σοφιστεύοντος ἐπιφανῶς, καὶ τὸν τρόπον ἐπιεικοῦς εἶναι δοκοῦντος. λέγεται δὲ καὶ φῦναι πρὸς λόγους πολιτικοὺς ὁ Καῖσαρ ἄριστα, καὶ διαπονῆσαι φιλοτιμότατα τὴν φύσιν, ὡς τὰ δευτερεῖα μὲν ἀδηρίτως [2] ἔχειν, τὸ δὲ πρωτεῖον, ὅπως τῇ δυνάμει καὶ τοῖς ὅπλοις πρῶτος εἴη μᾶλλον, ἄλλοις [3] ἀσχοληθεὶς

1 Sic Steph. dedit. In Junt. & Ald. uno vocabulo extat ἐπιστολήν. Neutram lectionem R. probat. In Crat. εἰς Ῥόδον πρὸς Ἀπ. absque his & aliis vocabulis, me judice, vitiose infertis. Quod Plut. Apollonium *Molonis filium* dixerit, a Xyl. Rualdo & aliis improbatur. *Molo* enim ipsius Apollonii cognomen erat.

2 Legi etiam ἀκρίτως, testis est H. Steph.

3 Vulgo ἀλλ' praemisso puncto. Quare haud mirum, quod plures de hoc loco emendando exstiterint sententiae. Xyl. οὐχ ante ὅπως inferit. H. Steph. ἀλλ', cum orationis structuram perturbet, expungendum censet, quasi ortum ex repetitis a librario per imprudentiam primis litteris vocis μᾶλλον. Idem Dacer. sentit. Br. susp. ἄλλοις, quod probavit Mos Duf. deditque R. Superesse tamen adhuc offensiunculas quasdam, hic item monet, primum quod non ὑφεῖναί τι dicatur, sed τινος (hinc ἀφεῖναι sufficiendum censet, pro quo V. ἀπεῖναι) deinde quod multo concinnius hoc ordine starent verba: τὸ δὲ πρωτεῖον, πρὸς ὅπερ ἡ φύσις ὑφηγεῖτο, ὅπως τῇ δυνάμει καὶ τοῖς ὅπλοις πρῶτος εἴη μᾶλλον, ἄλλοις ἀσχοληθεὶς ἀφεῖναι — Addit, ἄλλοις in his non esse generis neutrius, sed masculini; πρὸς ὅπερ autem semper redire ad τὸ πρωτεῖον, utcunque verba componas. Moses Duf. pro τὸ πρωτ. maluit, quod est in Anon. τῶν δὲ πρωτείων. Punctum post ὑφηγεῖτο R. dedit. Vulgo cohaerent sequentia cum praecedentibus. Annon, nova hac interpunctione admissa, frigidius dicta videntur, quae sequun-

θεὶς ὑφεῖναι, πρὸς ὅπερ ἡ φύσις ὑφηγεῖτο· τῆς ἐν τῷ λέγειν δεινότητος, ὑπὸ ϛρατειῶν καὶ πολιτείας, ᾗ κατεκτήσατο τὴν ἡγεμονίαν, ἐκ ἐξικόμενος. αὐτὸς δ' ἐν ὕϛερον ἐν τῇ πρὸς Κικέρωνα περὶ Κάτωνος ἀντιγραφῇ [1] παραιτεῖται, μὴ ϛρατιωτικȣ̃ λόγον ἀνδρὸς ἀντεξετάζειν πρὸς δεινότητα ῥήτορος εὐφυȣ̃ς, καὶ χολὴν ἐπὶ τȣ̃το [2] πολλὴν ἄγοντος.

IV. Ἐπανελθὼν δ' εἰς Ῥώμην, Δολοβέλλαν ἔκρινε κακώσεως ἐπαρχίας, καὶ πολλαὶ ἀπὸ τῆς Ἑλλάδος τῶν πόλεων [3] μαρτυρίας αὐτῷ παρέχον. ὁ μὲν ȣ̃ν Δολοβέλλας ἀπέφυγε τὴν δίκην. ὁ δὲ Καῖσαρ, ἀμειβόμενος τὴν Ἑλλάδα τῆς προθυμίας, συνηγόρευσεν αὐτῇ Πόπλιον Ἀντώνιον διωκȣ́σῃ δωροδοκίας, ἐπὶ Λευκȣ́λλȣ τȣ̃ Μάρκȣ [4], Μακεδονίας ϛρατηγȣ̃. καὶ τοσȣ̃τον ἴσχυσεν, ὥϛε τὸν Ἀντώνιον ἐπικαλέσασθαι τȣ̀ς δημάρχȣς, σκηψάμενον ȣ̓κ ἔχειν τὸ ἴσον ἐν τῇ Ἑλλάδι πρὸς Ἕλληνας. ἐν δὲ Ῥώμῃ [5] πολλὴ μὲν ἐπὶ τῷ λόγῳ περὶ τὰς συνηγορίας αὐτȣ̃ χάρις ἐξέλαμπε, πολλὴ δὲ τῆς περὶ τὰς δεξιώσεις καὶ ὁμιλίας φιλοφροσύνης εὔνοια παρὰ τῶν δημοτῶν ἀπήντα, θεραπευτικȣ̃ παρ' ἡλικίαν ὄντος. ἦν δέ τις καὶ ἀπὸ δείπνων καὶ τραπέζης, καὶ ὅλως τῆς περὶ τὴν δίαιταν λαμπρότητος αὐξανομένη κατὰ μικρὸν αὐτῷ δύναμις εἰς τὴν πολιτείαν. ἣν τὸ πρῶ-



quuntur? Probem potius, quae Steph. de vocibus his πρὸς ὅπερ ἡ φ. ὑφ. τῆς ἐ. τ. λ. δ. ȣ̓κ ἐξικ. junctis tradit — *eum non ad illum usque gradum eloquentiae pervenisse, ad quem naturae inclinatio eum ducebat.* Priora autem sic lego: τῶν δὲ πρωτείων (si tenetur ὑφεῖναι, uti antea τὰ δευτερεῖα) ὅπως — πρῶτος εἴη, μᾶλλον ἀσχοληθεὶς ἄλλοις ὑφεῖναι.

1 *Anticatonem* Caesaris designat.

2 R. dubitat, utrum ἐπὶ τȣ̃το, an ἐπὶ τȣ́τῳ h. l. sit convenientius.

3 R. mavult sic strui: πολλαὶ τῶν ἀπὸ (vel ἐπὶ) τῆς Ἑλ. πόλ.

4 V. τȣ̃ μάρτυρος.

5 R. deesse censet post h. v. πρὸς Καίσαρα. Deinde mavult πολλὴ μὲν ȣ̃ν τῶν λόγων περὶ τὰς συνηγ.

πρῶτον οἱ φθονοῦντες, οἰόμενοι ταχὺ, τῶν ἀναλωμάτων ἐπιλιπόντων, ἐξίτηλον ἔσεσθαι, περιεώρων ἀνθοῦσαν ἐν τοῖς πολλοῖς· ὀψὲ δ' ᾔσθοντο, μεγάλης καὶ δυσανατρέπτου γενομένης, καὶ βαδιζούσης ἄντικρυς ἐπὶ τὴν τῶν ὅλων μεταβολὴν, ὡς οὐδεμίαν ἀρχὴν πράγματος ἡγητέον μικρὰν, ἣν οὐ [1] ταχὺ ποιεῖ μεγάλην τὸ ἐνδελεχὲς, ἐκ τοῦ καταφρονηθῆναι τὸ μὴ κωλυθῆναι λαβοῦσαν· ὁ γ' οὖν πρῶτος ὑπιδέσθαι δοκῶν αὐτοῦ καὶ φοβηθῆναι τῆς πολιτείας, ὥσπερ θαλάττης, τὰ διαγελῶντα, καὶ τὴν ἐν τῷ φιλανθρώπῳ καὶ ἱλαρῷ κεκρυμμένην δεινότητα τοῦ ἤθους καταμαθὼν Κικέρων, ἔλεγε τοῖς ἄλλοις ἅπασιν ἐπιβουλεύμασιν αὐτοῦ καὶ πολιτεύμασι τυραννικὴν ἐνορᾶν διάνοιαν· ἀλλ' ὅταν, ἔφη, τὴν κόμην οὕτω διακειμένην περιττῶς ἴδω, κἀκεῖνον ἑνὶ δακτύλῳ κνώμενον [2], οὔ μοι δοκεῖ πάλιν οὗτος ἄνθρωπος εἰς νοῦν ἂν ἐμβαλέσθαι τηλικοῦτο κακὸν, ἀναίρεσιν τῆς Ῥωμαίων πολιτείας. ταῦτα μὲν οὖν ὕστερον.

V. Τοῦ δὲ δήμου πρώτην μὲν ἀπόδειξιν τῆς πρὸς αὐτὸν εὐνοίας ἔλαβεν, ὅτε πρὸς Γάϊον Ποπίλιον [3] ἐρίσας ὑπὲρ χιλιαρχίας, πρότερος ἀνηγορεύθη· δευτέραν δὲ, καὶ καταφανεστέραν, ὅτε, τῆς Μαρίου γυναικὸς, Ἰουλίας, ἀποθανούσης, ἀδελφιδοῦς ὢν αὐτῆς ἐγκώμιόν τε λαμ-

1 H. Steph. conjecerat, ante μικρὰν deesse οὕτω, quod & in Anon. extat, & a Mose Duf. probatur, ut sit, quasi dixisset οὕτω μικρὰν, ὥστε μὴ ταχὺ ποιεῖν. Si non addatur οὕτω, Stephano potius dicendum videtur, ἣν ἂν ταχὺ ποιῇ μεγ. τὸ ἐνδ. Observat adhuc idem, particulam ὡς jungi posse cum verbo ᾔσθοντο, posse vero etiam post μεταβολὴν dari punctum, ut haec verba ὡς οὐδεμία &c. velut ἐπιφωνηματικῶς subjungantur. R. susp. μικρὰν, ὃ ταχὺ τὴν τελευτὴν ποιεῖ μεγάλην, nullius rei principium pro minuto esse habendum atque contemnendum, cui rei exitum reddat ingentem assiduitas.

2 Haec in molles dici, a quibus non facile timendum reipublicae videtur, Xyl. adnotat.

3 Sic Br. consentientibus omnibus Interpp. dari voluit, deditque R. pro vulg. Πόπλιον. In Anon. est Ποπλίλιον.

λαμπρὸν ἐν ἀγορᾷ διῆλθε, καὶ περὶ τὴν ἐκφορὰν ἐτόλμησεν εἰκόνας Μαρίȣ [1] προθέσθαι, τότε πρῶτον ὀφθείσας μετὰ τὴν ἐπὶ Σύλλα πολιτείαν, πολεμίων τῶν ἀνδρῶν κριθέντων. ἐπὶ τȣ́τῳ γὰρ ἐνίων καταβοησάντων τȣ̃ Καίσαρος, ὁ δῆμος ἀντήχησε λαμπρῷ [2] δεξάμενος κρότῳ, καὶ θαυμάσας ὥσπερ ἐξ ᾅδȣ διὰ χρόνων πολλῶν ἀνάγοντα τὰς Μαρίȣ τιμὰς εἰς τὴν πόλιν. τὸ μὲν ȣ̃ν ἐπὶ γυναιξὶ πρεσβυτέραις λόγȣς ἐπιταφίȣς διεξιέναι, πάτριον ἦν Ῥωμαίοις· νέαις δ' ȣ̉κ ὂν ἐν ἔθει, πρῶτος εἶπε Καῖσαρ ἐπὶ τῆς ἑαυτȣ̃ γυναικὸς ἀποθανȣ́σης· καὶ τȣ̃τ' ἤνεγκεν αὐτῷ χάριν τινὰ, καὶ συνεδημαγώγησε τῷ πάθει τȣ̀ς πολλȣ̀ς ὡς ἥμερον ἄνδρα καὶ περίμεστον ἤθȣς ἀγαπᾷν. θάψας δὲ τὴν γυναῖκα, ταμίας εἰς Ἰβηρίαν ἑνὶ τῶν στρατηγῶν, Βαίτερι [3], συνεξῆλθεν, ὃν αὐτόν τε τιμῶν ἀεὶ διετέλεσε, καὶ τὸν υἱὸν αὐτȣ̃ πάλιν ἄρχων [4] ταμίαν ἐποίησε. γενόμενος δ' ἀπὸ τῆς ἀρχῆς ἐκείνης, τρίτην ἠγάγετο γυναῖκα [5], Πομπηΐαν, ἔχων ἐκ Κορνηλίας θυγατέρα, τὴν ὕστερον Πομπηΐῳ Μάγνῳ γαμηθεῖσαν. χρώμενος δὲ ταῖς δαπάναις ἀφειδῶς, καὶ δοκῶν μὲν ἐφήμερον καὶ βραχεῖαν ἀντικαταλλάττεσθαι μεγάλων ἀναλωμάτων δόξαν, ὠνȣ́μενος δὲ ταῖς ἀληθείαις τὰ μέγιστα μικρῶν, λέγεται, πρὶν εἰς ἀρχήν τινα καθίστασθαι, χιλίων καὶ τριακοσίων γενέσθαι χρεωφειλέτης ταλάντων. ἐπεὶ δὲ τȣ̃το μὲν, ὁδȣ̃ τῆς Ἀππίας

1 R. mavult Μαρίων, fenioris atque junioris, ob infequens τῶν ἀνδρῶν πολεμίων κριθέντων.

2 Sic R. de fuo dedit pro vulg. λαμπρῶς.

3 Sic R. dedit pro vulg. Βαίτωρι. Anon. Βέτερι, quod Xy. & Ruald. legendum cenfuerunt, & dari voluerunt Mof. Duf. & Br. cum Caefarem fub *Antiftio Vetere* quaeftorem fuiffe, teftatur Vellej. Paterculus.

4 V. πάλιν αὐτὸς ἄρχων, quod probat Mof. Duf.

5 Primam Plutarchus non commemoravit, quae fuit Coffutia, de equeftri ordine: qua dimiffa Corneliam, Cinnae filiam, duxit. *Xyl.*

πίας ἀποδειχθεὶς ἐπιμελητὴς, πάμπολλα χρήματα προσανάλωσε τῶν ἑαυτȣ͂· τȣ͂το δ', ἀγορανομῶν, ζεύγη μονομάχων τριακόσια καὶ εἴκοσι παρέσχε, καὶ ταῖς ἄλλαις περὶ τὰ θέατρα καὶ πομπὰς καὶ δεῖπνα χορηγίαις καὶ πολυτελείαις τὰς πρὸ αὐτȣ͂ κατέκλυσε φιλοτιμίας, ὅτω διέθηκε τὸν δῆμον, ὡς καινὰς μὲν ἀρχὰς, καινὰς δὲ τιμὰς ζητεῖν ἕκαστον, αἷς αὐτὸν [1] ἀμείψαιντο.

VI. Δυεῖν δ' ȣ̓σῶν ἐν τῇ πόλει στάσεων, τῆς μὲν ἀπὸ Σύλλα, μέγα δυναμένης, τῆς δὲ Μαριανῆς, ἣ τότε κατεπτήχει καὶ διέσπαστο [2], κομιδῇ ταπεινὰ πράττȣσα, ταύτην ἀναῤῥῶσαι καὶ προσαγαγέσθαι [3] βȣλόμενος, ἐν ταῖς ἀγορανομικαῖς φιλοτιμίαις ἀκμὴν ἐχȣ́σαις [4] εἰκόνας ἐποιήσατο Μαρίȣ κρύφα, καὶ νίκας τροπαιοφόρȣς, ἃς φέρων νυκτὸς εἰς τὸ Καπιτώλιον ἀνέστησεν. ἅμα δ' ἡμέρᾳ, τȣ̀ς θεασαμένȣς μαρμαίροντα πάντα χρυσῷ, καὶ τέχνῃ κατεσκευασμένα περιττῶς (διεδήλȣ δὲ γράμμασι τὰ Κιμβρικὰ κατορθώματα) θάμβος ἔσχε τῆς τόλμης τȣ͂ ἀναθέντος. ȣ̓ γὰρ ἦν ἄδηλος [5]· ταχὺ δὲ περιϊὼν ὁ λόγος ἤθροιζε πάντας ἀνθρώπȣς πρὸς τὴν ὄψιν. ἀλλ' οἱ μὲν ἐβόων, τυραννίδα πολιτεύεσθαι Καίσαρα, νόμοις καὶ δόγμασι κατορωρυγμένας ἐπανιστάντα τιμὰς, καὶ τȣ͂το πεῖραν ἐπὶ τὸν δῆμον εἶναι προμαλαττόμενον, εἰ τετιθάσσευται [6] ταῖς φιλοτιμίαις ὑπ' αὐτȣ͂, καὶ δίδωσι παίζειν τοιαῦτα καὶ κενοτομεῖν [7]· οἱ δὲ Μαριανοὶ παραθαρ-

1 Br. αὐτὸν omisit, R. restituit.

2 Sic R. de suo dedit pro vulg. διεσπᾶτο.

3 Br. susp. προαγαγέσθαι, *erigere & provehere*, non *sibi conciliare*.

4 Dictionem hanc ἀκμ. ἐχ. se non intelligere, R. fatetur. Quaerit, num *summa gratia tum florentibus* denotet? Xyl. prorsus omittit ἐν ταῖς — ἐχȣ́σαις.

5 Sic R. de suo dedit pro vulg. ἄδηλον.

6 Sic R. de suo dedit pro vulg. εἴτε τιθασσεύεται. Br. pro εἴτε voluit εἴτι; Mos. Duf. τι prorsus delendum censuit.

7 Br. cum V. & Anon. voluit καινοτομεῖν. R. videtur vulgata

ϕαθαῤῥύναντες αὐτὲς [1], πλήθει τε θαυμαςοὶ ὅσοι διεφάνησαν ἐξαίφνης, καὶ κρότῳ κατεῖχον τὸ Καπιτώλιον. πολλοῖς δὲ καὶ δάκρυα τὴν Μαρίε θεωμένοις ὄψιν ὑφ' ἡδονῆς ἐχώρει· καὶ μέγας ἦν ὁ Καῖσαρ ἐγκωμίοις αἰρόμενος, ὡς ἀντὶ πάντων ἄξιος εἴη ὁ ἀνὴρ τῆς Μαρίε συγγενείας. συναχθείσης δὲ περὶ τέτων τῆς βελῆς, Κάτλος Λετάτιος, ἀνὴρ εὐδοκιμῶν τότε μάλιςα Ῥωμαίων, ἀναςὰς καὶ κατηγορήσας Καίσαρος, ἐπεφθέγξατο τὸ μνημονευόμενον· Οὐκ ἔτι γὰρ ὑπονόμοις, ἔφη, Καῖσαρ, ἀλλ' ἤδη μηχαναῖς αἱρεῖ τὴν πολιτείαν. ἐπεὶ δ' ἀπολογησάμενος πρὸς ταῦτα Καῖσαρ ἔπεισε τὴν σύγκλητον, ἔτι μᾶλλον οἱ θαυμάζοντες αὐτὸν ἐπήρθησαν [2], καὶ παρεκελεύοντο μηδενὶ τὲ φρονήματος ὑφίεσθαι· πάντων γὰρ ἑκόντι τῷ δήμῳ περιέσεσθαι καὶ πρωτεύσειν.

VII. Ἐν δὲ τέτῳ καὶ Μετέλλε τὲ ἀρχιερέως τελευτήσαντος, καὶ τὴν ἱερωσύνην περιμάχητον ἐσαν Ἰσαυρικὲ καὶ Κάτλε μετιόντων, ἐπιφανεςάτων ἀνδρῶν καὶ μέγιςον ἐν βελῇ δυναμένων, ἐχ ὑπεῖξεν αὐτοῖς ὁ Καῖσαρ, ἀλλὰ καταβὰς εἰς τὸν δῆμον ἀντιπαρήγγελλεν. ἀγχωμάλε δὲ τῆς σπεδῆς φαινομένης, ὁ Κάτλος ἀπὸ μείζονος ἀξίας μᾶλλον ὀῤῥωδῶν τὴν ἀδηλότητα, προσέπεμψε πείθων ἀποςῆναι τὸν Καίσαρα τῆς φιλοτιμίας ἐπὶ πολλοῖς χρήμασιν. ὁ δὲ καὶ πλείω προσδανεισόμενος [3] ἔφη διαγωνιεῖσθαι. τῆς δ' ἡμέρας ἐνςάσης, καὶ τῆς μητρὸς ἐπὶ τὰς θύρας αὐτὸν ἐκ ἀδακρυτὶ προπεμπέσης, ἀσπασάμενος αὐτήν· Ὦ μῆτερ, εἶπεν, τήμερον ἢ ἀρχιερέα τὸν υἱὸν, ἢ φυγάδα ὄψει. Διενεχθείσης.

gata servanda esse, cum sententia doceat, non tam novitatem, quam vanitatem, hic spectari.

1 Ms. Par. ἀλλήλες, quod Br. probat.

2 Ms. Par. ἐπεῤῥώσθησαν, quod Br. probasse videtur. Moses Duf. melius convenire censet huic loco *elationis* significationem.

3 Steph. maluit προσδανεισάμενος.

σης δὲ τῆς ψήφȣ, καὶ γενομένης ἁμίλλης, ἐκράτησε, καὶ παρέχε τῇ βȣλῇ καὶ τοῖς ἀρίςοις φόβον, ὡς ἐπὶ πᾶν θρασύτητος προάξων τὸν δῆμον. ὅθεν οἱ περὶ Πείσωνα καὶ Κάτλον ᾐτιῶντο Κικέρωνα, φεισάμενον Καίσαρος ἐν τοῖς περὶ Κατιλίναν λαβὴν παρασχόντος. ὁ γὰρ δὴ Κατιλίνας, ȣ μόνον τὴν πολιτείαν μεταβαλεῖν, ἀλλ' ὅλην ἀνελεῖν τὴν ἡγεμονίαν καὶ πάντα τὰ πράγματα συγχέαι διανοηθεὶς, αὐτὸς μὲν ἐξέπεσε περιπταίσας ἐλάττοσιν ἐλέγχοις, πρὸ τȣ̃ τὰς ἐχάτας αὐτȣ̃ βȣλὰς ἀποκαλυφθῆναι· Λέντλον δὲ καὶ Κέθηγον ἐν τῇ πόλει διαδόχȣς ἀπέλιπε τῆς συνωμοσίας, οἷς εἰ μὲν κρύφα παρεῖχε τὶ θάρσȣς καὶ δυνάμεως ὁ Καῖσαρ, ἄδηλός [1] ἐςιν· ἐν δὲ τῇ βȣλῇ κατὰ κράτος ἐξελεγχθέντων, καὶ Κικέρωνος τȣ̃ ὑπάτȣ γνώμας ἐρωτῶντος περὶ κολάσεως ἕκαςον, οἱ μὲν ἄλλοι μέχρι Καίσαρος θανατȣ̃ν ἐκέλευον· ὁ δὲ Καῖσαρ ἀνας ὰς λόγον διῆλθε πεφροντισμένον, ὡς ἀποκτεῖναι μὲν ἀκρίτȣς ἄνδρας ἀξιώματι καὶ γένει λαμπρȣ̀ς, ȣ̓ δοκεῖ πάτριον, ȣ̓δὲ δίκαιον εἶναι, μὴ [2] μετὰ τῆς ἐχάτης ἀνάγκης. εἰ δὲ φρȣροῖντο δεθέντες ἐν πόλεσι τῆς Ἰταλίας, ἃς ἂν αὐτὸς ἕληται Κικέρων, μέχρις ȣ̃ καταπολεμηθῇ Κατιλίνας, ὕςερον ἐν εἰρήνῃ καὶ καθ' ἡσυχίαν περὶ ἑκάςȣ τῇ βȣλῇ γνῶναι ὑπάρξει [3].

VIII. Οὕτω δὲ τῆς γνώμης φιλανθρώπȣ φανείσης, καὶ τȣ̃ λόγȣ δυνατῶς ἐπ' αὐτῇ [4] ῥηθέντος, ȣ̓ μόνον οἱ μετὰ τȣ̃τον ἀνιςάμενοι προσετίθεντο, πολλοὶ δὲ καὶ τῶν πρὸ αὐτȣ̃ τὰς εἰρημένας γνώμας ἀπειπάμενοι, πρὸς

1 V. ἄδηλόν ἐςιν, quod voluit H. Steph.

2 Mos. Duf. susp. εἰ μή. R. servari posse censet vulgatam, cum idem sit, atque μὴ ἄσης τῆς ἐσχάτης ἀνάγκης.

3 Sic cum V. & Anon. & Dacerio dari voluit Br. deditque R. pro vulg. πράξει.

4 Non intelligere sese ἐπ' αὐτῇ, R. fatetur, quaerens, num idem significet atque ἐπὶ τῷ βεβαιῶσαι αὐτὴν, *ad illam sententiam demonstrandam atque confirmandam.*

πρὸς τὴν ἐκείνου μετέστησαν· ἕως ἐπὶ Κάτωνα τὸ πρᾶγμα καὶ Κάτλον περιῆλθε. τούτων δὲ νεανικῶς ἐναντιωθέντων, Κάτωνος δὲ καὶ τὴν ὑπόνοιαν ἅμα τῷ λόγῳ συνεπερείσαντος αὐτῷ, καὶ συνεξαναστάντος ἐῤῥωμένως, οἱ μὲν ἄνδρες ἀποθανούμενοι παρεδόθησαν, Καίσαρι δὲ τῆς βουλῆς ἐξιόντι πολλοὶ τῶν Κικέρωνα φρουρούντων τότε νέων γυμνὰ τὰ ξίφη συνδραμόντες ἐπέσχον. ἀλλὰ Κουρίων τότε λέγεται τῇ τηβέννῳ περιβαλὼν ὑπεξαγαγεῖν· αὐτός τε ὁ Κικέρων, ὡς οἱ νεανίσκοι προσέβλεψαν, ἀνανεῦσαι, φοβηθεὶς τὸν δῆμον, ἢ τὸν φόνον ὅλως ἄδικον καὶ παράνομον ἡγούμενος. τοῦτο μὲν οὖν οὐκ οἶδα ὅπως ὁ Κικέρων, εἴπερ ἦν ἀληθὲς, ἐν τῷ περὶ τῆς ὑπατείας οὐκ ἔγραψεν· αἰτίαν δ' εἶχεν ὕστερον, ὡς ἄριστα τῷ καιρῷ τότε παρασχόντι κατὰ τοῦ Καίσαρος μὴ χρησάμενος, ἀλλ' ἀποδειλιάσας τὸν δῆμον, ὑπερφυῶς περιεχόμενον τοῦ Καίσαρος. ὅς γε καὶ μετ' ὀλίγας ἡμέρας εἰς τὴν βουλὴν εἰσελθόντος αὐτοῦ, καὶ περὶ ὧν ἐν ὑποψίαις ἦν ἀπολογουμένου, καὶ περιπίπτοντος θορύβοις πονηροῖς, ἐπειδὴ πλείων τοῦ συνήθους ἐγίγνετο τῇ βουλῇ καθεζομένῃ χρόνος, ἐπῆλθε μετὰ κραυγῆς, καὶ περιέστη τὴν σύγκλητον, ἀπαιτῶν [1] τὸν ἄνδρα, καὶ κελεύων ἀφεῖναι. διὸ καὶ Κάτων φοβηθεὶς μάλιστα τὸν ἐκ τῶν ἀπόρων νεωτερισμὸν, οἳ τοῦ παντὸς ὑπέκκαυμα πλήθους ἦσαν, ἐν τῷ Καίσαρι τὰς ἐλπίδας ἔχοντες, ἔπεισε τὴν σύγκλητον ἀπονεῖμαι σιτηρέσιον αὐτοῖς ἔμμηνον, ἐξ οὗ δαπάνης μὲν πεντακόσιαι [2] πεντήκοντα μυριάδες ἐνιαύσιοι

1 V. ζητῶν. Id. paulo post ὑπεκκαύματα pro ὑπέκκαυμα.

2 V. & quidam H. Steph. codd. ἑπτακόσιαι, quod & Xyl. legendum cenſuit, quae ſumma ad eam redit, quam in Talentis exhibet Plut. in Cat. Idem de hoc loco ſentit Rualdus, culpa a Plutarcho in ejus exſcriptores derivata, cum lapſus notarum arithmeticarum, τοῦ φ in ψ, adeo ſit pronus. Negligentiae tamen vel imperitiae incuſat Plutarchum, legis frumentariae ipſius habita ratione, utpote quam, ſaltim ratam firmamque, non extitiſſe, ex auctoritate Aſconii Pediani contendit.

σιοι προσεγίνοντο τοῖς ἄλλοις ἀναλώμασι. τὸν μέντοι μέγαν ἐν τῷ παρόντι Φόβον ἔσβεσε περιΦανῶς τὸ πολίτευμα τοῦτο, καὶ τὸ πλεῖστον ἀπέῤῥηξε τῆς Καίσαρος δυνάμεως καὶ διεσκέδασεν ἐν καιρῷ, στρατηγεῖν μέλλοντος, καὶ Φοβερωτέρου διὰ τὴν ἀρχὴν ὄντος.

IX. Οὐ μὴν ἀπέβη τι ταραχῶδες ἀπ' αὐτῆς, ἀλλὰ καὶ τύχη τις ἄχαρις τῷ Καίσαρι συνηνέχθη περὶ τὸν οἶκον. Πόπλιος Κλώδιος ἦν ἀνὴρ γένει μὲν εὐπατρίδης, καὶ πλούτῳ καὶ λόγῳ λαμπρὸς, ὕβρει δὲ καὶ θρασύτητι τῶν ἐπὶ βδελυρίᾳ περιβοήτων οὐδενὸς δεύτερος. οὗτος ἤρα Πομπηΐας, τῆς Καίσαρος γυναικὸς, οὐδ' αὐτῆς ἀκούσης. ἀλλὰ Φυλακαί τε τῆς γυναικωνίτιδος ἀκριβεῖς ἦσαν, ἥ τε μήτηρ τοῦ Καίσαρος, Αὐρηλία, γυνὴ σώΦρων, περιέπουσα τὴν νύμΦην ἀεὶ, χαλεπὴν καὶ παρακεκινδυνευμένην αὐτοῖς ἐποίει τὴν ἔντευξιν. ἔστι δὲ Ῥωμαίοις θεὸς, ἣν Ἀγάθην ὀνομάζουσιν, ὥσπερ Ἕλληνες Γυναικείαν. καὶ Φρύγες μὲν οἰκειούμενοι, Μίδα μητέρα, τοῦ βασιλέως, γενέσθαι Φασὶ, Ῥωμαῖοι δὲ νύμΦην Δρυάδα, Φαύνῳ συνοικήσασαν, Ἕλληνες δὲ τῶν Διονύσου μητέρων τὴν ἄῤῥητον. ὅθεν ἀμπελίνοις τε τὰς σκηνὰς κλήμασιν ἑορτάζουσαι κατερέΦουσι, καὶ δράκων ἱερὸς παρακαθίδρυται τῇ θεῷ κατὰ τὸν μῦθον. ἄνδρα δὲ προσελθεῖν οὐ θέμις, οὐδ' ἐπὶ τῆς οἰκίας γενέσθαι, τῶν ἱερῶν ὀργιαζομένων. αὐταὶ δὲ καθ' ἑαυτὰς αἱ γυναῖκες πολλὰ τοῖς Ὀρφικοῖς ὁμολογοῦντα δρᾷν λέγονται περὶ τὴν ἱερουργίαν. ὅταν οὖν ὁ τῆς ἑορτῆς καθήκῃ χρόνος, ὑπατεύοντος, ἢ στρατηγοῦντος ἀνδρὸς [1], αὐτὸς μὲν ἐξίσταται, καὶ πᾶν τὸ ἄῤῥεν· ἡ δὲ γυνὴ τὴν οἰκίαν παραλαβοῦσα διακοσμεῖ, καὶ τὰ μέγιστα νύκτωρ τελεῖται, παιδιᾶς ἀναμεμιγμένης ταῖς παννυχίσι, καὶ μουσικῆς ἅμα πολλῆς παρούσης.

X.

1 Loci hujus duritiem haud ferendam R. sic molliendam censet ἀνδρὸς ἡ γυνὴ (αὐτὸς γὰρ ἐξίσταται scil. τῆς οἰκίας, καὶ πᾶν τὸ ἄῤῥεν) τὴν οἰκίαν παραλαβοῦσα.

X. Ταύτην τότε τὴν ἑορτὴν τῆς Πομπηΐας ἐπιτελέσης, ὁ Κλώδιος ὄπω γενειῶν, καὶ διὰ τῦτο λήσειν οἰόμενος, ἐσθῆτα καὶ σκευὴν ψαλτρίας ἀναλαβὼν ἐχώρει, νέᾳ γυναικὶ τὴν ὄψιν ἐοικώς. καὶ ταῖς θύραις ἐπιτυχὼν ἀνεῳγμέναις, εἰσήχθη μὲν ἀδεῶς ὑπὸ τῆς συνειδυίας θεραπαινίδος· ἐκείνης δὲ προδραμέσης, ὡς τῇ Πομπηΐᾳ φράσειε, καὶ γενομένης διατριβῆς, περιμένειν μὲν, ὅπε κατελείφθη τῷ Κλωδίῳ μὴ καρτερῦντι, πλανωμένῳ δ' ἐν οἰκίᾳ μεγάλῃ, καὶ περιφεύγοντι τὰ φῶτα, προσπεσῦσα τῆς Αὐρηλίας ἀκόλεθος, ὡς δὴ [1] γυνὴ γυναῖκα παίζειν πρέκαλεῖτο· καὶ μὴ βελόμενον, εἰς τὸ μέσον εἷλκε, καὶ, τίς ἐςι καὶ πόθεν, ἐπυνθάνετο. τῦ δὲ Κλωδίε φήσαντος, Ἄβραν περιμένειν Πομπηΐας, αὐτὸ τῦτο καλεμένην [2], καὶ τῇ φωνῇ γενομένε καταφανῦς, ἡ μὲν ἀκόλεθος εὐθὺς ἀπεπήδησε κραυγῇ πρὸς τὰ φῶτα καὶ τὸν ὄχλον, ἄνδρα πεφωρακέναι βοῶσα. τῶν δὲ γυναικῶν διαπτοηθεισῶν, ἡ [3] Αὐρηλία τὰ μὲν ὄργια τῆς θεῦ κατέπαυσε καὶ συνεκάλυψεν, αὐτὴ δὲ τὰς θύρας ἀποκλεῖσαι κελεύσασα, περιῄει τὴν οἰκίαν ὑπὸ λαμπάδων, ζητῦσα τὸν Κλώδιον. εὑρίσκεται δ' εἰς οἴκημα παιδίσκης, ᾗ συνεισῆλθε, καταπεφευγώς· καὶ γενόμενος φανερὸς ὑπὸ τῶν γυναικῶν ἐξελαύνεται διὰ τῶν θυρῶν. τὸ δὲ πρᾶγμα καὶ νυκτὸς εὐθὺς αἱ γυναῖκες ἀπιῦσαι τοῖς αὐτῶν ἔφραζον ἀνδράσι· καὶ μεθ' ἡμέραν ἐχώρει διὰ τῆς πόλεως ὁ λόγος, ὡς ἀθέσμοις ἐπικεχειρηκότος τῦ Κλωδίε, καὶ δίκην ε τοῖς ὑβρισμένοις μόνον, ἀλλὰ καὶ τῇ πόλει καὶ τοῖς θεοῖς ὀφεί-

1 Sic ex Br. conjectura R. dedit pro vulg. ὡς δέ. Pro παίζειν R. quaerit, num πλησιάζειν, aut πελάζειν, appropinquare?

2 Non solum erat Abra (hoc est ancilla pompatica, ostensionalis) sed etiam hoc nomine proprio appellabatur. R.

3 Hunc artic. Junt. Ald. Crat. non habent, Steph. dedit.

ὀφείλοντος. ἐγράψατο μὲν ἦν τὸν Κλώδιον εἷς τῶν δημάρχων ἀσεβείας, καὶ συνέστησαν ἐπ' αὐτὸν οἱ δυνατώτατοι τῶν ἀπὸ τῆς βουλῆς, ἄλλας τε δεινὰς ἀσελγείας καταμαρτυροῦντες, καὶ μοιχείαν ἀδελφῆς, ἣ Λευκούλλῳ συνῳκήκει. πρὸς δὲ τὰς τούτων σπουδὰς ὁ δῆμος ἀντιτάξας ἑαυτὸν, ἤμυνε τῷ Κλωδίῳ, καὶ μέγα πρὸς τοὺς δικαστὰς ὄφελος ἦν, ἐκπεπληγμένους καὶ δεδοικότας τὸ πλῆθος. ὁ δὲ Καῖσαρ ἀπεπέμψατο μὲν εὐθὺς τὴν Πομπηΐαν· μάρτυς δὲ πρὸς τὴν δίκην κληθεὶς, οὐδὲν ἔφη τῶν λεγομένων κατὰ τοῦ Κλωδίου γιγνώσκειν. ὡς δὲ, τοῦ λόγου παραδόξου φανέντος, ὁ κατήγορος ἠρώτησε· Πῶς οὖν ἀπεπέμψω τὴν γυναῖκα; Ὅτι, ἔφη, τὴν ἐμὴν ἠξίουν μηδ' ὑπονοηθῆναι. Ταῦτα οἱ μὲν οὕτω φρονοῦντα τὸν Καίσαρα λέγουσιν εἰπεῖν, οἱ δὲ τῷ δήμῳ χαριζόμενον ὡρμημένῳ σώζειν τὸν Κλώδιον. ἀποφεύγει δ' οὖν τὸ ἔγκλημα, τῶν πλείστων δικαστῶν συγκεχυμένας τοῖς πράγμασι τὰς γνώμας [1] ἀποδιδόντων, ὅπως μήτε παρακινδυνεύσωσιν ἐν τοῖς πολλοῖς καταψηφισάμενοι, μήτ' ἀπολύσαντες ἀδοξήσωσι παρὰ τοῖς ἀρίστοις.

XI. Ὁ δὲ Καῖσαρ εὐθὺς ἀπὸ τῆς στρατηγίας τῶν ἐπαρχιῶν τὴν Ἰβηρίαν [2] λαβὼν, ὡς ἦν δυσδιάθετον αὐτῷ τὸ περὶ τοὺς δανειστὰς, ἐνοχλοῦντας ἐξιόντι καὶ καταβοῶντας, ἐπὶ Κράσσον κατέφυγε, πλουσιώτατον ὄντα Ῥωμαίων, δεόμενον δὲ τῆς Καίσαρος ἀκμῆς καὶ θερμότητος ἐπὶ τὴν πρὸς Πομπήϊον ἀντιπολιτείαν. ἀναδεξαμένου δὲ τοῦ Κράσσου τοὺς μάλιστα χαλεποὺς καὶ ἀπαραιτήτους

τους

1 Dacer. *tulisse sententias per Saturam* vertendum ait, quod apud populum fiebat, cum una rogatione plura continerentur capita. R. pro τοῖς πράγμ. susp. τοῖς πράκτορσι, *quaesitoribus:* iis, quibus mandatum hoc erat, ut cistas tabellarias a judicibus reposcerent atque susciperent, & suffragia dinumerarent.

2 Casaubon. notante Mose Duf. ἐκτὸς inserit. Sic & suspicatur Rualdus, ut intelligatur *ulterior Hispania.* Pro λαβὼν Br. susp. λαχών.

τȣς τῶν δανειςῶν, καὶ διεγγυήσαντος ὀκτακοσίων καὶ τριάκοντα ταλάντων, ȣ̃τως ἐξῆλθεν ἐπὶ τὴν ἐπαρχίαν. λέγεται δὲ, τὰς Ἄλπεις ὑπερβαλόντος αὐτȣ̃, καὶ πολίχνιόν τι βαρβαρικὸν, οἰκȣ́μενον ὑπ' ἀνθρώπων παντάπασιν ὀλίγων καὶ λυπρῶν [1], παρερχομένȣ, τȣ̀ς ἑταίρȣς ἅμα γέλωτι καὶ μετὰ παιδιᾶς· Ἦπȣ, φάναι, κἀνταῦθα τινές εἰσιν ὑπὲρ ἀρχῶν φιλοτιμίαι, καὶ περὶ πρωτείων ἅμιλλαι, καὶ φθόνοι τῶν δυνατῶν πρὸς ἀλλήλȣς [2]. τὸν δὲ Καίσαρα σπȣδάσαντα πρὸς αὐτȣ̀ς, εἰπεῖν· Ἐγὼ μὲν ἐβȣλόμην παρὰ τȣ́τοις εἶναι μᾶλλον πρῶτος, ἢ παρὰ Ῥωμαίοις δεύτερος. ὁμοίως δὲ πάλιν ἐν Ἰβηρίᾳ σχολῆς ȣ̓́σης, ἀναγινώσκοντά τι τῶν περὶ Ἀλεξάνδρȣ γεγραμμένων, σφόδρα γενέσθαι πρὸς ἑαυτῷ πολὺν χρόνον, εἶτα καὶ δακρῦσαι· τῶν δὲ φίλων θαυμασάντων τὴν αἰτίαν, εἰπεῖν· Οὐ δοκεῖ ὑμῖν ἄξιον εἶναι λύπης, εἰ τηλικȣ̃τος μὲν ὢν Ἀλέξανδρος, ἤδη τοσȣ́των [3] ἐβασίλευεν, ἐμοὶ δὲ λαμπρὸν ȣ̓δὲν ȣ̓́πω πέπρακται.

XII. Τῆς γȣ̃ν Ἰβηρίας ἐπιβὰς, εὐθὺς ἦν ἐνεργὸς, ὥσθ' ἡμέραις ὀλίγαις δέκα σπείρας συναγαγεῖν πρὸς ταῖς πρότερον ȣ̓́σαις εἴκοσι· καὶ ςρατεύσας ἐπὶ Καλλαϊκȣ̀ς [4] καὶ Λȣσιτανȣ̀ς, κρατῆσαι, καὶ προελθεῖν ἄχρι τῆς ἔξω θαλάσσης, τὰ μὴ πρότερον ὑπακȣ́οντα Ῥωμαίοις ἔθνη καταςρεφόμενος. θέμενος δὲ τὰ τȣ̃ πολέμȣ καλῶς, ȣ̓ χεῖρον ἐβράβευε τὰ τῆς εἰρήνης, ὁμόνοιαν τε ταῖς πόλεσι καθιςὰς, καὶ μάλιςα τὰς τῶν χρεωφειλετῶν καὶ δανειςῶν ἰώμενος διαφοράς. ἔταξε γὰρ τῶν προσιόντων τοῖς ὀφείλȣσι καθ' ἕκαςον ἐνιαυτὸν δύο μὲν μέρη τὸν δανειςὴν ἀναιρεῖσθαι, τῷ δὲ λοιπῷ χρῆσθαι τὸν δεσπότην,



1 V. λυπηρῶν. Sequens παρερχομένȣ R. dedit ex Br. conjectura pro vulg. παρερχομένȣς τȣ̀ς ἑτ.

2 H. Steph. post h. v. interrogandi signum dedit. Eum sequuntur Frst. & Br.

3 V. & quidam H. Steph. cod. ἐθνῶν τοσȣ́των; quod probat Mos. Duf.

4 Cruser. *Gallaecos* scribit, quod reprobant Br. & Duf.

ἄχρις ἂν ὅτως ἐκλυθῇ τὸ δάνειον. ἐπὶ τύτοις [1] εὐδοκιμῶν, ἀπηλλάγη τῆς ἐπαρχίας, αὐτός τε πλύσιος γεγονὼς, καὶ τὺς ςρατιώτας ὠφεληκὼς ἀπὸ τῶν ςρατηγιῶν [2], καὶ προσηγορευμένος αὐτοκράτωρ ὑπ' αὐτῶν.

XIII. Ἐπεὶ δὲ τὺς μὲν μνωμένυς θρίαμβον ἔξω διατρίβειν ἔδει, τὺς δὲ μετιόντας ὑπατείαν παρόντας ἐν τῇ πόλει τῦτο πράττειν, ἐν τοιαύτῃ γεγονὼς ἀντινομίᾳ. καὶ πρὸς αὐτὰς τὰς ὑπατικὰς ἀφιγμένος ἀρχαιρεσίας, ἔπεμψε πρὸς τὴν σύγκλητον, αἰτύμενος αὐτῷ δοθῆναι παραγγέλλειν εἰς ὑπατείαν ἀπόντι διὰ τῶν φίλων. Κάτωνος δὲ πρῶτον μὲν ἰσχυριζομένυ τῷ νόμῳ πρὸς τὴν ἀξίωσιν, εἶτα ὡς ἑώρα πολλὺς τεθεραπευμένυς ὑπὸ τῦ Καίσαρος, ἐκκρύσαντος τῷ χρόνῳ τὸ πρᾶγμα, καὶ τὴν ἡμέραν ἐν τῷ λέγειν κατατρίψαντος, ἔγνω τὸν θρίαμβον ἀφεὶς ὁ Καῖσαρ ἔχεσθαι τῆς ὑπατείας· καὶ παρελθὼν εὐθὺς, ὑποδύεται πολίτευμά τι πάντας ἀνθρώπυς ἐξαπατῆσαν [3], πλὴν Κάτωνος. ἦν δὲ τῦτο διαλλαγὴ Πομπηΐυ καὶ Κράσσυ, τῶν μέγιςον ἐν τῇ πόλει δυναμένων· ὓς συναγαγὼν ὁ Καῖσαρ εἰς φιλίαν ἐκ διαφορᾶς, καὶ τὴν ὑπ' ἀμφοῖν [4] συνενεγκάμενος ἰσχὺν εἰς ἑαυτὸν, ἔργῳ φιλάνθρωπον ἔχοντι προσηγορίαν, ἔλαθε μεταςήσας τὴν πολιτείαν. ὐ γὰρ, ὡς οἱ πλεῖςοι νομίζυσιν, ἡ Καίσαρος καὶ Πομπηΐυ διαφορὰ τὺς ἐμφυλίυς ἀπειργάσατο πολέμυς, ἀλλὰ μᾶλλον ἡ φιλία, συςάντων ἐπὶ καταλύσει τῆς ἀριςοκρατίας τὸ πρῶτον, εἶτα ὕτω καὶ πρὸς ἀλλήλυς διαςάντων. Κάτωνι δὲ, πολλάκις τὰ μέλλοντα προθεσπίζοντι, περιῆν δυσκόλυ μὲν ἀνθρώπυ τότε καὶ πολυπράγμονος, ὕςερον δὲ φρονίμυ μὲν, ὐκ εὐτυχῦς δὲ, συμβύλυ λαβεῖν δόξαν.

XIV.

1 V. ἐπὶ τοῖς.

2 V. ὑπὸ τῶν ςρατηγικῶν.

3 Ms. Par πολιτεύματι . . . ἐξαπατήσαντι.

4 R. mavult τὴν ἀπ' ἀμφοῖν. In seq. Ms. Par. συνεισενεγκάμενος.

XIV. Οὐ μὴν ἀλλ᾽ ὁ Καῖσαρ ἐν μέσῳ τῆς Κράσσȣ καὶ Πομπηΐȣ φιλίας δορυφορȣ́μενος, ἐπὶ τὴν ὑπατείαν προήχθη, καὶ λαμπρῶς ἀναγορευθεὶς μετὰ Καλπȣρνίȣ Βίβλȣ, καὶ καταςὰς εἰς τὴν ἀρχὴν, εὐθὺς εἰσέφερε νόμȣς ȣ̓χ ὑπάτῳ προσήκοντας, ἀλλὰ δημάρχῳ τινὶ θρασυτάτῳ, πρὸς ἡδονὴν τῶν πολλῶν κληρȣχίας τινὰς χώρας [1] καὶ διανομὰς εἰσηγȣ́μενος. ἐν δὲ τῇ βȣλῇ τῶν καλῶν τε καὶ ἀγαθῶν ἀντικρȣσάντων, πάλαι δεόμενος προφάσεως, ἀνακραγὼν [2] καὶ μαρτυράμενος, ὡς εἰς τὸν δῆμον ἄκων ἐξελαύνοιτο, θεραπεύσων ἐκεῖνον ἐξ ἀνάγκης, ὕβρει καὶ χαλεπότητι τῆς βȣλῆς, πρὸς αὐτὸν ἐξεπήδησε· καὶ περιςησάμενος ἔνθεν μὲν Κράσσον, ἔνθεν δὲ Πομπήϊον, ἠρώτησεν, εἰ τȣ̀ς νόμȣς ἐπαινοῖεν. ἐπαινεῖν δὲ φασκόντων, παρεκάλει βοηθεῖν πρὸς τȣ̀ς ἐνίςασθαι [3] μετὰ ξιφῶν ἀπειλȣ̃ντας. ἐκεῖνοι δ᾽ ὑπισχνȣ̃ντο· Πομπήϊος δὲ καὶ προσεπεῖπεν, ὡς ἀφίξοιτο πρὸς τὰ ξίφη μετὰ τȣ̃ ξίφȣς καὶ θυρεὸν κομίζων. ἐπὶ τȣ́τῳ τȣ̀ς μὲν ἀριςοκρατικȣ̀ς ἠνίασεν, ȣ̓κ ἀξίαν τῆς περὶ αὐτὸν αἰδȣ̃ς, ȣ̓δὲ τῇ πρὸς τὴν σύγκλητον εὐλαβείᾳ [4] πρέπȣσαν, ἀλλὰ μανικὴν καὶ μειρακιώδη φωνὴν ἀκȣ́σαντας· ὁ δὲ δῆμος ἥσθη. Καῖσαρ δὲ μειζόνως ἔτι τῆς Πομπηΐȣ δυνάμεως ὑποδραττόμενος (ἦν γὰρ αὐτῷ Ἰȣλία θυγάτηρ, ἐγγεγυημένη Σερȣϊλίῳ Καιπίωνι [5]) ταύτην ἐνεγγύησε Πομπηΐῳ· τὴν δὲ Πομπηΐȣ τῷ Σερȣϊλίῳ δώσειν ἔφησεν, ȣ̓δ᾽ αὐτὴν ἀνέγγυον ȣ̓̃σαν, ἀλλὰ Φαύςῳ, τῷ Σύλλα παιδὶ, καθωμολογημένην. ὀλίγῳ δ᾽ ὕςερον Καῖσαρ ἠγάγετο Καλπȣρνίαν, θυγατέρα Πείσωνος, τὸν δὲ Πείσωνα κατέςησεν ὕπατον εἰς τὸ μέλλον. ἐν-



1 est genit. sing. R.

2 In Br. mendose ἀνακραγὼς; R. restituit.

3 In Br. mendose ἀνίςασθαι; R. restituit.

4 Sic ex conjectura Steph. dedit R. Vulgo τῆς . . . εὐλαβείας.

5 Edd. Stephanica priores Σκιπίωνι.

ἐνταῦθα δὴ καὶ σφόδρα μαρτυρομένȣ Κάτωνος, καὶ βοῶντος, ȣκ ἀνεκτὸν εἶναι, γάμοις διαμαστροπευομένης τῆς ἡγεμονίας, καὶ διὰ γυναίων εἰς ἐπαρχίας καὶ στρατεύματα καὶ δυνάμεις ἀλλήλȣς ἀντεισαγόντων. ὁ μὲν ȣ̃ν συνάρχων τȣ̃ Καίσαρος, Βίβλος, ἐπεὶ κωλύων τȣ̀ς νόμȣς ȣ̓δὲν ἐπέραινεν, ἀλλὰ πολλάκις ἐκινδύνευε μετὰ Κάτωνος ἐπὶ τῆς ἀγορᾶς ἀποθανεῖν, ἐγκλεισάμενος οἴκοι τὸν τῆς ἀρχῆς χρόνον διετέλεσε. Πομπήϊος δὲ γήμας, εὐθὺς ἐνέπλησε τὴν ἀγορὰν ὅπλων, καὶ συνεπεκύρȣ τῷ δήμῳ τȣ̀ς νόμȣς· Καίσαρι δὲ τὴν ἐντὸς Ἄλπεων καὶ τὴν ἐκτὸς ἅπασαν Κελτικὴν, προσθεὶς τὸ Ἰλλυρικὸν μετὰ ταγμάτων τεσσάρων εἰς πενταετίαν. Κάτωνα μὲν ȣ̃ν ἐπιχειρήσαντα τȣ́τοις ἀντιλέγειν ἀπῆγεν εἰς φυλακὴν ὁ Καῖσαρ, οἰόμενος αὐτὸν ἐπικαλέσεσθαι [1] τȣ̀ς δημάρχȣς· ἐκείνȣ δ' ἀφώνȣ βαδίζοντος, ὁρῶν ὁ Καῖσαρ ȣ̓ μόνον τȣ̀ς κρατίστȣς δυσφορȣ̃ντας, ἀλλὰ καὶ τὸ δημοτικὸν αἰδοῖ τῆς Κάτωνος ἀρετῆς σιωπῇ καὶ μετὰ κατηφείας ἑπόμενον, αὐτὸς ἐδεήθη κρύφα τῶν δημάρχων ἑνὸς ἀφελέσθαι τὸν Κάτωνα. τῶν δ' ἄλλων συγκλητικῶν ὀλίγοι παντάπασιν αὐτῷ συνῄεσαν εἰς βȣλὴν, οἱ δὲ λοιποὶ δυσχεραίνοντες ἐκποδὼν ἦσαν. εἰπόντος δὲ Κονσιδίȣ τινὸς τῶν σφόδρα γερόντων, ὡς φοβȣ́μενοι τὰ ὅπλα καὶ τȣ̀ς στρατιώτας ȣ̓ συνέρχοιντο [2]· Τί ȣ̃ν, ἔφη ὁ Καῖσαρ, ȣ̓ καὶ σὺ ταῦτα δεδιὼς οἰκȣρεῖς; καὶ ὁ Κονσίδιος εἶπεν· ὅτι με ποιεῖ μὴ φοβεῖσθαι τὸ γῆρας. ὁ γὰρ ἔτι λειπόμενος βίος ȣ̓ πολλῆς, ὀλίγος ὢν, δεῖται προνοίας. αἴχιστον δὲ τῶν τότε πολιτευμάτων ἔδοξεν, ἐν τῇ Καίσαρος ὑπατείᾳ δήμαρχον αἱρεθῆναι Κλώδιον ἐκεῖνον, ὑφ' ȣ̃ τὰ περὶ [3] τὸν γάμον καὶ τὰς ἀποῤῥήτȣς παρενομήθη παννυχίδας. ᾑρέθη δ' ἐπὶ τῇ Κικέρωνος καταλύσει·

1 Iunt. habere ἐπικαλέσασθαι, adnotat R. nec lectionem hanc mutandam fuisse censet. Eadem est in Ald. & Crat.

2 V. συνέχοιντο.

3 V. παρά.

σει· καὶ Καῖσαρ ὁ πρότερον ἐξῆλθεν ἐπὶ τὴν στρατείαν, ἢ καταστασιάσαι Κικέρωνα μετὰ Κλωδίου, καὶ συνεκβαλεῖν ἐκ τῆς Ἰταλίας.

XV. Τοιαῦτα μὲν οὖν λέγεται γενέσθαι τὰ πρὸ τῶν Γαλατικῶν. ὁ δὲ τῶν πολέμων, οὓς ἐπολέμησε μετὰ ταῦτα, καὶ τῶν στρατειῶν, αἷς ἡμερώσατο τὴν Κελτικὴν, χρόνος, ὥσπερ ἄλλην ἀρχὴν λαβόντος αὐτοῦ, καὶ καταστάντος εἰς ἑτέραν τινὰ βίου καὶ πραγμάτων καινῶν ὁδὸν, οὐκ ἔστιν ὅτου τῶν μάλιστα τεθαυμασμένων ἐφ' ἡγεμονίᾳ καὶ μεγίστων γεγονότων ἀπολείποντα πολεμιστὴν καὶ στρατηλάτην ἀπέδειξεν αὐτόν· ἀλλ' εἴτε Φαβίους καὶ Σκιπίωνας καὶ Μετέλλους καὶ τοὺς κατ' αὐτὸν, ἢ μικρὸν ἔμπροσθεν αὐτοῦ, Σύλλαν καὶ Μάριον, ἀμφοτέρους τε Λευκόλλους, ἢ καὶ Πομπήϊον αὐτὸν, οὗ κλέος ὑπερουράνιον ἤνθει τότε [1] παντοίας περὶ πόλεμον ἀρετῆς, παραβάλλοι τις, αἱ Καίσαρος ὑπερβάλλουσι [2] πράξεις, τὸν μὲν χαλεπότητι τόπων, ἐν οἷς ἐπολέμησε, τὸν δὲ μεγέθει χώρας, ἣν προσεκτήσατο, τὸν δὲ πλήθει καὶ βίᾳ πολεμίων, οὓς ἐνίκησε, τὸν δ' ἀτοπίαις καὶ ἀπιστίαις ἠθῶν, ἃ καθωμάλισε [3], τὸν δ' ἐπιεικείᾳ καὶ πρᾳότητι πρὸς τοὺς ἁλισκομένους, τὸν δὲ δώροις καὶ χάρισι πρὸς τοὺς συστρατευομένους, πάντας δὲ τῷ πλείστας μεμαχῆσθαι μάχας, καὶ πλείστους ἀνῃρηκέναι τῶν ἀντιταχθέντων. ἔτη γὰρ οὐδὲ δέκα πολεμήσας περὶ Γαλατίαν, πόλεις μὲν ὑπὲρ ὀκτακοσίας κατὰ κράτος εἷλεν, ἔθνη δ' ἐχειρώσατο τριακόσια· μυριάσι δὲ παραταξάμενος κατὰ μέρος τριακοσίαις, ἑκατὸν μὲν ἐν χερσὶ διέφθειρεν, ἄλλας δὲ δὶς [4] τοσαύτας ἐζώγρησεν.

 XVI.

1 τότε deest Junt. Ald. & Crat. dedit Steph. — E V. enotatum est ἤνθει τότε absque commate, in Steph. & Frft. interjecto.

2 R. mavult ὑπερβαλοῦσι, in fut.

3 V. καθωμήλισε.

4 Adverbium δὶς de suo addidit R.

XVI. Εὐνοίᾳ δὲ καὶ προθυμίᾳ στρατιωτῶν ἐχρήσατο τοσαύτῃ πρὸς [1] αὐτὸν, ὥστε τοὺς ἑτέρων μηδὲν ἐν ταῖς ἄλλαις στρατείαις διαφέροντας, ἀμάχους καὶ ἀνυποστάτους φέρεσθαι πρὸς πᾶν δεινὸν ὑπὲρ τῆς Καίσαρος δόξης. οἷος ἦν τοῦτο μὲν Ἀκίλιος, ὃς ἐν τῇ περὶ Μασσαλίαν ναυμαχίᾳ, νεὼς πολεμίας ἐπιβεβηκὼς, τὴν μὲν δεξιὰν ἀπεκόπη χεῖρα μαχαίρᾳ, τῇ δ' ἀριστερᾷ [2] τὸν θυρεὸν οὐκ ἀφῆκεν, ἀλλὰ τύπτων εἰς τὰ πρόσωπα τοὺς πολεμίους, ἀπέστρεψε πάντας, καὶ τοῦ σκάφους ἐπεκράτησε· τοῦτο δὲ Κάσσιος Σκεύαξ [3], ὃς ἐν τῇ περὶ [4] Δυῤῥάχιον μάχῃ τὸν ὀφθαλμὸν ἐκκοπεὶς τοξεύματι, τὸν δ' ὦμον ὑσσῷ καὶ τὸν μηρὸν ἑτέρῳ διεληλαμένος, τῷ δὲ θυρεῷ βελῶν ἑκατὸν καὶ τριάκοντα [5] πληγὰς ἀναδεδεγμένος, ἐκάλει τοὺς πολεμίους, ὡς παραδώσων ἑαυτόν. δυεῖν δὲ προσιόντων, τοῦ μὲν ἀπέκοψε τὸν ὦμον τῇ μαχαίρᾳ, τὸν δὲ κατὰ τοῦ προσώπου πατάξας ἀνέτρεψεν [6]. αὐτὸς δὲ διεσώθη, τῶν οἰκείων περισχόντων. ἐν δὲ Βρεττανίᾳ τῶν πολεμίων εἰς τόπον ἑλώδη καὶ μεστὸν ὕδατος [7] ἐμπεσοῦσι τοῖς πρώτοις ταξιάρχαις ἐπιθεμένων, στρατιώτης Καίσαρος [8], αὐτοῦ τὴν μάχην ἐφορῶντος, ὠσάμενος εἰς μέσους, καὶ πολλὰ καὶ περίοπτα τόλμης ἀποδειξάμενος ἔργα, τοὺς μὲν ταξιάρχους ἔσωσε, τῶν βαρβάρων φυγόντων, αὐτὸς δὲ χαλεπῶς ἐπὶ πᾶσι διαβαίνων, ἔῤῥιψεν ἑαυτὸν εἰς ῥεύματα τελματώδη [9] καὶ μόλις

1 Sic R. de suo dedit pro vulg. περί.

2 V. τῇ ἑτέρᾳ. Idem paulo post οὐ παρῆκεν, pro οὐκ ἀφ.

3 Anon. Σκεύας, quod probat Mos. Dus.

4 Ita V. & R. dedit pro vulg. ἐπί.

5 Ipse Caesar CCXXX in clypeo inventa foramina tradit.

6 Sic R. de suo dedit pro vulg. ἀπέστρεψεν. Ms. Par. ἀπέκτεινεν.

7 Ms. Par. ὑδάτων.

8 Mos. Dus. post στρατιώτης interpungi vult, ut sit *miles*, *Caesare ipso pugnam spectante*.

9 Ms. Par. τέλματα ῥευματώδη.

μόλις ἄνευ τοῦ θυρεοῦ, τὰ μὲν νηχόμενος, τὰ δὲ βαδίζων, διεπέρασε. θαυμαζόντων δὲ τῶν περὶ τὸν Καίσαρα, καὶ μετὰ χαρᾶς καὶ κραυγῆς ἀπαντώντων [1], αὐτὸς εὖ μάλα κατηφὴς καὶ δεδακρυμένος προσέπεσε τῷ Καίσαρι, συγγνώμην αἰτούμενος ἐπὶ τῷ προέσθαι τὸν θυρεόν. ἐν δὲ Λιβύῃ ναῦν ἔχοντες οἱ περὶ Σκιπίωνα Καίσαρος, ἐν ᾗ Γράνιος Πέτρων [2] ἐπέπλει, ταμίας ἀποδεδειγμένος, τοὺς μὲν ἄλλους ἐποιοῦντο λείαν, τῷ δὲ ταμίᾳ διδόναι τὴν σωτηρίαν ἔφασαν. ὁ δ', εἰπὼν, ὅτι τοὺς Καίσαρος στρατιώτας [3] οὐ λαμβάνειν, ἀλλὰ διδόναι σωτηρίαν ἔθος ἐστὶν, ἑαυτὸν τῷ ξίφει πατάξας ἀνεῖλεν.

XVII. Τὰ δὲ τοιαῦτα λήματα [4] καὶ τὰς φιλοτιμίας αὐτὸς ἀνέθρεψε καὶ κατεσκεύασε Καῖσαρ, πρῶτον μὲν τῷ χαρίζεσθαι καὶ τιμᾷν ἀφειδῶς, ἐνδεικνύμενος, ὅτι τὸν πλοῦτον οὐκ εἰς τρυφὴν ἰδίαν [5], οὐδέ τινας ἡδυπαθείας ἐκ τῶν πολέμων ἀθροίζει, κοινὰ δ' ἆθλα τῆς ἀνδραγαθίας παρ' αὐτῷ φυλασσόμενα ἀπόκειται· καὶ μέτεστιν ἐκείνῳ τοῦ πλουτεῖν [6], ὅσα τοῖς ἀξίοις τῶν στρατιωτῶν δίδωσιν· ἔπειτα τῷ πάντα μὲν κίνδυνον ἑκὼν ὑφίστασθαι, πρὸς μηδένα δὲ τῶν πόνων ἀπαγορεύειν. τὸ μὲν οὖν φιλοκίνδυνον οὐκ ἐθαύμαζον αὐτοῦ διὰ τὴν φιλοτιμίαν· ἡ δὲ τῶν πόνων ὑπομονὴ, παρὰ τὴν τοῦ σώ-



1 V. ἁπάντων.

2 Br. monente, *Petronius* is, non *Petro* dicebatur. Sic & Cruser. vertit.

3 Ms. Par. τοῖς . . . στρατιώταις, quod Br. probat ob insequens ἔθος ἐστί.

4 Sic, cum simplici μ R. de suo dedit pro vulg. λήμματα. λῆμα, fiducia, audentia, nobilis impetus animi ad magna audendum. Cf. Suid. & Hesych.

5 Ms. Par. τρυφαῖς ἰδίαις.

6 Corruptum hunc locum Mos. Dus. censuit. R. eum bene habere docet, ad τοῦ πλ. subaudiendo τοσαῦτα, *se hactenus participare divitias, aut gloriam opulentiae, quatenus militum bene meritis illas divitias impertire atque largiri possit.*

ματος δύναμιν ἐγκαρτερεῖν δοκῦντος, ἐξέπληττεν· ὅτι καὶ τὴν ἕξιν ὢν ἰσχνὸς, καὶ τὴν σάρκα λευκὸς καὶ ἁπαλὸς, καὶ περὶ τὴν κεφαλὴν νοσώδης, καὶ τοῖς [1] ἐπιληπτικοῖς ἔνοχος, ἐν Κορδύβῃ πρῶτον αὐτῷ τῦ πάθυς, ὡς λέγεται, τύτυ προσπεσόντος, ὐ μαλακίας ἐποιήσατο τὴν ἀῤῥωςίαν πρόφασιν, ἀλλὰ θεραπείαν τῆς ἀῤῥωςίας τὴν ςρατείαν, ταῖς ἀτρύτοις [2] ὁδοιπορίαις, καὶ ταῖς εὐτελέσι διαίταις, καὶ τῷ θυραυλεῖν [3] ἀπομαχόμενος τῷ πάθει, καὶ τὸ σῶμα φρυρῶν δυσάλωτον. ἐκοιμᾶτο μέν γε τὺς πλείςυς ὕπνυς ἐν ὀχήμασιν, ἢ φορείοις, εἰς πρᾶξιν τὴν ἀνάπαυσιν κατατιθέμενος· ὠχεῖτο δὲ μεθ᾽ ἡμέραν ἐπὶ τὰ φρύρια καὶ τὰς πόλεις καὶ τὺς χάρακας, ἑνὸς αὐτῷ συγκαθημένυ παιδὸς, τῶν ὑπογράφειν ἅμα διώκοντος εἰθισμένων, ἑνὸς δ᾽ ἐξόπιθεν ἐφεςηκότος ςρατιώτυ, ξίφος ἔχοντος. συντόνως δ᾽ ἤλαυνεν ὕτως, ὥςε τὴν πρώτην ἔξοδον ἀπὸ Ῥώμης ποιησάμενος, ὀγδοαῖος ἐπὶ τὸν Ῥοδανὸν ἐλθεῖν. τὸ μὲν ὖν ἱππεύειν ἐκ παιδὸς ἦν αὐτῷ ῥᾴδιον· εἴθιςο γὰρ εἰς τὐπίσω τὰς χεῖρας ἀπάγων, καὶ τῷ νώτῳ περιπλέκων, ἀνὰ κράτος ἐλαύνειν τὸν ἵππον [4]. ἐν ἐκείνῃ δὲ τῇ ςρατείᾳ προσεξήσκησεν ἱππαζόμενος τὰς ἐπιςολὰς ὑπαγορεύειν, καὶ δυσὶν ὁμῦ γράφυσιν ἐξαρκεῖν [5]· ὡς δ᾽ Ὄππιός φησι, καὶ πλείοσι. λέγεται δὲ καὶ τὸ διὰ γραμμάτων τοῖς φίλοις ὁμιλεῖν, Καίσαρα πρῶτον μηχανήσασθαι, τὴν κατὰ πρόσωπον ἔντευξιν ὑπὲρ τῶν ἐπειγόντων, τῦ καιρῦ διά τε πλῆθος [6] ἀσχολιῶν καὶ τῆς πόλεως τὸ μέγεθος

1 V. καὶ ἐπὶ τοῖς ἐπιλ.

2 V. ἀπρύτοις.

3 Poſt h. v. Ms. Par. inſerit ἐνδελεχῶς καὶ ταλαιπωρεῖν. V. mendoſe eadem exhibet ἐντελεχῶς καὶ ταλεπορεῖν. In quibusdam exemplaribus H. Steph. ἐνδελεχῶς.

4 Verba haec εἴθιςο γὰρ — τὸν ἵππον in ſuo Graeco non habuiſſe, adnotat Xyl. Ea quoque omiſit in verſione.

5 V. ἐξασκεῖν.

6 V. διά τε τὸ πλῆθος, quod Moſ. Duſ. probat.

θος μὴ περιμένοντος. τῆς δὲ περὶ τὴν δίαιταν εὐκολίας κἀκεῖνο ποιοῦνται σημεῖον, ὅτι, τοῦ δειπνίζοντος αὐτὸν ἐν Μεδιολάνῳ ξένου, Οὐαλερίου Λέοντος, παραθέντος ἀσπάραγον [1], καὶ μύρον ἀντ' ἐλαίου καταχέαντος, αὐτὸ μὲν ἀφελῶς ἔφαγε, τοῖς δὲ φίλοις δυσχεραίνουσιν ἐπέπληξεν. Ἤρκει γὰρ, ἔφη, τὸ μὴ χρῆσθαι τοῖς ἀπαρέσκουσιν· ὁ δὲ τὴν τοιαύτην ἀγροικίαν ἐξελέγχων, αὐτός ἐστιν ἄγροικος. ἐν ὁδῷ δέ ποτε συνελαθεὶς ὑπὸ χειμῶνος εἰς ἔπαυλιν ἀνθρώπου πένητος, ὡς οὐδὲν εὗρε πλέον οἰκήματος ἑνὸς γλίσχρως ἕνα δέξασθαι δυναμένου, πρὸς τοὺς φίλους εἰπὼν, ὡς τῶν μὲν ἐντίμων παραχωρητέον εἴη τοῖς κρατίστοις, τῶν δ' ἀναγκαίων τοῖς ἀσθενεστάτοις, Ὄππιον ἐκέλευσεν ἀναπαύσασθαι· μετὰ δὲ τῶν ἄλλων αὐτὸς ἐν τῷ προστεγίῳ τῆς θύρας ἐκάθευδεν.

XVIII. Ἀλλὰ γὰρ ὁ μὲν πρῶτος αὐτῷ τῶν Κελτικῶν πολέμων πρὸς Ἐλβηττίους συνέστη καὶ Τιγυρίνους [2], οἳ τὰς αὐτῶν δώδεκα πόλεις καὶ κώμας τετρακοσίας ἐμπρήσαντες, ἐχώρουν πρόσω διὰ τῆς ὑπὸ Ῥωμαίοις [3] Γαλατίας, ὥσπερ πάλαι Κίμβροι, καὶ Τεύτονες, οὔτε τόλμαν ἐκείνων ὑποδεέστεροι δοκοῦντες εἶναι, καὶ πλῆθος ὁμαλῶς [4] τριάκοντα μὲν αἱ πᾶσαι μυριάδες ὄντες, εἴκοσι δ' αἱ μαχόμεναι [5], μιᾶς δέουσαι. τούτων Τιγυρινοὺς μὲν οὐκ αὐτὸς, ἀλλὰ Λαβιηνὸς πεμφθεὶς ὑπ' αὐτοῦ, περὶ τὸν Ἄραρα ποταμὸν συνέτριψεν. Ἐλβηττίων δ' αὐτῷ πρός τινα πόλιν φίλην ἄγοντι τὴν στρατιὰν, καθ' ὁδὸν ἀπροσδοκήτως ἐπιθεμένων, φθάσας ἐπὶ χωρίον καρτερὸν κατέφυγε. κἀκεῖ συναγαγὼν καὶ παρατάξας τὴν δύναμιν, ὡς ἵππος αὐτῷ προσήχθη· Τούτῳ μὲν, ἔφη, νική-

1 In Cat. var. post h. v. additur αὐτῷ, absque codicis nota.

2 V. Τυρηνοὺς.

3 Junt. Ald. Crat. Ῥωμαίους.

4 R. susp. ὁμαλεῖς, in nom. plur.

5 R. mavult οἱ μαχόμενοι.

νικήσας χρήσομαι πρὸς τὴν δίωξιν, νῦν δ' ἴωμεν ἐπὶ τὰς πολεμίας· καὶ πεζὸς ὁρμήσας ἐνέβαλε. χρόνῳ δὲ καὶ χαλεπῶς ὠσάμενος τὸ μάχιμον, περὶ ταῖς ἁμάξαις καὶ τῷ χάρακι τὸν πλεῖστον ἔσχε πόνον, ἐκ αὐτῶν μόνον [1] ὑφισταμένων ἐκεῖ καὶ μαχομένων, ἀλλὰ καὶ παῖδες αὐτῶν καὶ γυναῖκες ἀμυνόμεναι μέχρι θανάτου συγκατεκόπησαν, ὥστε τὴν μάχην μόλις εἰς μέσας νύκτας τελευτῆσαι. καλῷ δὲ τῷ τῆς νίκης ἔργῳ [2] κρεῖττον ἐπέθηκε, τὸ συνοικίσαι τὰς διαφυγόντας ἐκ τῆς μάχης τῶν [παρόντων [3]] βαρβάρων, καὶ καταναγκάσαι τὴν χώραν ἀναλαβεῖν, ἣν ἀπέλιπον, καὶ τὰς πόλεις, ἃς διέφθειραν, ὄντας ὑπὲρ δέκα μυριάδας. ἔπραξε δὲ τοῦτο, δεδιὼς, μὴ τὴν χώραν ἔρημον γενομένην οἱ Γερμανοὶ διαβάντες κατάσχωσι.

XIX. Δεύτερον δὲ πρὸς Γερμανὰς ἄντικρυς ὑπὲρ Κελτῶν ἐπολέμησε, καίτοι τὸν βασιλέα πρότερον αὐτῶν, Ἀριόβυστον, ἐν Ῥώμῃ σύμμαχον πεποιημένος· ἀλλ' ἦσαν ἀφόρητοι τοῖς ὑπηκόοις αὐτοῦ γείτονες, καὶ καιροῦ παραδόντος, ἐκ ἂν ἐδόκουν ἐπὶ τοῖς παροῦσιν ἀτρεμήσειν, ἀλλ' ἐπινεμήσεσθαι [4] καὶ καθέξειν τὴν Γαλατίαν. ὁρῶν δὲ τὰς ἡγεμόνας ἀποδειλιῶντας, καὶ μάλιστα ὅσοι τῶν ἐπιφανῶν καὶ νέων αὐτῷ συνεξῆλθον, ὡς δὴ τρυφῇ [5] χρησόμενοι καὶ χρηματισμῷ τῇ μετὰ Καίσαρος στρατείᾳ· συναγαγὼν εἰς ἐκκλησίαν, ἐκέλευσεν ἀπιέναι, καὶ μὴ κινδυνεύειν παρὰ γνώμην, οὕτως ἀνάνδρως καὶ μαλακῶς

1 Junt. Ald. Crat. μόνων. Hinc susp. Br. pro αὐτῶν legendum esse ἀνδρῶν;

2 R. post h. v. deesse censet τέλος.

3 Br. susp. περιόντων. R. uncis inclusit, ut prorsus otiosum, Br. conjecturam non probans, quia οἱ περιόντες iidem sint, atque οἱ διαφυγόντες ἐκ τῆς μ.

4 Sic R. dedit, quodam modo e Junt. quae habet ἐπινεμήσεται. Idem suspicati sunt Mos. Dus. & Br. pro vulg. ἐπινομήσεσθαι. Ms. Par. ἐπινεμηθήσεσθαι.

5 V. τρυφῆσαι.

κῶς ἔχοντας· αὐτὸς δ' ἔφη τὸ δέκατον τάγμα μόνον παραλαβὼν, ἐπὶ τοὺς βαρβάρους πορεύεσθαι, μήτε κρείττοσι μέλλων Κίμβρων μάχεσθαι πολεμίοις, μήτ' αὐτὸς ὢν Μαρίου χείρων [1] στρατηγός. ἐκ τούτου τὸ μὲν δέκατον τάγμα πρεσβευτὰς ἔπεμψε πρὸς αὐτὸν, χάριν ἔχειν ὁμολογοῦντες· τὰ δ' ἄλλα τοὺς ἑαυτῶν ἐκάκιζον ἡγεμόνας, ὁρμῆς δὲ καὶ προθυμίας γενόμενοι πλήρεις ἅπαντες ἠκολούθησαν ὁδὸν ἡμερῶν πολλῶν, ἕως ἐν διακοσίοις τῶν πολεμίων [2] σταδίοις κατεστρατοπέδευσαν. ἦν μὲν οὖν ὅ τι καὶ πρὸς τὴν ἔφοδον αὐτὴν ἐτέθραυστο τῆς τόλμης [3] τοῦ Ἀριοβύστου. Γερμανοῖς γὰρ ἐπιθήσεσθαι Ῥωμαίους, ὧν ἐπερχομένων οὐκ ἂν ἐδόκουν ὑποστῆναι, ὃ μὴ [4] προσδοκήσας, ἐθαύμαζε τὴν Καίσαρος τόλμαν, καὶ τὸν στρατὸν [5] ἑώρα τεταραγμένον. ἔτι δὲ μᾶλλον αὐτοὺς ἤμβλυνε τὰ μαντεύματα τῶν ἱερῶν [6] γυναικῶν, αἳ ποταμῶν δίναις προσβλέπουσαι, καὶ ῥευμάτων ἑλιγμοῖς καὶ ψόφοις τεκμαιρόμεναι προεθέσπιζον, οὐκ ἐῶσαι μάχην τίθεσθαι, πρὶν ἐπιλάμψαι νέαν σελήνην. ταῦτα τῷ Καίσαρι πυνθανομένῳ, καὶ τοὺς Γερμανοὺς ἡσυχάζοντας ὁρῶντι, καλῶς ἔχειν ἔδοξεν ἀπροθύμοις οὖσιν αὐτοῖς συμβάλλειν, μᾶλλον, ἢ τὸν ἐκείνων ἀναμένοντα καιρὸν καθῆσθαι. καὶ προσβολὰς ποιούμενος τοῖς ἐρύμασι καὶ λόφοις, ἐφ' ὧν ἐστρατοπέδευον, ἐξηγρίαινε καὶ παρώξυνε καταβάντας πρὸς ὀργὴν διαγωνίσασθαι. γενομένης δὲ λαμπρᾶς τροπῆς αὐτῶν, ἐπὶ σταδίους τριακοσίους [7] ἄχρι τοῦ Ῥήνου διώξας, κατέπλησε τοῦτο πᾶν νεκρῶν τὸ πεδίον

1 V. χεῖρα.

2 R. susp. ἀπὸ τῶν πολ.

3 V. τῆς γνώμης. Paulo post pro Ῥωμαίους enotatum est in ind. var. Ῥωμαίοις absque nomine codicis.

4 Br. delendum censet ὃ. Anon. ὁ μή.

5 R. mavult τὸν ἑαυτοῦ στρατόν.

6 Dacer. ἰδίων reponit.

7 Quidam H. Steph. cod. & Par. τετρακοσίους. Dacer. legendum putavit τριάκοντα; Br. susp. τεσσαράκοντα.

δίον καὶ λαφύρων. Ἀριόβυστος δὲ φθάσας μετ' ὀλίγων, διεπέρασε τὸν Ῥῆνον. ἀριθμὸν δὲ νεκρῶν μυριάδας ὀκτὼ γενέσθαι λέγουσι.

XX. Ταῦτα διαπραξάμενος, τὴν μὲν δύναμιν ἐν Σηκουανοῖς ἀπέλειπε διαχειμάσουσαν, αὐτὸς δὲ τοῖς ἐν Ῥώμῃ προσέχειν βουλόμενος, εἰς τὴν περὶ Πάδον Γαλατίαν κατέβη, τῆς αὐτῷ δεδομένης ἐπαρχίας οὖσαν. ὁ γὰρ καλούμενος Ῥουβίκων ποταμὸς ἀπὸ τῆς ὑπὸ ταῖς Ἄλπεσι Κελτικῆς ὁρίζει τὴν ἄλλην Ἰταλίαν. ἐνταῦθα καθήμενος ἐδημαγώγει, πολλῶν πρὸς αὐτὸν ἀφικνουμένων, διδοὺς, ἃν ἕκαστος δεηθείη· καὶ πάντας ἀποπέμπων, τὰ μὲν ἔχοντας ἤδη παρ' αὐτοῦ, τὰ δ' ἐλπίζοντας. καὶ παρὰ τὸν ἄλλον δὲ [1] πάντα τῆς στρατείας χρόνον ἐλάνθανε τὸν Πομπήϊον, ἐν μέρει νῦν μὲν τοὺς πολεμίους τοῖς τῶν πολιτῶν [2] ὅπλοις καταστρεφόμενος, νῦν δὲ τοῖς ἀπὸ τῶν πολεμίων χρήμασιν αἱρῶν τοὺς πολίτας καὶ χειρούμενος. ἐπεὶ δὲ Βέλγας [3] ἤκουσε δυνατωτάτους Κελτῶν, καὶ τὴν τρίτην ἁπάσης τῆς Κελτικῆς νεμομένους, ἀφεστάναι, πολλὰς δή τινας μυριάδας ἐνόπλων ἀνδρῶν ἠθροικότας, ἐπιστρέψας εὐθὺς ἐχώρει τάχει πολλῷ· καὶ πορθοῦσι τοὺς συμμάχους Γαλάτας ἐπιπεσὼν τοῖς πολεμίοις, τοὺς μὲν ἀθρουστάτους καὶ πλείστους αἴσχρως ἀγωνισαμένους τρεψάμενος διέφθειρεν, ὥστε καὶ λίμνας καὶ ποταμοὺς βαθεῖς τοῖς Ῥωμαίοις νεκρῶν πλήθει περατοὺς γενέσθαι. τῶν δ' ἀποστάντων οἱ μὲν παρωκεάνιοι πάντες ἀμαχεὶ προσεχώρησαν. ἐπὶ δὲ τοὺς ἀγριωτάτους καὶ μαχιμωτάτους τῶν τῇδε, Νερβίους, ἐστράτευσεν, οἵπερ εἰς συμμιγεῖς δρυμοὺς [4] κατῳκημένοι, γενεὰς

1 Br. mavult δή.

2 Sic cum V. dari voluit Mos. Dus. deditque R. pro vulg. τοῖς πολιτῶν ὅπλ.

3 V. Βέλτας.

4 Quid sint συμμιγεῖς δρυμοὶ, Br. se non intelligere fatetur. Mavult συνηρεφεῖς, quippe qua voce Plut. ad eam rem fere

νεὰς δὲ καὶ κτήσεις ἔν τινι βυθῷ τῆς ὕλης ἀπωτάτω θέμενοι τῶν πολεμίων, αὐτοὶ τῷ Καίσαρι ποιȣμένῳ χάρακα, καὶ μὴ προσδεχομένῳ τηνικαῦτα τὴν μάχην, ἑξακισμύριοι τὸ πλῆθος ὄντες, αἰφνιδίως προσέπεσον· καὶ τȣ̀ς μὲν ἱππεῖς ἐτρέψαντο, τῶν δὲ ταγμάτων τὸ δωδέκατον καὶ τὸ ἕβδομον περισχόντες, ἅπαντας ἀπέκτειναν τȣ̀ς ταξιάρχȣς. εἰ δὲ μὴ Καῖσαρ ἁρπάσας τὸν θυρεὸν, καὶ διασχὼν τȣ̀ς πρὸ αὐτȣ̃ μαχομένȣς [1], ἐνέβαλε τοῖς βαρβάροις, καὶ ἀπὸ τῶν ἄκρων τὸ δέκατον [2] κινδυνεύοντος αὐτȣ̃ κατέδραμε, καὶ διέκοψε τὰς τάξεις τῶν πολεμίων, ȣ̓δεὶς ἂν δοκεῖ [3] περιγενέσθαι. νῦν δὲ τῇ Καίσαρος τόλμῃ [4] τὴν λεγομένην ὑπὲρ δύναμιν μάχην ἀγωνισάμενοι, τρέπονται μὲν ȣ̓δ᾽ ὥς τȣ̀ς Νερβίȣς, κατακόπτȣσι δ᾽ ἀμυνομένȣς. πεντακόσιοι γὰρ ἀπὸ μυριάδων ἓξ σωθῆναι λέγονται, βȣλευταὶ δὲ τρεῖς ἀπὸ τετρακοσίων.

XXI. Ταῦτα ἡ σύγκλητος πυθομένη, πεντεκαίδεκα ἡμέρας ἐψηφίσατο θύειν τοῖς θεοῖς, καὶ σχολάζειν ἑορτάζοντας, ὅσας ἐπ᾽ ȣ̓δεμιᾷ νίκῃ πρότερον. καὶ γὰρ ὁ κίνδυνος ἐφάνη μέγας, ἐθνῶν ἅμα τοσȣ́των ἀναῤῥαγέντων, καὶ τὸ νίκημα λαμπρότερον, ὅτι Καῖσαρ ἦν ὁ νικῶν, ἡ πρὸς ἐκεῖνον εὔνοια τῶν πολλῶν ἐποίει. καὶ γὰρ αὐτὸς εὖ θέμενος τὰ κατὰ τὴν Γαλατίαν, πάλιν ἐν τοῖς περὶ Πάδον χωρίοις διεχείμαζε, συσκευαζόμενος τὴν πόλιν. ȣ̓ γὰρ μόνον οἱ τὰς ἀρχὰς παραγγέλλοντες, ἐκείνῳ χρώμενοι χορηγῷ, καὶ τοῖς παρ᾽ ἐκείνȣ χρήμασι

fere uti soleat. R. *συμ. δρ.* explicat saltus densos, confertos arboribus omnis generis.

1 V. *πρὸ αὐτῶν.* Ms. Par. *μαχομένοις*, quod ad *βαρβάροις* refertur.

2 Sic Br. legi voluit, deditque R. pro vulg. *δωδέκατον.* Ita quoque diserte habet Caesar L. II. & Ms. Par. — Post *κινδυν. αὐ.* R. deesse censet aut *δέει*, aut *προνοȣ́μενοι*, aut tale quid.

3 Junt. Ald. Crat. *δοκῇ.*

4 R. judice, post h. v. deest *ἐπιῤῥωσθέντες*, aut tale quid.

μασι διαφθείραντες τὸν δῆμον, ἀνηγορεύοντο, καὶ πᾶν ἔπραττον, ὃ τὴν ἐκείνου δύναμιν αὔξειν ἔμελλεν, ἀλλὰ καὶ τῶν ἐπιφανεστάτων ἀνδρῶν καὶ μεγίστων οἱ πλεῖστοι συνῆλθον πρὸς αὐτὸν εἰς Λοῦκαν, Πομπήϊός τε καὶ [1] Κράσσος, καὶ Ἄππιος, ὁ τῆς Σαρδόνος [2] ἡγεμὼν, καὶ Νέπως, ὁ τῆς Ἰβηρίας ἀνθύπατος· ὥστε ῥαβδούχους μὲν [3] ἑκατὸν εἴκοσι γενέσθαι, συγκλητικοὺς δὲ πλείονας, ἢ διακοσίους. βουλὴν δὲ θέμενοι διεκρίθησαν. ἐπὶ τούτοις [4] ἔδει Πομπήϊον μὲν καὶ Κράσσον ὑπάτους ἀποδειχθῆναι, Καίσαρι δὲ χρήματα καὶ πενταετίαν ἄλλην ἐπιμετρηθῆναι τῆς στρατηγίας· ὃ καὶ παραλογώτατον ἐφαίνετο τοῖς νοῦν ἔχουσιν. οἱ γὰρ τοσαῦτα χρήματα παρὰ Καίσαρος λαμβάνοντες, ὡς οὐκ ἔχοντι διδόναι τὴν βουλὴν ἔπειθον, μᾶλλον δ' ἠνάγκαζον ἐπιστένουσαν οἷς ἐψηφίζοντο. Κάτωνος μὲν οὐ παρόντος· ἐπίτηδες γὰρ αὐτὸν εἰς Κύπρον ἀπεδιεπομπήσαντο· Φαωνίου δ', ὃς ἦν ζηλωτὴς Κάτωνος, ὡς οὐδὲν ἐπέραινεν ἀντιλέγων, ἐξαλλομένου διὰ θυρῶν, καὶ βοῶντος εἰς τὸ πλῆθος. ἀλλὰ προσεῖχεν οὐδεὶς, τῶν μὲν Πομπήϊον αἰδουμένων καὶ Κράσσον· οἱ δὲ πλεῖστοι, Καίσαρι χαριζόμενοι, καὶ πρὸς τὰς ἀπ' ἐκείνου ζῶντες ἐλπίδας ἡσύχαζον.

XXII. Τραπόμενος δ' αὖθις ὁ Καῖσαρ ἐπὶ τὰς ἐν τῇ Κελτικῇ δυνάμεις, πολὺν καταλαμβάνει πόλεμον ἐν τῇ χώρᾳ, δύο Γερμανικῶν ἐθνῶν μεγάλων ἐπὶ κατακτήσει γῆς ἄρτι τὸν Ῥῆνον διαβεβηκότων, Οὐσίπας [5] καλοῦσι

1 Hoc καὶ deest Junt.

2 V. Σαρδίνιος. R. videtur ibi fuisse Σαρδινίας.

3 R. deesse censet h. l. ἐκεῖ, aut περὶ αὐτὸν, aut ἐν ταυτῷ.

4 Mos. Dus. punctum post διεκρίθησαν vult tolli, & dari post τούτοις.

5 Sic dedit Br. pro vulg. οὓς ἴπας. Eandem jam exhibet lectionem Anon. — *Usipetes* Xyl. & Cruser. vertunt. Ms. Par. Εἴπας.

λῦσι τὰς ἑτέρας, τὰς δὲ Τεντερίδας [1]. περὶ δὲ τῆς πρὸς τούτους γενομένης μάχης ὁ μὲν Καῖσαρ ἐν ταῖς ἐφημερίσι [2] γέγραφεν, ὡς οἱ βάρβαροι διαπρεσβευόμενοι πρὸς αὐτὸν, ἐν σπονδαῖς [3] ἐπιθοῖντο καθ' ὁδὸν, καὶ διὰ τοῦτο τρέψαιντο τοὺς αὐτοῦ, πεντακισχιλίους ὄντας ἱππεῖς, ὀκτακοσίοις τοῖς ἐκείνων μὴ προσδοκῶντας· εἶτα πέμψειαν ἑτέρους πρὸς αὐτὸν αὖθις ἐξαπατῶντας, οὓς κατασχὼν ἐπαγάγοι [4] τοῖς βαρβάροις τὸ στράτευμα, τὴν πρὸς οὕτως ἀπίστους καὶ παρασπόνδους πίστιν εὐήθειαν ἡγούμενος. Γανύσιος [5] δὲ λέγει, Κάτωνα, τῆς βουλῆς ἐπὶ τῇ νίκῃ ψηφιζομένης ἑορτὰς καὶ θυσίας [6], ἀποφήνασθαι γνώμην, ὡς ἐκδοτέον ἐστὶ [7] τὸν Καίσαρα τοῖς βαρβάροις, ἀφοσιουμένους τὸ παρασπόνδημα ὑπὲρ τῆς πόλεως, καὶ τὴν ἀρὰν εἰς τὸν αἴτιον τρέποντας. τῶν δὲ διαβάντων αἱ μὲν κατακοπεῖσαι τεσσαράκοντα μυριάδες [8] ἦσαν· ὀλίγους δὲ τοὺς ἀποπεράσαντας αὖθις ὑπεδέξαντο Σούγαμβροι [9], Γερμανικὸν ἔθνος. καὶ ταύτην λαβὼν αἰτίαν πρὸς αὐτοὺς [10] ὁ Καῖσαρ, ἄλλως δὲ δόξης ἐφιέμενος

1 V. Τεντηρίδας; Anon. Τευχθηρίδας; Ms. Par. Τεντερίτας. Caesar *Tenchteros* vocat.

2 Hac voce *Commentarios* Caesaris hic designat Plutarchus. Culpatur a Rualdo, quod eos ἐφημερίδας appellet, quos ὑπομνήματα vel ἀπομνήματα appellare eum oportuerit.

3 Anon. ἐνσπόνδους, quod probat Mos. Duf.

4 Hanc vocem e Junt. R. restituit. Vulgo ex Ald. ἐπαγάγοιτο.

5 Anon. Κανύσιος, quod secutus est Cruserius, & probat Mos. Duf. V. Ταννύσιος.

6 Ante haec verba Ms. Par. καὶ σπονδὰς insuper addit.

7 V. ἐπὶ τὸν K.

8 Notante Xyl. Angelus χιλιάδες pro μυριάδες legisse videtur, cum vertat XL. non CD. millia. Vulgatam bene habere, ex Caesare constat.

9 Anon. Σίκαμβροι, quod Br. probat.

10 V. ἐπ' αὐτοὺς, quod melius censet Mos. Duf.

νος καὶ τοῦ πρῶτος ἀνθρώπων στρατῷ διαβῆναι [1] τὸν Ῥῆνον, ἐγεφύρου πλάτος τε πολὺν ὄντα, καὶ κατ' ἐκεῖνο τοῦ πόρου μάλιστα πλημμυροῦντα, καὶ τραχὺν καὶ ῥοώδη, καὶ τοῖς καταφερομένοις στελέχεσι καὶ ξύλοις πληγὰς καὶ σπαραγμοὺς ἐνδιδόντα [2] κατὰ τῶν ἐρειδόντων τὴν γέφυραν. ἀλλὰ ταῦτα προβόλοις ξύλων μεγάλων διὰ τοῦ πόρου καταπεπηγότων ἀναδεχόμενος, καὶ γαληνώσας [3] τὸ προσπίπτον ῥεῦμα τῷ ζεύγματι, πίστεως πάσης θέαμα κρεῖττον ἐπεδείξατο, τὴν γέφυραν ἡμέραις δέκα συντελεσθεῖσαν.

XXIII. Περαιώσας δὲ τὴν δύναμιν, οὐδενὸς ὑπαντιάσαι [4] τολμήσαντος, ἀλλὰ καὶ τῶν ἡγεμονικωτάτων τοῦ Γερμανικοῦ, Σουήβων, εἰς βαθεῖς καὶ ὑλώδεις αὐλῶνας ἀνασκευασαμένων, πυρπολήσας μὲν τὴν τῶν πολεμίων, θαῤῥύνας δὲ τοὺς ἀεὶ τὰ Ῥωμαίων ἀσπαζομένους, ἀνεχώρησεν αὖθις εἰς τὴν Γαλατίαν, εἴκοσι δυεῖν δεούσας ἡμέρας ἐν τῇ Γερμανικῇ διατετριφώς. ἡ δ' ἐπὶ τοὺς Βρετανοὺς στρατεία τὴν μὲν τόλμαν εἶχεν ὀνομαστήν. πρῶτος γὰρ εἰς τὸν ἑσπέριον Ὠκεανὸν ἐπέβη [5] στόλῳ, καὶ διὰ τῆς Ἀτλαντίδος θαλάττης, στρατὸν ἐπὶ πόλεμον κομίζων, ἔπλευσε· καὶ νῆσον, ἀπιστουμένην ὑπὸ μεγέθους, καὶ πολλὴν ἔριν παμπόλλοις συγγραφεῦσι παρασχοῦσαν, ὡς ὄνομα καὶ λόγος οὐ γενομένης, οὐδ' οὔσης, πέπλασται, κατασχεῖν ἐπιθέμενος, προήγαγεν [6] ἔξω τῆς οἰκουμένης τὴν Ῥωμαίων ἡγεμονίαν. δὶς δὲ διαπλεύσας εἰς τὴν νῆσον

1 Subaud. λέγεσθαι, vel δοκεῖν, quod in praemiſſo δόξης latere monet R.

2 V. ἐνδιδόντος. Moſ. Duſ. non probat vulgatam, ſed ab imperitis librariis pro ἐντείνοντα ſuppoſitam eſſe arbitratur. Ad ſeq. κατὰ τῶν e praemiſſis ſubaudiendum eſſe ξύλων monet R.

3 Placet Moſi Duſ. quod eſt in V. & Anon. χαλινώσας.

4 V. ὑπαντῆσαι.

5 R. mavult ἐνέβη.

6 Sic reponi voluit H. Steph. pro vulg. προσήπαγεν, deditque R.

νῆσον ἐκ τῆς ἀντιπέρας Γαλατίας, καὶ μάχαις πολλαῖς κακώσας τὰς πολεμίας μᾶλλον, ἢ τὰς ἰδίας ὠφελήσας, (ἐδὲν γὰρ, ὅ τι καὶ λαβεῖν [1] ἦν ἄξιον ἀπ' ἀνθρώπων κακοβίων καὶ πενήτων) ἐχ οἷον ἐβέλετο, τῷ πολέμῳ τέλος ἐπέθηκεν, ἀλλ' ὁμήρας λαβὼν παρὰ τᾶ βασιλέως, καὶ ταξάμενος φόρας, ἀπῆλθεν [2] ἐκ τῆς νήσα. καὶ καταλαμβάνει γράμματα μέλλοντα διαπλεῖν πρὸς αὐτὸν, ἀπὸ τῶν ἐν Ῥώμῃ φίλων, δηλᾶντα τὴν τῆς θυγατρὸς αὐτᾶ τελευτήν· ἐτελεύτα [3] δὲ τίκτασα παρὰ Πομπηΐῳ. καὶ μέγα μὲν αὐτὸν ἔσχε Πομπήϊον, μέγα δὲ καὶ [4] Καίσαρα πένθος· οἱ δὲ φίλοι συνεταράχθησαν, ὡς τῆς ἐν εἰρήνῃ καὶ ὁμονοίᾳ τἄλλα νοσᾶσαν τὴν πολιτείαν φυλασσάσης οἰκειότητος λελυμένης. καὶ γὰρ τὸ βρέφος εὐθὺς, ἐ πολλὰς ἡμέρας μετὰ τὴν μητέρα διαζῆσαν, ἐτελεύτησε. τὴν μὲν [5] Ἰαλίαν βίᾳ τῶν δημάρχων ἀράμενον τὸ πλῆθος εἰς τὸ Ἄρειον ἤνεγκε πεδίον, κἀκεῖ κηδευθεῖσα κεῖται.

XXIV. Τᾶ δὲ Καίσαρος μεγάλην ἤδη τὴν δύναμιν ἄσαν εἰς πολλὰ κατ' ἀνάγκην χειμάδια διελόντος, αὐτᾶ δὲ πρὸς τὴν Ἰταλίαν, ὥσπερ εἰώθει, τραπομένα, πάντα μὲν αὖθις ἀνεῤῥήγνυτο τὰ τῶν Γαλατῶν, καὶ στρατοὶ μεγάλοι περιϊόντες, ἐξέκοπτον τὰ χειμάδια, καὶ προσεμάχοντο τοῖς χαρακώμασι τοῖς Ῥωμαίων [6]. οἱ δὲ πλεῖστοι καὶ κράτιστοι τῶν ἀποστάντων [7] μετ' Ἀβριόρηγος



1 R. fufp. ἐδὲν γὰρ ἔλαβεν, ὅ τι καὶ λαβ. nihil enim cepit, quod operam capturae valuiſſet, ab hominibus pauperibus.
2 Br. ſcribi vult ἀπῆρεν, cum Ms. Par. V. & Anon. (In ind. var. datur ἀπήρεν.)
3 Sic R. de ſuo dedit pro vulg. τελευτᾷ.
4 καὶ addidit R. de ſuo.
5 V. τὴν μὲν ἂν Ἰαλ. Sic dari voluit Br.
6 V. τῶν Ῥωμ. quod Br. probavit.
7 V. ἀποστατῶν. Idem Ἀμβιόριγος, quod Br. dari voluit, pro Ἀβριόρ. (Sic eſt in ind. Br. & R. nota; in ind. Frft. tribuitur haec lectio Anonymo.)

γος Κότ]αν μὲν αὐτῷ ϛρατοπέδῳ καὶ Τιτέριον [1] διέφθειραν· τὸ δὲ ὑπὸ Κικέρωνι τάγμα μυριάσιν ἓξ περιχόντες ἐπολιόρκȣν, καὶ μικρὸν ἀπέλιπον ᾑρηκέναι κατὰ κράτος, συντετρωμένων ἁπάν]ων, καὶ παρὰ δύναμιν ὑπὸ προθυμίας ἀμυνομένων. ὡς δ' ἠγγέλη ταῦτα τῷ Καίσαρι μακρὰν ὄντι, ταχέως ἐπιϛρέψας καὶ συναγαγὼν ἑπ]ακιχιλίȣς τȣ̀ς σύμπαν]ας, ἠπείγετο τὸν Κικέρωνα τῆς πολιορκίας ἐξαιρησόμενος. τȣ̀ς δὲ πολιορκȣ̃ν]ας ȣ̓κ ἔλαθεν, ἀλλ' ἀπήντων ὡς ἀναρπασόμενοι, τῆς ὀλιγότητος καταφρονήσαν]ες. κἀκεῖνος ἐξαπατῶν ὑπέφευγεν ἀεὶ, καὶ χωρία λαβὼν ἐπιτηδείως ἔχον]α πρὸς πολλȣ̀ς μαχομένῳ μετ' ὀλίγων, φράγνυται ϛρατόπεδον· καὶ μάχης ἔσχε τȣ̀ς ἑαυτȣ̃ πάσης, ἀναγαγεῖν δὲ τὸν χάρακα καὶ τας πύλας ἀνοικοδομεῖν, ὡς δεδοικότας, ἠνάγκαζε, καταφρονηθῆναι ϛρατηγῶν. μέχρις ȣ̃ σποράδην ὑπὸ θράσȣς βάλλον]ας [2] ἐπεξελθὼν ἐτρέψατο, καὶ πολλȣ̀ς αὐτῶν διέφθειρε.

XXV. Τȣ̃το τὰς πολλὰς ἀποϛάσεις τῶν ἐνταῦθα Γαλατῶν κατεϛόρεσε, καὶ τȣ̃ χειμῶνος αὐτὸς, ἐπιφοιτῶν τε παν]αχόσε, καὶ προσέχων ὀξέως τοῖς νεωτερισμοῖς. καὶ γὰρ ἧκεν ἐξ Ἰταλίας ἀντὶ τῶν ἀπολωλότων αὐτῷ τρία τάγματα, Πομπηΐȣ μὲν ἐκ τῶν ὑφ' αὐτῷ δύο χρήσαντος, ἓν δὲ νεοσύλλεκ]ον ἐκ τῆς περὶ Πάδον Γαλατίας. πόῤῥω δὲ τȣ́των αἱ πάλαι καταβεβλημέναι κρύφα καὶ νεμόμεναι διὰ τῶν δυνατωτάτων ἀνδρῶν ἐν τοῖς μαχιμωτάτοις γένεσιν ἀρχαὶ τȣ̃ μεγίϛȣ καὶ κινδυνωδεϛάτȣ τῶν ἐκεῖ πολέμων ἀνεφαίνον]ο, ῥωσθεῖσαι [3] πολλῇ μὲν ἡλικίᾳ, καὶ πανταχόθεν ὅπλοις ἀθροισθεῖσι, μεγάλοις δὲ πλȣ́τοις εἰς ταὐτὸ συνενεχθεῖσιν,

1 Sic Br. cum Anon. dari voluit, & dedit R. pro vulg. Τηγύριον. Idem jam dederunt Guarin. Xyl. Cruser.

2 V. & Anon. προσβάλλοντας, quod voluit Br. Paulo ante Junt. sola μέχρι ȣ̃ν pro μέχρις ȣ̃.

3 V. ἀθεῖσαι.

σιν, ἰσχυραῖς δὲ πόλεσι, δυσεμβόλοις δὲ χώραις. τότε δὲ χειμῶνος ὥρᾳ, πάγοι [1] ποταμῶν, καὶ νιφετοῖς ἀποκεκρυμμένοι δρυμοὶ, καὶ πεδία χειμάῤῥοις ἐπιλελιμνασμένα, καὶ πῆ μὲν ἀτέκμαρτοι βάθει χιόνος ἀτραποὶ, πῆ δὲ δι' ἑλῶν καὶ ῥευμάτων παρατρεπομένων ἀσάφεια πολλὴ [2] τῆς πορείας· παντάπασιν ἐδόκουν ἀνεπιχείρητα Καίσαρι τὰ τῶν ἀφισαμένων ποιεῖν. ἀφειστήκει μὲν οὖν πολλὰ φῦλα, πρόσχημα δ' ἦσαν Ἀρβέννοι καὶ Καρνουτῖνοι. τὸ δὲ σύμπαν αἱρεθεὶς κράτος εἶχε τοῦ πολέμου Οὐεργεντόριξ, οὗ τὸν πατέρα Γαλάται, τυραννίδα δοκοῦντα πράττειν, ἀπέκτειναν.

XXVI. Οὗτος οὖν εἰς πολλὰ διελὼν τὴν δύναμιν μέρη, καὶ πολλοὺς ἐπιστήσας ἡγεμόνας, ᾠκειοῦτο τὴν πέριξ [3] ἅπασαν ἄχρι τῶν πρὸς τὸν Ἀδρίαν [4] κεκλιμένων· διανοούμενος ἤδη τῶν ἐν Ῥώμῃ συνισταμένων ἐπὶ Καίσαρα, σύμπασαν ἐγείρειν τῷ πολέμῳ Γαλατίαν. ὅπερ εἰ μικρὸν ὕστερον ἔπραξε, Καίσαρος εἰς τὸν ἐμφύλιον ἐμπεσόντος πόλεμον, οὐκ ἂν ἐλαφρότεροι τῶν Κιμβρικῶν ἐκείνων φόβοι τὴν Ἰταλίαν κατέσχον. νυνὶ δ' ὁ πᾶσι μὲν ἄριστα χρῆσθαι δοκῶν [5] τοῖς πρὸς πόλεμον, μάλιστα δὲ καιρῷ πεφυκὼς Καῖσαρ, ἅμα τῷ πυθέσθαι τὴν ἀπόστασιν, ἄρας ἐχώρει· ταῖς αὐταῖς ὁδοῖς [6], ἃς διῆλ-



1 Sic Mos. Dus. scribi voluit, deditque R. pro vulg. πάγοις.

2 Sic Br. legi voluit, deditque R. pro vulg. ἀσαφείᾳ πολλῇ.

3 Iunt. τὰ πέριξ.

4 Xyl. non probat hanc lectionem, cum ne Galliam quidem omnem Vercingetorigis concusserit rebellio, nedum usque ad sinum Adriaticum iste motus pervaserit. Cum in Var. lect. e V. & Anon. enotetur Ἀνδρίαν, Ἄραριν, Br. & Mos. Dus. cum Xyl. malunt Ἄραριν, quod in Dacerii nota Ἄραρα datur.

5 R. mavult δοκῶν abesse, cum alterutrum certe redundet, aut hoc, aut seq. πεφυκώς. Ad hoc idem partic. monet Mos. Dus. καιρῷ non pertinere, sed regi a χρῆσθαι.

6 R. monente, idem est pro Graecitate seculi Plutarchei posteriorumque, atque ταῖς αὐταῖς ὁδαῖς, *per illa ipsa, quae per-*

διῆλθε, καὶ βίᾳ καὶ τάχει τῆς πορείας διὰ τοσούτου χειμῶνος [1], ἐπιδειξάμενος τοῖς βαρβάροις, ὡς ἄμαχος αὐτοῖς καὶ ἀήττητος ἔπεισι στρατός. ὅπου γὰρ ἄγγελον, ἢ γραμματοφόρον, διαδῦναι παρ' αὐτοῦ χρόνῳ πολλῷ ἦν ἄπιστον, ἐνταῦθα μετὰ πάσης ἑωρᾶτο τῆς στρατιᾶς, ἅμα χώρας [2] λυμαινόμενος αὐτῶν καὶ ἐκκόπτων τὰ χωρία, καταστρεφόμενος πόλεις, ἀναλαμβάνων τοὺς μετατιθεμένους· μέχρι καὶ τὸ τῶν Ἐδούων [3] ἔθνος ἐξεπολεμώθη πρὸς αὐτὸν, οἳ τὸν ἄλλον χρόνον ἀδελφοὺς ἀναγορεύσαντες αὐτοὺς Ῥωμαίων, καὶ τιμώμενοι διαπρεπῶς, τότε δὲ τοῖς ἀποστάταις προσγενόμενοι, πολλὴν τῇ Καίσαρος στρατιᾷ περιέστησαν [4] ἀθυμίαν. διόπερ καὶ κινήσας ἐκεῖθεν [5], ὑπερέβαλλε τὰ Λιγγονικὰ, βουλόμενος ἅψασθαι τῆς Σικουανῶν [6], φίλων ὄντων καὶ προκειμένων τῆς Ἰταλίας πρὸς τὴν ἄλλην Γαλατίαν. ἐνταῦθα δ' αὐτῷ τῶν πολεμίων ἐπιπεσόντων, καὶ περισχόντων μυριάσι πολλαῖς, ὁρμήσας διαγωνίσασθαι, τοῖς μὲν ὅλοις [7] καταπολεμῶν

ἐκρά-

*peragravit itinera*, & cohaeret hic dativus, unacum inſequentibus cum ἐπιδειξάμενος — *planum faciebat Caeſar barbaris per illa tot tantaque viarum intervalia, taedia, horroresque viarum, a ſe feliciter ſuperata.* Vulgo hae voces cum ἐχώρει junguntur, & poſt διῆλθε datur punctum. Equidem neſcio, annon vulgata bene habeat, praeſertim ſi ad διῆλθε ſubintelligas, vel potius addas ἔναγχος νικήσας.

1 Pro hac voce in Junt. eſt τάχους. R. quaerit, num voluerit πάγου, aut παγετοῦ, *gelu?*

2 R. docente, χώρα eſt, quidquid eſt ſub dio, ager, *das platte Land*; χωρία ſunt villae in agris, *die Dörfer auf dem platten Lande.*

3 Anon. Αἰδούων.

4 V. ἐνεποίησεν.

5 ab illis Gallis populis, in quorum debellatione verſatus adhuc fuerat: Arverni puta & Carnutes. R. Sequens ὑπερέβαλλε cum Junt. R. dedit. Vulgo ſecundum Ald. ὑπερέβαλε.

6 V. Σηκουανῶν; quod probat Br.

7 Sic R. de ſuo dedit pro vulg. τοῖς μὲν ἄλλοις. V. τῶν μὲν ἄλλων. Dacer. legendum cenſuit τοῖς Γερμανοῖς, quia in

eo

ἐκράτησε, χρόνῳ πολλῷ καὶ φόνῳ [1] καταβιασάμενος τοὺς βαρβάρους· ἔδοξε δὲ κατ' ἀρχάς τι καὶ σφαλῆναι, καὶ δεικνύουσιν Ἀρουβηνοὶ [2] ξιφίδιον πρὸς ἱερῷ κρεμάμενον, ὡς δὴ Καίσαρος λάφυρον. ὃ θεασάμενος αὐτὸς ὕστερον, ἐμειδίασε, καὶ τῶν φίλων καθελεῖν κελευόντων, οὐκ εἴασεν, ἱερὸν ἡγούμενος.

XXVII. Οὐ μὴν ἀλλὰ τότε τῶν διαφυγόντων οἱ πλεῖστοι μετὰ τοῦ βασιλέως εἰς πόλιν Ἀλησίαν διέφυγον [3], καὶ πολιορκοῦντι ταύτην Καίσαρι, δοκοῦσαν ἀνάλωτον εἶναι μεγέθει τε τειχῶν καὶ πλήθει τῶν ἀπομαχομένων, ἐπιπίπτει παντὸς λόγου μείζων κίνδυνος ἔξωθεν. ὃ γὰρ ἦν ἐν Γαλατίᾳ κράτιστον ἀπὸ τῶν ἐθνῶν ἀθροισθὲν, ἐν ὅπλοις [4] ἧκον ἐπὶ τὴν Ἀλησίαν, τριάκοντα μυριάδες· αἱ δ' ἐν αὐτῇ τῶν μαχομένων οὐκ ἐλάττονες ἦσαν ἑπτακαίδεκα μυριάδων. ὥστε ἐν μέσῳ πολέμου τοσούτου τὸν Καίσαρα κατειλημμένον καὶ πολιορκούμενον ἀναγκασθῆναι διττὰ τείχη προβαλέσθαι, τὸ μὲν πρὸς τὴν πόλιν, τὸ δ' ἀπὸ τῶν ἐπεληλυθότων, ὡς, εἰ συνέλθοιεν αἱ δυνάμεις, κομιδῇ διαπεπραγμένων τῶν καθ' αὐτόν. διὰ πολλὰ μὲν οὖν εἰκότως ὁ πρὸς Ἀλησίᾳ κίνδυνος ἔσχε δόξαν, ὡς ἔργα τόλμης καὶ δεινότητος, οἷα τῶν ἄλλων ἀγώνων οὐδεὶς, παρασχόμενος· μάλιστα δ' ἄν τις θαυμάσειε τὸ λαθεῖν τοὺς ἐν τῇ πόλει Καίσαρα τοσαύταις μυ-



eo proelio *Germani a dextro latere summum jugum nacti, hostes loco depulisse* in Caes. Comment. L. VII. dicuntur, quod Caesaris victoriae initium fuit. Mos. Dus. aliquid aliud subesse suspicatus est, & excidisse verba aliquot, deque summa totius expeditionis administratione sermonem esse. Equidem ob insequens κατ' ἀρχὰς, necesse ferè duco, ut in priori legatur τὸ μὲν τελευταῖον vel tale quid.

1 Sic R. de suo dedit pro vulg. φόβῳ.

2 Anon. Ἀρουέρνοι, quod Br. probat. V. Ἀρουανοί.

3 V. συνέφυγον.

4 Praepos. ἐν cum Anon. addi voluit Mos. Dus. deditque R. Vulgo abest.

μυριάσι ταῖς ἔξω συμβαλόντα καὶ περιγενόμενον· μᾶλλον δὲ καὶ τῶν Ῥωμαίων τὰς τὸ πρὸς τῇ πόλει [1] τεῖχος φυλάττοντας. οὐ γὰρ πρότερον ᾔσθοντο τὴν νίκην, ἢ κλαυθμὸν ἐκ τῆς Ἀλησίας ἀνδρῶν καὶ κοπετὸν γυναικῶν ἀκουσθῆναι, θεασαμένων ἄρα κατὰ θάτερα μέρη πολλοὺς μὲν ἀργύρῳ καὶ χρυσῷ κεκοσμημένους θυρεοὺς, πολλοὺς δ᾽ αἵματι πεφυρμένους θώρακας, ἔτι δ᾽ ἐκπώματα καὶ σκηνὰς Γαλατικὰς ὑπὸ Ῥωμαίων εἰς τὸ στρατόπεδον κομιζομένας. οὕτως ὀξέως ἡ τοσαύτη δύναμις, ὥσπερ εἴδωλον, ἢ ὄνειρον, ἠφάνιστο [2] καὶ διεπεφόρητο, τῶν πλείστων ἐν τῇ μάχῃ πεσόντων. οἱ δὲ τὴν Ἀλησίαν ἔχοντες, οὐκ ὀλίγα πράγματα παρασχόντες ἑαυτοῖς καὶ Καίσαρι, τέλος παρέδοσαν ἑαυτούς. ὁ δὲ τοῦ σύμπαντος ἡγεμὼν πολέμου, Οὐεργεντόριξ, ἀναλαβὼν τῶν ὅπλων τὰ κάλλιστα, καὶ κοσμήσας τὸν ἵππον, ἐξιππάσατο διὰ τῶν πυλῶν· καὶ κύκλῳ περὶ τὸν Καίσαρα καθεζόμενον ἐλάσας, εἶτ᾽ ἀφαλόμενος [3] τοῦ ἵππου, τὴν μὲν πανοπλίαν ἀπέῤῥιψεν, αὐτὸς δὲ καθίσας ὑπὸ πόδας τοῦ Καίσαρος ἡσυχίαν ἦγεν, ἄχρις οὗ παρεδόθη φρουρησόμενος [4] ἐπὶ τὸν θρίαμβον.

XXVIII. Καίσαρι δὲ πάλαι μὲν ἐδέδοκτο καταλύειν Πομπήϊον, ὥσπερ ἀμέλει κἀκείνῳ τοῦτον. Κράσσου γὰρ ἐν Πάρθοις ἀπολωλότος, ὃς ἦν ἔφεδρος ἀμφοῖν, ἀπελείπετο τῷ μὲν, ὑπὲρ τοῦ γενέσθαι μεγίστῳ, τὸν ὄντα καταλύειν, τῷ δ᾽, ἵνα μὴ πάθῃ τοῦτο, προαναιρεῖν, ὃν ἐδεδοίκει. τοῦτο δὲ Πομπηΐῳ μὲν ἐξ ὀλίγου [5] φοβεῖσθαι

1 V. τὴν πόλιν.

2 V. ἠφάνισται.

3 Sic R. de suo dedit pro vulg. ἀφελόμενος — *cum desiliisset equo.* V. & Anon. ἀφαλλόμενος, quod jam Dacer. probavit.

4 Junt. Ald. Crat. φρουρούμενος. Steph. φρουρησόμ.

5 Cruser. minus recte vertit: *id Pompejo, qui Caesarem despiciebat, parum tunc visum timendum.* Melius Xyl. — *Pom-*

βεῖθαι παρέςη, τέως ὑπερορῶντι Καίσαρος, ὡς ἐ χαλεπὸν ἔργον, ὃν [1] αὐτὸς ηὔξησε, καταλυθῆναι πάλιν ὑπ' αὐτȣ̃· Καῖσαρ δ' [2], ἀπ' ἀρχῆς ὑπόθεσιν ταύτην πεποιημένȣς ἀπὸ τῶν ἀνταγωνιςῶν [3], ὥσπερ ἀθλητὴς, ἑαυτὸν ἀποςήσας μακρὰν, καὶ τοῖς Κελτικοῖς ἐγγυμνασάμενος πολέμοις, ἐπήσκησε μὲν τὴν δύναμιν, ηὔξησε δὲ τὴν δόξαν ἀπὸ τῶν ἔργων, εἰς ἀντίπαλον ἀρθεὶς τοῖς Πομπηΐȣ κατορθώμασι, λαμβάνων προφάσεις, τὰς μὲν αὐτȣ̃ Πομπηΐȣ, τὰς δὲ τῶν καιρῶν ἐνδιδόντων, καὶ τῆς ἐν Ῥώμῃ κακοπολιτείας, δι' ἣν οἱ μὲν ἀρχὰς μετιόντες, ἐν μέσῳ θέμενοι τραπέζας, ἐδέκαζον ἀναισχύντως τὰ πλήθη, κατῄει δ' ὁ δῆμος ἔμμισθος, ἐ ψήφοις ὑπὲρ τȣ̃ δεδωκότος, ἀλλὰ τόξοις καὶ ξίφεσι καὶ σφενδόναις ἁμιλλώμενος. αἵματι δὲ καὶ νεκροῖς πολλάκις αἰσχύναντες τὸ βῆμα διεκρίθησαν, ἐν ἀναρχίᾳ τὴν πόλιν, ὥσπερ ἀκυβέρνητον [4] ὑποφερομένην, ἀπολιπόντες· ὥςε τȣ̀ς νȣ̃ν ἔχοντας ἀγαπᾷν, εἰ πρὸς μηδὲν αὐτοῖς χεῖρον, ἀλλὰ μοναρχίαν, ἐκ τοιαύτης παραφροσύνης καὶ τοσȣ́τȣ κλύδωνος ἐκπεσεῖται τὰ πράγματα. πολλοὶ δ' ἦσαν οἱ καὶ λέγειν ἐν μέσῳ τολμῶντες ἤδη, πλὴν ὑπὸ μοναρχίας ἀνήκεςον εἶναι τὴν πολιτείαν, καὶ τὸ φάρμακον τȣ̃το χρῆναι τȣ̃ πρᾳοτάτȣ τῶν ἰατρῶν ἀνασχέσθαι προσφέροντος· ὑποδηλȣ̃ντες τὸν Πομπήϊον. ἐπεὶ δὲ κἀκεῖνος, λόγῳ παραιτεῖσθαι καλλωπιζόμενος, ἔργῳ παντὸς μᾶλλον ἐπέραινεν ἐξ ὧν ἀναδειχθήσοιτο δικτάτωρ, συμφρονήσαντες οἱ περὶ Κάτωνα, πείθȣσι τὴν γερȣσίαν



*Pompejus quidem* NVPER *sibi a Caesare timere coeperat, quem hactenus neglexerat.*

1 Post ἔργον Mos. Dus. ὃν excidisse suspicatur, facili librariorum lapsu, qui aliud ὂν videbant.

2 V. Καίσαρι δὲ. Idem paulo post ποιȣ́μενος pro πεποιημένος.

3 Sic R. dedit de suo. Vulgo ἐπὶ τῶν ἀντ. — V. & Anon. ἐπὶ τὸν ἀνταγωνιςὴν, quod Mos. Dus. probavit.

4 R. susp. ὥσπερ ναῦν ἀκυβέρνητον.

ϱεσίαν ὕπατον αὐτὸν ἀποδεῖξαι μόνον, ὡς μὴ βιάσαιτο δικἰάτωρ γενέϑαι, νομιμωτέρᾳ μοναρχίᾳ παρηγορηϑείς. οἱ δὲ καὶ χρόνον ἐψηφίσαντο τῶν ἐπαρχιῶν. δύο δ᾽ εἶχεν, Ἰβηρίαν καὶ Λιβύην σύμπασαν, ἃς διῴκει πρεσβευτὰς ἀποςέλλων, καὶ ςρατεύματα τρέφων, οἷς ἐλάμβανεν ἐκ τȣ̃ δημοσίȣ ταμείȣ χίλια τάλαντα καθ᾽ ἕκαςον ἐνιαυτόν.

XXIX. Ἐκ τȣ́τȣ Καῖσαρ ὑπατείαν ἐμνᾶτο πέμπων, καὶ χρόνον ὁμοίως τῶν ἰδίων ἐπαρχιῶν. τὸ μὲν ȣ̃ν πρῶτον Πομπηΐȣ σιωπῶντος, οἱ περὶ Μάρκελλον καὶ Λέντλον ἠναντιȣ̃ντο, μισȣ̃ντες ἄλλως Καίσαρα, καὶ τοῖς ἀναγκαίοις ȣ̓κ ἀναγκαῖα προστιϑέντες εἰς ἀτιμίαν αὐτȣ̃ καὶ προπηλακισμόν. Νεοκωμίτας γὰρ ἔναγχος ὑπὸ Καίσαρος ἐν Γαλατίᾳ κατῳκισμένȣς ἀφῃρȣ̃ντο τῆς πολιτείας· καὶ Μάρκελλος ὑπατεύων, ἕνα τῶν ἐκεῖ βȣλευτῶν, εἰς Ῥώμην ἀφικόμενον, ᾔκισε [1] ῥάβδοις, ἐπιλέγων, ὡς ταῦτα τȣ̃ μὴ Ῥωμαῖον εἶναι παράσημα προστίϑησιν αὐτῷ, καὶ δεικνύειν ἀπιόντα Καίσαρι ἐκέλευε. μετὰ δὲ Μάρκελλον, ἤδη Καίσαρος τὸν Γαλατικὸν πλȣ̃τον ἀρύεϑαι ῥύδην ἀφεικότος πᾶσι τοῖς πολιτευομένοις, καὶ Κȣρίωνα μὲν δημαρχȣ̃ντα πολλῶν ἐλευϑερώσαντος δανείων, Παύλῳ δὲ, ὑπάτῳ ὄντι, χίλια καὶ πεντακόσια τάλαντα δόντος, ἀφ᾽ ὧν καὶ τὴν βασιλικὴν ἐκεῖνος, ὀνομαςὸν ἀνάϑημα, τῇ ἀγορᾷ προσεκόλλησεν [2], ἀντὶ τῆς Φȣλβίας οἰκοδομηϑεῖσαν· ȣ̔́τω δὴ φοβηϑεὶς τὴν σύςασιν ὁ Πομπήϊος, ἀναφανδὸν ἤδη δι᾽ ἑαυτȣ̃ καὶ τῶν φίλων ἔπραττεν ἀποδειχϑῆναι διάδοχον Καίσαρι τῆς ἀρχῆς· καὶ πέμπων ἀπῄτει τȣ̀ς ςρατιώτας, ȣ̔̀ς ἔχρησεν αὐτῷ πρὸς τȣ̀ς Κελτικȣ̀ς ἀγῶνας. ὁ δ᾽ ἀποπέμπει, δωρησάμενος ἕκαςον ἄνδρα πεντήκοντα καὶ διακοσίαις

1 Iunt. sola ἥκιςα. Ald. correxit.

2 Sic R. de suo dedit pro vulg. προσεκόμισεν, *quasi agglutinavit*. Anon. προσῳκοδόμησεν, quod Dacer. probavit. Mos. Dus. susp. προσεκόσμησεν.

σίαις δραχμαῖς· οἱ δὲ τῦτυς Πομπηΐῳ κομίσαντες, εἰς μὲν τὸ πλῆθος ὐκ ἐπιεικεῖς, ὐδὲ χρηςὐς κατέσπειραν λόγυς [1] ὑπὲρ τῦ Καίσαρος, αὐτὸν δὲ Πομπήϊον ἐλπίσι κεναῖς διέφθειραν [2], ὡς ποθύμενον ὑπὸ τῆς Καίσαρος ςρατιᾶς, καὶ τὰ μὲν ἐνταῦθα διὰ φθόνον καὶ πολιτείας ὑπύλυς [3] μόλις ἔχοντα, τῆς δ' ἐκεῖ δυνάμεως ἑτοίμης ὑπαρχύσης αὐτῷ, κἂν μόνον ὑπερβάλωσιν εἰς Ἰταλίαν, εὐθὺς ἐσομένης πρὸς ἐκεῖνον· ὕτω γεγονέναι τὸν Καίσαρα πλήθει ςρατειῶν λυπηρὸν αὐτοῖς, καὶ φόβῳ μοναρχίας ὕποπτον. ἐπὶ τύτοις Πομπήϊος ἐχαυνῦτο, καὶ παρασκευῆς μὲν ἠμέλει ςρατιωτῶν, ὡς μὴ δεδοικὼς, λόγοις δὲ καὶ γνώμαις κατεπολιτεύετο, [τῷ δοκεῖν [4],] Καίσαρα, ψηφιζόμενος [5]. ὧν ἐκεῖνος ὐδὲν ἐφρόντιζεν· ἀλλὰ λέγεται, τινὰ τῶν ἀφιγμένων παρ' αὐτῦ ταξιαρχῶν, ἑςῶτα πρὸ τῦ βυλευτηρίυ, καὶ πυθόμενον, ὡς ὐ δίδωσιν ἡ γερυσία Καίσαρι χρόνον [6] τῆς ἀρχῆς· Ἀλλ' αὕτη, φάναι, δώσει· κρύσαντα τῇ χειρὶ τὴν λαβὴν τῆς μαχαίρας.

XXX. Οὐ μὴν ἀλλ' ἥ γε παρὰ [7] Καίσαρος ἀξίωσις τὸ πρόσχημα τῆς δικαιολογίας λαμπρὸν εἶχεν. ἠξίυ γὰρ αὐτός τε καταθέσθαι τὰ ὅπλα, καὶ Πομπηΐυ ταὐτὸ πρά-

1 R. sententia haec esse videtur: *Qui centuriones hos milites ad Pompejum reduxissent, in plebem quidem rumores clam disseminabant Caesari secundos, Pompejo autem, & reipublicae adversos, & auditu insuaves, atroces, minaces, tristiumque eventuum praenuncios: ad ipsum autem Pompejum contraria his omnia renunciabant.*

2 V. διέφθειρεν.

3 Aut sic cum Anon. dandum censuit Mos. Dus. pro vulg. ὑπύλυ, aut φθόνυ pro φθόνον. Prius dedit R. qui simul monet, seq. ἔχοντα, si bene habeat, esse pro κατέχοντα.

4 *Specie tenus*, non re, *vincebat Caesarem, iis ferendis rogationibus, quas Caesar contemnebat.* R.

5 V. & Anon. καταψηφιζόμενος.

6 R. susp. πλείω χρόνον.

7 V. περὶ K.

πράξαντος, ἀμφοτέρȣς ἰδιώτας γενομένȣς εὑρίσκεσθαί τι παρὰ τῶν πολιτῶν ἀγαθόν· ὡς τȣ̀ς αὐτὸν μὲν ἀφαιρȣμένȣς, ἐκείνῳ δ' ἣν εἶχε βεβαιȣ̃ντας δύναμιν, ἕτερον διαβάλλοντας [1], ἕτερον κατασκευάζειν τύραννον. ταῦτα προκαλȣ́μενος ἐν τῷ δήμῳ Κȣρίων ὑπὲρ Καίσαρος, ἐκροτεῖτο λαμπρῶς· οἱ δὲ καὶ ςεφάνȣς ἐπ' αὐτὸν, ὥσπερ ἀθλητὴν, ἀνθοβολȣ̃ντες ἠφίεσαν. Ἀντώνιος δὲ δημαρχῶν Καίσαρος ὑπὲρ τȣ́των ἐπιςολὴν κομισθεῖσαν εἰς τὸ πλῆθος ἐξήνεγκε, καὶ ἀνέγνω βίᾳ [2] τῶν ὑπάτων. ἐν δὲ τῇ βȣλῇ Σκιπίων μὲν, ὁ Πομπηΐȣ πενθερὸς, εἰσηγήσατο γνώμην, ἂν ἐν ἡμέρᾳ ῥητῇ μὴ κατάθηται τὰ ὅπλα Καῖσαρ, ἀποδειχθῆναι πολέμιον αὐτόν. ἐρωτώντων δὲ τῶν ὑπάτων, εἰ δοκεῖ Πομπήϊον ἀφεῖναι τȣ̀ς ςρατιώτας, καὶ πάλιν, εἰ δοκεῖ Καίσαρα, τῇ μὲν ὀλίγοι παντάπασι, τῇ δὲ πάντες παρ' ὀλίγȣς προσέθεντο. τῶν δὲ περὶ Ἀντώνιον πάλιν ἀξιȣ́ντων ἀμφοτέρȣς τὴν ἀρχὴν ἀφεῖναι, πάντες ὁμαλῶς προσεχώρησαν. ἀλλ' ἐκβιαζομένȣ Σκιπίωνος, καὶ Λέντλȣ τȣ̃ ὑπάτȣ βοῶντος, ὅπλων δεῖν πρὸς ἄνδρα λῃςὴν, ȣ̓ ψήφων, τότε μὲν διελύθησαν, καὶ μετεβάλλοντο τὰς ἐσθῆτας ἐπὶ πένθει διὰ τὴν ςάσιν [3].

XXXI. Ἐπεὶ δὲ [4] παρὰ Καίσαρος ἧκον ἐπιςολαὶ μετριάζειν δοκȣ̃ντος, (ἠξίȣ γὰρ ἀφεὶς τἄλλα πάντα, τὴν ἐντὸς Ἄλπεων, καὶ τὸ Ἰλλυρικὸν μετὰ δυεῖν ταγμάτων αὐτῷ δοθῆναι, μέχρις ȣ̃ τὴν δευτέραν ὑπατείαν μέτεισι) καὶ Κικέρων ὁ ῥήτωρ, ἄρτι παρὼν ἐκ Κιλικίας καὶ

διαλ-

1 R. mavult *καταβαλόντας*, *altero dejecto, pessumdato.*

2 Sic jam Xyl. legi voluit, & exhibetur in V. & Anon. pro vulg. διὰ τ. ὑπ. R. dedit.

3 V. ἐπὶ μὲν πένθει διὰ τὴν σύςασιν.

4 Observandum quoque hoc loco esse usum particulae ἐπεὶ, in Plutarcho hic ibi obvium, monet H. Steph. At R. docet, apodosin sententiae a principio hujus capitis coeptae paulo infra a verbis ὁ δὲ τἄλλα — incipere, ubi δὲ mera sit iteratio, elegantiae genus, illius δὲ, quod ab initio legatur.

διαλλαγὰς πράττων, ἐμάλαττε τὸν Πομπήϊον· ὁ δὲ τἄλλα συγχωρῶν, τὰς στρατιώτας ἀφῄρει. καὶ Κικέρων μὲν ἔπειθε τὰς Καίσαρος φίλας συνενδόντας ἐπὶ ταῖς εἰρημέναις ἐπαρχίαις, καὶ στρατιώταις μόνοις ἑξακισχιλίοις ποιεῖσθαι τὰς διαλύσεις. Πομπηΐε δὲ καμπτομένε καὶ διδόντος [1], οἱ περὶ Λέντλον ἐκ εἴων ὑπατεύοντες, ἀλλὰ καὶ τῆς βελῆς Ἀντώνιον καὶ Κερίωνα [2] προπηλακίσαντες, ἐξήλασαν ἀτίμως, τὴν εὐπρεπεστάτην Καίσαρι τῶν προφάσεων αὐτοὶ μηχανησάμενοι, καὶ δι' ἧς μάλιστα τὰς στρατιώτας παρώξυνεν, ἐπιδεικνύμενος ἄνδρας ἐλλογίμες καὶ ἄρχοντας ἐπὶ μισθίων ζευγῶν πεφευγότας ἐν ἐσθῆσιν οἰκετικαῖς. ὅτω γὰρ ἀπὸ Ῥώμης σκευάσαντες ἑαυτὰς διὰ φόβον ὑπεξῄεσαν.

XXXII. Ἦσαν μὲν ἂν περὶ αὐτὸν ἐ πλείες ἱππέων τριακοσίων καὶ πεντακισχιλίων ὁπλιτῶν· τὸ γὰρ ἄλλο στράτευμα πέραν Ἄλπεων ἀπολελειμμένον ἔμελλον ἄξειν οἱ πεμφθέντες. ὁρῶν δὲ τὴν ἀρχὴν ὧν ἐνίστατο πραγμάτων καὶ τὴν ἔφοδον ἐ πολυχειρίας δεομένην ἐν τῷ παρόντι μᾶλλον, ἢ [3] θάμβει τε τόλμης καὶ τάχει καιρε καταληπτέαν ἔσαν, (ἐκπλήξειν γὰρ ἀπιστέμενος ῥᾷον, ἢ βιάσεσθαι [4] μετὰ παρασκευῆς ἐπελθὼν) τὰς μὲν ἡγεμόνας καὶ ταξιάρχες ἐκέλευσε, μαχαίρας ἔχοντας ἄνευ τῶν ἄλλων ὅπλων, καταχεῖν Ἀρίμινον, τῆς Κελτικῆς μεγάλην πόλιν [5]; ὡς ἐνδέχεται μάλιστα φεισαμένος

1 Auon. ἐνδιδόντος.

2 Prave hic dici *Curionem* pro *Q. Cassio*, monent Br. & Mos. Dus. Cf. Jul. Caes. L. I. de b. civ. ab init. & Plut. in Anton.

3 Pro μᾶλλον ἢ, quod vulgo conjunctim datur, R. autem per comma distinxit, Mos. Dus. maluit μᾶλλον δέ. E V. ad seq. enotatur θαυμάζει τόλμαν.

4 Junt. Ald. Crat. βιάσασθαι; Steph. βιάσεσθαι.

5 Ariminum non Celticae, sed Italiae ad Galliam cisalpinam proximae, oppidum fuisse, adnotat R. ex infra (fine hujus capitis) sequentibus, ubi, trajecto Rubicone, Caesar dicitur

νους [1] φόνου καὶ ταραχῆς. Ὁρτησίῳ δὲ τὴν δύναμιν παρέδωκεν. αὐτὸς δὲ τὴν μὲν ἡμέραν διῆγεν ἐν φανερῷ, μονομάχοις ἐφεστὼς γυμναζομένοις καὶ θεώμενος. μικρὸν δὲ πρὸ ἑσπέρας θεραπεύσας τὸ σῶμα, καὶ παρελθὼν εἰς τὸν ἀνδρῶνα, καὶ συγγενόμενος βραχέα τοῖς κεκλημένοις [2] ἐπὶ τὸ δεῖπνον, ἤδη συσκοτάζοντος ἐξανέστη, καὶ [3] τοὺς μὲν ἄλλους φιλοφρονηθεὶς, καὶ κελεύσας περιμένειν αὐτὸν ὡς ἐπανελευσόμενον· ὀλίγοις δὲ τῶν φίλων προείρητο, μὴ κατὰ τὸ αὐτὸ πάντας, ἄλλον δ' ἄλλῃ διώκειν. αὐτὸς δὲ τῶν μισθίων ζευγῶν ἐπιβὰς [4] ἑνὸς, ἤλαυνεν ἑτέραν τινὰ πρῶτον ὁδὸν, εἶτα πρὸς τὸ Ἀρίμινον ἐπιστρέψας, ὡς ἦλθεν ἐπὶ τὸν ὁρίζοντα [5] τὴν ἐντὸς Ἄλπεων Γαλατίαν ἀπὸ τῆς ἄλλης Ἰταλίας ποταμὸν, (Ῥουβίκων καλεῖται) καὶ λογισμὸς αὐτὸν εἰσῄει μᾶλλον ἐγγίζοντα τῷ δεινῷ, καὶ περιφερόμενον [6] τῷ μεγέθει τῶν τολμωμένων, ἔσχε τὸν δρόμον [7]. καὶ τὴν πορείαν ἐπιστήσας, πολλὰ μὲν αὐτὸς ἐν ἑαυτῷ διήνεγκε, σιγῇ τὴν γνώμην ἐπ' ἀμφότερα μεταλαμβάνων [8], καὶ τροπὰς ἔσχεν αὐτῷ τότε τὸ βούλευμα πλείστας· πολλὰ δὲ καὶ τῶν φίλων τοῖς παροῦσιν, ὧν ἦν καὶ Πολλίων Ἀσίνιος, συνδιηπόρησεν [9], ἀναλογιζόμενος, ἡλίκων κακῶν ἄρξει πᾶσιν ἀνθρώποις ἡ διάβασις, ὅσον

τε

citur Ariminum occupasse. An forte addendum videtur τῆς Κελτ. ἐγγύτατα κειμένην μεγ. πόλιν?

1 Iunt. sola φεισάμενος.

2 V. παρακεκλημένοις.

3 R. monet, aut καὶ redundare, aut versu proximo pone ἐπανελευσόμενον deesse ἐξῄει.

4 Plutarchum ἐπιβῆναι cum genitivo usurpare, quod alibi cum dativo aut accusativo occurrat, R. adnotat.

5 V. & Anon. διορίζοντα, quod Mosi Dus. placet. Pro ἦλθεν, quod praecessit, V. ἦλθον, Var. ind. Frst.

6 R. quaerit, num συμπεριφερόμενον?

7 Sic R. de suo dedit pro vulg. ἔσχετο δρόμου.

8 V. μεταλαγχάνων.

9 V. συνηπόρησεν.

τε λόγον αὐτῆς [1] τοῖς αὖθις ἀπολείψουσι. τέλος δὲ μετὰ θυμοῦ τινος, ὥσπερ ἀφεὶς ἑαυτὸν ἐκ τοῦ λογισμοῦ πρὸς τὸ μέλλον, καὶ τοῦτο δὴ τὸ κοινὸν τοῖς εἰς τύχας ἐμβαίνουσιν ἀπόρους καὶ τόλμας προοίμιον ὑπειπών, Ἀνεῤῥίφθω κύβος· ὥρμησε πρὸς τὴν διάβασιν· καὶ δρόμῳ τὸ λοιπὸν ἤδη χρώμενος, εἰσέπεσε πρὸ ἡμέρας εἰς τὸ Ἀρίμινον, καὶ κατέσχε. λέγεται δὲ τῇ προτέρᾳ νυκτὶ τῆς διαβάσεως ὄναρ ἰδεῖν ἔκθεσμον· ἐδόκει γὰρ αὐτὸς τῇ ἑαυτοῦ μητρὶ μίγνυσθαι τὴν ἄῤῥητον μίξιν.

XXXIII. Ἐπεὶ δὲ κατελήφθη τὸ Ἀρίμινον, ὥσπερ ἀνεῳγμένου τοῦ πολέμου πλατείαις πύλαις ἐπὶ πᾶσαν ὁμοῦ τὴν γῆν καὶ θάλασσαν, καὶ συγκεχυμένων ἅμα τοῖς ὅροις τῆς ἐπαρχίας τῶν νόμων τῆς πόλεως, οὐκ ἄνδρας ἄν τις ᾠήθη καὶ γυναῖκας, ὥσπερ ἄλλοτε, σὺν ἐκπλήξει διαφοιτᾶν τῆς Ἰταλίας, ἀλλὰ τὰς πόλεις αὐτὰς ἀνισταμένας, φυγῇ διαφέρεσθαι δι' ἀλλήλων· τὴν δὲ Ῥώμην, ὥσπερ ὑπὸ ῥευμάτων πιμπλαμένην, φυγαῖς τῶν πέριξ δήμων καὶ μεταστάσεσιν, οὔτ' ἄρχοντι πεῖσαι ῥᾳδίαν οὖσαν, οὔτε λόγῳ καθεκτὴν, ἐν πολλῷ κλύδωνι καὶ σάλῳ, μικρὸν ἀπολιπεῖν [2] αὐτὴν ὑφ' αὐτῆς ἀνατετράφθαι. πάθη γὰρ ἀντίπαλα, καὶ βίαια κατεῖχε κινήματα πάντα τόπον. οὔτε γὰρ τὸ χαῖρον ἡσυχίαν ἦγεν, ἀλλὰ τῷ δεδοικότι καὶ λυπουμένῳ κατὰ πολλὰ συμπίπτον ἐν μεγάλῃ πόλει, καὶ θρασυνόμενον ὑπὲρ τοῦ μέλλοντος, δι' ἐρίδων ἦν. αὐτόν τε Πομπήϊον ἐκπεπληγμένον ἄλλος ἀλλαχόθεν ἐτάραττε, τοῖς μὲν, ὡς ηὔξησε Καίσαρα καθ' ἑαυτοῦ καὶ τῆς ἡγεμονίας, εὐθύνας ὑπέχοντα, τῶν δ', ὅτι παραχωροῦντα καὶ προτεινόμενον εὐγνώ-

1 R. mavult abesse αὐτῆς, & suspicatur ex eo natum esse, quod aliis in libris legeretur λόγοι αὖτις ἀπολείψουσι, in aliis λόγον τοῖς αὖθις ἀπολ. eadem utrinque existente sententia. V. pro αὖθ. exhibet ἄλλοις.

2 R. monet, ad ἀπολ. addendum, aut saltim subaudiendum esse τοῦ.

γνώμονας διαλύσεις ἀΦῆκαν [1] τοῖς περὶ Λέντλον ὑβρίσαι, κατηγορȣ̃ντα. Φȣάνιος δ' αὐτὸν ἐκέλευσε τῷ ποδὶ [2] τύπτειν τὴν γῆν· ἐπεὶ μεγαληγορῶν ποτε πρὸς τὴν σύγκλητον, ȣ̓δὲν εἴα πολυπραγμονεῖν, ȣ̓δὲ Φροντίζειν ἐκείνȣς τῆς ἐπὶ τὸν πόλεμον παρασκευῆς· αὐτὸς γὰρ, ὅταν ἀπίῃ [3], κρȣ́σας τὸ ἔδαΦος τῷ ποδὶ, ςρατευμάτων ἐμπλήσειν τὴν 'Ιταλίαν. ȣ̓ μὴν ἀλλὰ καὶ τότε πλήθει δυνάμεως ὑπερέβαλεν ὁ Πομπήϊος τὴν Καίσαρος· εἴασε δ' ȣ̓δεὶς τὸν ἄνδρα χρήσασθαι τοῖς ἑαυτȣ̃ λογισμοῖς, ἀλλ' ὑπ' ἀγγελμάτων πολλῶν καὶ ψευδῶν καὶ Φόβων, ὡς ἐΦεςῶτος ἤδη τȣ̃ πολεμίȣ [4], καὶ πάντα κατέχοντος, εἴξας καὶ συνεκκρȣσθεὶς τῇ πάντων Φορᾷ, ἐψηΦίζετο [5] ταραχὴν ὁρᾶν, καὶ τὴν πόλιν ἐξέλιπε, κελεύ-

1 Sic R. dedit de suo, uti & sequens κατηγορȣ̃ντα pro vulg. ἀΦῆκε & κατηγορȣ̃ντας — *Pompejum alii atque alii hinc illinc vexabant & exagitabant, partim rationem torporis & patientiae reddentem exigentibus, qui Caesarem in semetipsum & in rempublicam tantopere auxisset & exaggerasset, partim eos e contrario incusantem, qui Lentulum sissent eas contumelias adspergere Caesari, quamvis concedenti & conditiones pacis aequas offerenti.* Pro κατηγορ. Mos. Dus. cum V. & Anon. dari voluit κατηγορȣ́ντων, uti & cum Anon. τῶν μὲν, pro τοῖς μὲν, quod praecessit. Hanc lectionem sequitur Schirach. Pro παραχωρȣ̃ντα V. παρείκοντα, & pro εὐγνώμονας idem εὐγνωμόνως.

2 Junt. sola ἐν τῷ ποδί.

3 V. & Anon. ἐπίῃ, quod Mos. Dus. probat, Caesaremque intelligendum esse monet. R. autem susp. ὅποι, vel ὅποι ἂν ἀπίῃ — *quoquo tandem Italiae sese vertat, quamcunque in partem Italiae proficiscatur.* In ind. var. Frst. e V. alia lectio, ad h. l. spectans exhibetur, qua post praecedens γὰρ adjicitur αὐτόν.

4 V. e Junt. πολέμȣ.

5 Vulgo secundum Ald. ita legitur εἴξαι συνεκρȣ́σθη τῇ πάντων Φορᾷ καὶ ψηΦίζεται. Junt. cum Ms. Par. καὶ συνεκκρȣσθεὶς τῇ π. Φ. ψηΦίζεται. Priora recepit R. & pro ψηΦίζεται dedit ἐψηΦίζετο, omissa copula. Moses Dus. maluit συνεξενίχθη pro συνεκρ

λεύτας ἕπεσθαι τὴν γερουσίαν, καὶ μηδένα μένειν τῶν πρὸ τῆς τυραννίδος ᾑρημένων τὴν πατρίδα καὶ τὴν ἐλευθερίαν.

XXXIV. Οἱ μὲν οὖν ὕπατοι μηδ' ἃ νόμος ἐστὶ πρὸ ἐξόδου θύσαντες ἔφυγον· ἔφευγον δὲ καὶ τῶν βουλευτῶν οἱ πλεῖστοι, τρόπον τινὰ δι' ἁρπαγῆς ἀπὸ τῶν ἰδίων, ὅ τι τύχοιεν, ὥσπερ ἀλλοτρίων, λαμβάνοντες. εἰσὶ δ', οἳ καὶ σφόδρα τὰ Καίσαρος ᾑρημένοι πρότερον, ἐξέπεσον ὑπὸ θάμβους τότε τῶν λογισμῶν, καὶ συμπαρηνέχθησαν, οὐδὲν δεόμενοι, τῷ ῥεύματι τῆς φορᾶς ἐκείνης. οἰκτρότατον δὲ θέαμα τῆς πόλεως ἦν, ἐπιφερομένου τοσούτου χειμῶνος, ὥσπερ νεὼς ὑπὸ κυβερνητῶν ἀπαγορευόντων πρὸς τὸ συντυχὸν ἐκπεσεῖν [1] κομιζομένης. ἀλλὰ καίπερ οὕτω τῆς μεταστάσεως οἰκτρᾶς οὔσης, τὴν μὲν φυγὴν οἱ ἄνθρωποι πατρίδα διὰ Πομπήϊον ἡγοῦντο, τὴν δὲ Ῥώμην, ὡς Καίσαρος στρατόπεδον, ἐξέλιπον. ὅπου καὶ Λαβιηνὸς, ἀνὴρ ἐν τοῖς μάλιστα φίλος Καίσαρος, καὶ πρεσβευτὴς γεγονὼς, καὶ συνηγωνισμένος ἐν πᾶσι προθυμότατα τοῖς Κελτικοῖς πολέμοις, τότ' ἐκεῖνον ἀποδρὰς, ᾤχετο [2] πρὸς Πομπήϊον. ἀλλὰ τούτῳ μὲν καὶ τὰ χρήματα καὶ τὰς ἀποσκευὰς ἀπέπεμψεν ὁ Καῖσαρ. Δομιτίῳ δ' ἡγουμένῳ σπειρῶν τριάκοντα, καὶ κατέχοντι Κορφίνιον, ἐπελθὼν παρεστρατοπέδευσεν. ὁ δ' ἀπογνοὺς τὰ καθ' ἑαυτὸν, ᾔτησε τὸν ἰατρὸν οἰκέτην ὄντα φάρμακον· καὶ λαβὼν τὸ δοθὲν, ἔπιεν ὡς τεθνη-

συνεκρ. cum fere hoc verbum cum φορᾷ jungi soleat. Cf. cap. seq. συμπαρηνέχθησαν . . . τῆς φορᾶς.

1 Hanc vocem e Junt. se revocasse monet R. pro vulg. ἐμπεσεῖν. (Sic Steph. dedit. Etiam Ald. & Crat. habent ἐκπεσεῖν) Idem pro κομιζ. mavult ἐωμένης — *quam urbem gubernatores, tam foeda ingruente procella, sinerent, fessi & succumbentes malis, veluti navem, efferri & incurrere in fortunam quamque temere occurrentem.*

2 V. ἀφίκετο.

τεθνηξόμενος. μετ' ὀλίγον δ' ἀκέσας, τὸν [1] Καίσαρα θαυμαστῇ τινι φιλανθρωπίᾳ χρῆσθαι πρὸς τὲς ἑαλωκότας, αὐτὸς αὐτὸν ἀπεθρήνει, καὶ τὴν ὀξύτητα τῦ βελεύματος ᾐτιᾶτο. τῦ δ' ἰατρῦ θαῤῥύνοντος αὐτὸν, ὡς ὑπνωτικὸν, ἐ θανάσιμον, πεπωκότα, περιχαρὴς, ἀναςὰς ἀπῄει πρὸς Καίσαρα, καὶ λαβὼν δεξιὰν, αὖθις διεξέπεσε [2] πρὸ Πομπήϊον. Ταῦτ' εἰς τὴν 'Ρώμην ἀπαγγελλόμενα τὲ ἀνθρώπες ἡδίες ἐποίει, καί τινες φυγόντες ἀνέςρεψαν [3].

XXXV. 'Ο δὲ Καῖσαρ τήν τε τῦ Δομιτίε ςρατιὰν παρέλαβε, καὶ τὲς ἄλλες, ὅσες [4] ἐν ταῖς πόλεσι Πομπηΐῳ ςρατολογεμένες ἔφθασε καταλαβών. πολὺς δὲ γεγονὼς ἤδη καὶ φοβερὸς ἐπ αὐτὸν ἤλαυνε Πομπήϊον. ὁ δ' ἐκ ἐδέξατο τὴν ἔφοδον, ἀλλ' εἰς Βρεντήσιον φυγὼν, τὲς μὲν ὑπάτες πρότερον ἔςειλε μετὰ δυνάμεως εἰς Δυῤῥάχιον, αὐτὸς δ' ὀλίγον ὕςερον ἐπελθόντος Καίσαρος ἐξέπλευσεν, ὡς ἐν τοῖς περὶ ἐκείνε γραφησομένοις τὰ καθ' ἕκαςα δηλωθήσεται. Καίσαρι δὲ βελομένῳ μὲν εὐθὺς διώκειν ἀπορία νεῶν ἦν. εἰς δὲ τὴν 'Ρώμην ἀνέςρεψε, γεγονὼς ἐν ἡμέραις ἑξήκοντα πάσης ἀναιμωτὶ τῆς 'Ιταλίας κύριος. ἐπεὶ δὲ καὶ τὴν πόλιν εὗρε μᾶλλον, ἢ προσεδόκα, καθεςῶσαν, καὶ τῶν ἀπὸ βελῆς ἐν αὐτῇ συχνὲς, τέτοις μὲν ἐπιεικῆ καὶ δημοτικὰ διελέχθη, παρακαλῶν αὐτὲς καὶ πρὸς Πομπήϊον ἀποςέλλειν ἄνδρας ἐπὶ συμβάσεσι πρεπέσαις· ὑπήκεσε δ' ἐδεὶς, εἴτε φοβέμενοι Πομπήϊον ἐγκαταλελειμμένον, εἴτε νομίζοντες, ἐχ ἕτω Καίσαρα φρονεῖν, ἀλλ' εὐπρεπεία

1 Sic ex omnibus Bryanea prioribus edd. reſtituendum cenſui. R. vitioſa Bryaneae editionis lectione ἀκέσας τε Καίσ. male, meo ſenſu, inductus, dedit ἀκέσας τε, enclitice, pro τινὸς, ut ſit, *cum accepiſſet a neſcio quo.*

2 Anon. διεξέπεμψε.

3 V. ἐπέςρεψαν.

4 V. ὅσαις.

πεῖρα λόγων χρῆσθαι. τοῦ δὲ δημάρχου, Μετέλλου, κωλύοντος αὐτὸν ἐκ τῶν ἀποθέτων χρήματα λαμβάνειν, καὶ νόμους τινὰς προφέροντος, οὐκ ἔφη τὸν αὐτὸν ὅπλων καὶ νόμων καιρὸν εἶναι· σὺ δ' εἰ τοῖς πραττομένοις δυσκολαίνεις, νῦν μὲν ἐκποδὼν ἄπιθι· παῤῥησίας γὰρ οὐ δεῖται πόλεμος. ὅταν δὲ καταθῶμαι τὰ ὅπλα, συμβάσεων γενομένων, τότε παριὼν δημαγωγήσεις. καὶ ταῦτα, ἔφη, λέγω [1] τῶν ἐμαυτοῦ δικαίων ὑφιέμενος. ἐμὸς γὰρ εἶ σὺ, καὶ πάντες, ὅσους εἴληφα τῶν πρὸς ἐμὲ στασιασάντων. Ταῦτα πρὸς τὸν Μέτελλον εἰπὼν, ἐβάδιζε πρὸς τὰς θύρας τοῦ ταμιείου [2]. μὴ φαινομένων δὲ τῶν κλειδῶν, χαλκεῖς μεταπεμψάμενος, ἐκκόπτειν ἐκέλευεν· αὖθις δ' ἐνισταμένου τοῦ Μετέλλου, καί τινων ἐπαινούντων, διατεινόμενος [3] ἠπείλησεν ἀποκτενεῖν αὐτὸν, εἰ μὴ παύσαιτο παρενοχλῶν. καὶ τοῦτο, ἔφη, μειράκιον, οὐκ ἀγνοεῖς, ὅτι μοι δυσκολώτερον ἦν εἰπεῖν, ἢ πρᾶξαι. οὗτος ὁ λόγος τότε καὶ Μέτελλον ἀπελθεῖν ἐποίησε καταδείσαντα, καὶ τἄλλα ῥᾳδίως αὐτῷ καὶ ταχέως ὑπηρετεῖσθαι πρὸς τὸν πόλεμον.

XXXVI. Ἐστράτευε δ' εἰς Ἰβηρίαν, πρότερον ἐγνωκὼς τοὺς περὶ Ἀφράνιον καὶ Βάρωνα Πομπηΐου πρεσβευτὰς ἐκβαλεῖν, καὶ τὰς ἐκεῖ δυνάμεις καὶ τὰς ἐπαρχίας ὑφ' αὑτῷ ποιησάμενος, οὕτως ἐπὶ Πομπήϊον ἐλαύνειν, μηδένα κατὰ νώτου τῶν πολεμίων ὑπολιπόμενος [4]. κινδυνεύσας δὲ καὶ σώματι πολλάκις κατ' ἐνέδρας, καὶ τῷ στρατῷ μάλιστα διὰ λιμὸν, οὐκ ἀνῆκε πρότερον διώκων καὶ προκαλούμενος καὶ περιταφρεύων τοὺς ἄνδρας, ἢ κύ-

 ριον

1 Junt. Ald. Crat. λέγων; uti & paulo post vitiose στασιάντων.

2 Sic ex Junt. se revocasse monet R. pro vulg. ταμείου. Ita est in Text. quam Br. sequitur. Reliquae omnes ταμιείου.

3 V. διατεινάμενος, ἀνατεινάμενος.

4 Sic R. de suo dedit pro vulg. ὑπολειπ.

ριον βίᾳ γενέσθαι τῶν στρατοπέδων, καὶ τῶν δυνάμεων. οἱ δ' ἡγεμόνες ᾤχοντο πρὸς Πομπήϊον φεύγοντες.

XXXVII. Ἐπανελθόντα δ' εἰς Ῥώμην Καίσαρα Πείσων μὲν ὁ πενθερὸς παρεκάλει πρὸς Πομπήϊον ἀποστέλλειν ἄνδρας ὑπὲρ διαλύσεως, Ἰσαυρικὸς δὲ Καίσαρι χαριζόμενος ἀντεῖπεν. αἱρεθεὶς δὲ δικτάτωρ ὑπὸ τῆς βουλῆς, φυγάδας τε κατήγαγε, καὶ τῶν ἐπὶ Σύλλα δυστυχησάντων τοὺς παῖδας ἐπιτίμους ἐποίησε, καὶ σεισαχθείᾳ τινὶ τόκων ἐκούφιζε τοὺς χρεωφειλέτας· ἄλλων τε τοιούτων ἥψατο πολιτευμάτων, οὐ πολλῶν [1]. ἀλλ' ἐν ἡμέραις ἕνδεκα τὴν μὲν μοναρχίαν ἀπειπάμενος, ὕπατον δ' ἀναδείξας ἑαυτὸν καὶ Σερουΐλιον Ἰσαυρικὸν, εἴχετο τῆς στρατείας. καὶ τὰς μὲν ἄλλας δυνάμεις καθ' ὁδὸν ἐπειγόμενος παρῆλθεν, ἱππεῖς δ' ἔχων λογάδας ἑξακοσίους, καὶ πέντε τάγματα, χειμῶνος ἐν τροπαῖς ὄντος, ἱσταμένου Ἰανουαρίου μηνὸς, (οὗτος δ' ἂν εἴη Ποσειδεὼν Ἀθηναίοις) ἀφῆκεν εἰς τὸ πέλαγος· καὶ διαβαλὼν τὸν Ἰόνιον, Ὤρικον [2] καὶ Ἀπολλωνίαν αἱρεῖ, τὰ δὲ πλοῖα πάλιν ἀπέπεμψεν εἰς Βρεντήσιον ἐπὶ τοὺς ὑστερίσαντας τῇ πορείᾳ στρατιώτας. οἱ δ' ἄχρι μὲν καθ' ὁδὸν ἦσαν, ἅτε δὴ καὶ παρηκμακότες ἤδη τοῖς σώμασι, καὶ πρὸς τὰ πλήθη τῶν πολεμίων [3] ἀπειρηκότες, ἐν αἰτίαις εἶχον,

1 Nonne aliquid addendum videtur, ut plenior prodeat sententia, ex. gr. οὐ πολλῶν, ἀλλ' εἰς τὸ τοὺς πολλοὺς δημαγωγῆσαι ἐπιτηδείων, ἐν ἡμ. —

2 Sic est in Br. pro lectione omnium (non, ut R. voluit, quarundam) priorum edd. Νώρικον, absque ulla correctionis nota. Secutus tamen esse videtur Xylandrum, qui jam hoc mendum notarat, uti & V. & Anon. ex quibus in ind. var. Frft. enotatum est Ὠρικόν.

3 Anon. πολέμων, quod Br. & Mos. Duf. probant, & sic quoque Xyl. & Angl. interpr. vertisse, Cruserio & Dacerio vulgatam secutis, adnotant. Xyl. πολέμων legi vult. R. susp. πρὸς τὰ πλεῖστα τῶν πολεμικῶν — *& fessi artubus, ut pleraque munia castrensia jam obire, atque fungi amplius nequirent*

χον τὸν Καίσαρα· Πῆ δὴ, καὶ πρὸς τί πέρας, ὁ ἀνὴρ καταχθήσεται [1], περιφέρων καὶ χρώμενος ὥσπερ ἀτρύτοις καὶ εὐψύχοις ἡμῖν; καὶ σίδηρος ἐξέκαμε πληγαῖς [2], καὶ θυρεȣ̃ τις ἐςὶ φειδὼ [3] ἐν χρόνῳ τοσȣ́τῳ καὶ θώ-

 ρακος.

*rent* — his subjunctis: „Τὰ πολεμικὰ sunt munia militaria, „ut aggerem, vallum facere, itinera longa & cita conficere, „arma in itineribus ferre, excubias agere. Paene alii nulli „rei jam erant isti habiles, praeterquam pugnae, qua aut ci„ta mors venit, aut victoria laeta. Vel etiam legi possit Τὰ „ἀήθη τῶν πολεμικῶν, *insueta munium bellicorum*; — aut „πρὸς τὰ παρήθη τῶν πολεμικῶν, eadem sententia. Qui πο„λέμων legi suadent, hi non recogitarunt, non eam, quam „ipsi opinantur, ex hac lectione sententiam exsistere, scil. *a „multitudine bellorum ab ipsis exantlatorum fracti & de„bilitati*, sed hanc: *jam impares gerendis multis bellis facti.* „Cui sententiae quam parum cum ratione h. l. conveniat, fa„cile est cernere.“ Cum hoc loco conferenda esse monet R. ea, quae sequuntur cap. 40.

1 Sic R. de suo dedit pro vulg. καταθήσεται, deleto ἡμᾶς, quod secundum Steph. vulgo ante ὁ ἀνὴρ legitur, nec in Junt. Ald. & Crat. extat: — *ecquo tandem, & quem in finem deferetur hic vir* — περιφέρων, *secum circumvectans*, subaud. ἡμᾶς, *nos*. Ms. Par. pro πῆ, habet ποῖ, post ἀνὴρ inferit ȣ̃τος, & pro ἀτρύτοις dat ἀτρώτοις. Br. pro vulg. καταθησ. suspicari voluit καταςήσεται, aliis tamen locis, in quibus apud Plut. κατατίθεσθαι pari relatione occurrat, ad vulgatam revocatus. R. denique de suo dedit εὐψύχοις pro vulg. ἀψύχοις. Caeterum Schirach sensum Reiskianae lectionis in recepto vocabulo καταχθ. expressisse putat, sic vertens: wohin, sagten sie, und zu welchem Endzwecke *wird uns der Mann noch herumführen?* — In seq. εὐψ. rejicit, & vulgatam transfert: — Hält er uns denn für leblose unverwüstbare Metalle?

2 Xyl. adnotat, Angelum pro σίδηρος legisse videri ὁ μηρὸς, femur, nullum autem fore sensum: indicari a Plutarcho, suis corporibus a Caesare non parci, cum quidem ferrum etiam & arma adsiduo usu consumantur, laedantur, & nedum corpora hominum eos illaesa labores sustineant.

3 Junt. Ald. Crat. φειδῶς.

ρακος. οὐδ' ἀπὸ τῶν τραυμάτων [1] ἄρα λογίζεται Καῖσαρ, ὅτι θνητῶν μὲν ἄρχει, θνητὰ δὲ πεφύκαμεν πάσχειν καὶ ἀλγεῖν [2]; ὥραν δὲ χειμῶνος καὶ πνεύματος ἐν θαλάττῃ καιρὸν οὐδὲ θεῷ βιάζεσθαι δυνατόν· ἀλλ' οὗτος παραβάλλεται, καθάπερ οὐ διώκων πολεμίους, ἀλλὰ φεύγων. Τοιαῦτα λέγοντες ἐπορεύοντο σχολαίως εἰς τὸ Βρεντήσιον. ὡς δ' ἐλθόντες εὗρον ἀνηγμένον τὸν Καίσαρα, ταχὺ πάλιν αὖ μεταβαλόντες, ἐκάκιζον ἑαυτοὺς, προδότας ἀποκαλοῦντες τοῦ αὐτοκράτορος. ἐκάκιζον δὲ καὶ τοὺς ἡγεμόνας οὐκ ἐπιταχύναντας τὴν πορείαν. καθήμενοι δ' ἐπὶ τῶν ἄκρων, πρὸς τὸ πέλαγος καὶ τὴν Ἤπειρον ἀπεσκόπουν, τάς τε [3] ναῦς, ἐφ' ὧν ἔμελλον περαιοῦσθαι πρὸς ἐκεῖνον.

XXXVIII. Ἐν δ' Ἀπολλωνίᾳ Καῖσαρ, οὐκ ἔχων ἀξιόμαχον τὴν μεθ' ἑαυτοῦ δύναμιν, βραδυνούσης δὲ τῆς ἐκεῖθεν, ἀπορούμενος καὶ περιπαθῶν, δεινὸν ἐβούλευσε βούλευμα, κρύφα πάντων εἰς πλοῖον ἐμβὰς, τὸ μέγεθος δωδεκάσκαλμον, ἀναχθῆναι πρὸς τὸ Βρεντήσιον, τηλικούτοις στόλοις περιεχομένου τοῦ πελάγους ὑπὸ τῶν πολεμίων. νυκτὸς οὖν ἐσθῆτι θεράποντος ἐπικρυψάμενος ἀνέβη, καὶ καταβαλὼν ἑαυτὸν, ὥς τινα τῶν παρημελημένων,

1 *non recogitavit Caeſar, vulnera noſtra cernens*, ſubaudiendo τῶν ἡμετέρων. R. Se neſcire tamen fatetur idem, annon ſententia paulo ſit exitura concinnior, ſi legatur ἀπὸ τῶν αὑτοῦ τραυμάτων — *non reputat Caeſar, neque colligit e vulneribus, quae ipſe in bellis accepit.*

2 θνητὰ πάσχειν & θνητὰ ἀλγεῖν, R. docente, eſt ea pati, quae natura mortalis affert mala, eosque dolores atque cruciatus ſentire, quibus natura mortalis eſt obnoxia.

3 R. addidit τε de ſuo, quod vulgo deeſt. Hac particula non admiſſa, ſententiam poſtulare cenſet πρὸς τὸ πέλ. καὶ τὴν Ἤπ. ἀποσκοποῦντες ἐκαραδόκουν τὰς ναῦς. In Br. paulo ante datum fuit vitioſe μεταλαβόντες pro μεταβαλ. & ἤπειρον pro Ἤπ.

νων [1], ἡσύχαζε. τȣ͂ δὲ Ἀνίȣ [2] ποταμȣ͂ τὴν ναῦν ὑποφέροντος εἰς τὴν θάλασσαν, τὴν μὲν ἑωθινὴν αὖραν, ἣ παρεῖχε τηνικαῦτα περὶ τὰς ἐκβολὰς γαλήνην, ἀπωθȣ͂σα πόῤῥω τὸ κῦμα, πολὺς πνεύσας [3] πελάγιος διὰ νυκτὸς ἀπέσβεσε· πρὸς δὲ τὴν πλημμύραν τῆς θαλάσσης καὶ τὴν ἀντίβασιν τȣ͂ κλύδωνος ἀγριαίνων ὁ ποταμὸς, καὶ τραχὺς ἅμα καὶ κτύπῳ μεγάλῳ καὶ σκληραῖς ἀνακοπτόμενος δίναις, ἄπορος ἦν βιασθῆναι τῷ κυβερνήτῃ· καὶ μεταβαλεῖν ἐκέλευσε τȣ̀ς ναύτας, ὡς ἀποστρέψων [4] τὸν πλȣ͂ν. αἰσθόμενος δ' ὁ Καῖσαρ ἀναδείκνυσιν ἑαυτὸν, καὶ τȣ͂ κυβερνήτȣ λαβόμενος τῆς χειρὸς, ἐκπεπληγμένȣ πρὸς τὴν ὄψιν· Ἴθι, ἔφη, γενναῖε, τόλμα καὶ δέδιθι μηδέν· Καίσαρα φέρεις, καὶ τὴν Καίσαρος τύχην συμπλέȣσαν. ἐλάθοντο [5] τȣ͂ χειμῶνος οἱ ναῦται, καὶ ταῖς κώπαις ἐμφύντες, ἐβιάζοντο πάσῃ προθυμίᾳ τὸν ποταμόν. ὡς δ' ἦν ἄπορα, δεξάμενος πολλὴν θάλατταν, καὶ κινδυνεύσας ἐν τῷ στόματι, συνεχώρησε μάλ' ἄκων τῷ κυβερνήτῃ μεταβαλεῖν. ἀνιόντι δ' αὐτῷ κατὰ πλῆθος ἀπήντων οἱ στρατιῶται, πολλὰ μεμφόμενοι καὶ δυσπαθȣ͂ντες, εἰ μὴ πέπεισαι καὶ σὺν αὐτοῖς μόνοις ἱκανὸς εἶναι νικᾶν, ἀλλ' ἄχθεται

Cc 4 καὶ

1 R. sententia melius sic convenire videtur: καταβαλὼν ἑαυτὸν εἰς μυχόν τινα τῶν παρημελ. *cum se abjecisset in latebram quandam contemtam.* Junt. καταλαβὼν pro καταβαλ.

2 Strabo L. VII. appellat Ἄωον, qui & ab Hecataeo Αἴαντα dici monet.

3 Sic cum V. Anon. & Ms. Par. dari voluit Br. & dedit R. pro vulg. πλεύσας. In seq. pro πέλαγιος V. & Anon. πέλαγος. De toto hoc loco videndum esse Appianum, R. monet, suspicaturque antea legendum ἀπωθȣ͂σαν, & post πέλαγ. deesse ὁ ζέφυρος, Zephyrus, qui e mari Adriatico magna cum vehementia versus Epirum tota nocte flasset vel spirasset.

4 V. ἀποτρέψων.

5 Hiulcam esse orationem, monet Br. & Mos. Duf. & excidisse suspicantur ȣ͂ν aut γȣ͂ν post hanc vocem. R. conjicit ταῦτ' ἀκȣ́σαντες ἐπελάθοντο —

καὶ παραβάλλεται διὰ τοὺς ἀπόντας, ὡς ἀπιστῶν τοῖς παροῦσιν.

XXXIX. Ἐκ τούτου κατέπλευσε μὲν Ἀντώνιος ἀπὸ Βρεντησίου τὰς δυνάμεις ἄγων. θαῤῥήσας δὲ Καῖσαρ προὐκαλεῖτο Πομπήϊον, ἱδρυμένον ἐν καλῷ, καὶ χορηγούμενον ἔκ τε γῆς καὶ θαλάττης ἀποχρώντως, αὐτὸς ἐν οὐκ ἀφθόνοις διάγων κατ' ἀρχὰς, ὕστερον δὲ καὶ σφόδρα πιεσθεὶς ἀπορίᾳ [1] τῶν ἀναγκαίων. ἀλλὰ [2] ῥίζαν τινὰ κόπτοντες οἱ στρατιῶται, καὶ γάλακτι φυρῶντες προσεφέροντο, καί ποτε καὶ διαπλάσαντες ἐξ αὐτῆς ἄρτους, καὶ ταῖς προφυλακαῖς τῶν πολεμίων ἐπιδραμόντες, ἔβαλλον εἴσω καὶ διεῤῥίπτουν, ἐπιλέγοντες, ὡς, ἄχρις ἂν ἡ γῆ τοιαύτας ἐκφέρῃ ῥίζας, οὐ παύσονται πολιορκοῦντες Πομπήϊον. ὁ μέντοι Πομπήϊος οὔτε τοὺς ἄρτους, οὔτε τοὺς λόγους εἴα τούτους ἐκφέρεσθαι πρὸς τὸ πλῆθος. ἠθύμουν γὰρ οἱ στρατιῶται, τὴν ἀγριότητα καὶ τὴν ἀπάθειαν [3] τῶν πολεμίων, ὥσπερ θηρίων, ὀῤῥωδοῦντες. ἀεὶ δέ τινες περὶ τοῖς ἐρύμασι τοῖς Πομπηΐου μάχαι σποράδες ἐγίγνοντο· καὶ περιῆν πάσαις ὁ Καῖσαρ, πλὴν μιᾶς· ἐν ᾗ τροπῆς μεγάλης γενομένης, ἐκινδύνευσεν [4] ἀπολέσαι τὸ στρατόπεδον. Πομπηΐου γὰρ προσβαλόντος, οὐδεὶς ἔμεινεν, ἀλλὰ καὶ τάφροι κατεπίμπλαντο κτεινομένων, καὶ περὶ τοῖς αὐτῶν χαρακώμασι καὶ περιτειχίσμασιν ἔπιπτον ἐλαυνόμενοι προτροπάδην. Καῖσαρ δ' ὑπαντιάζων, ἐπειρᾶτο μὲν ἀναστρέφειν τοὺς φεύγοντας, ἐπέραινε δ' οὐδέν· ἀλλ' ἐπιλαμβανομένου τῶν σημείων [5], ἀπεῤῥίπτουν οἱ κομίζοντες, ὥστε δύο καὶ τριάκοντα λαβεῖν τοὺς

1 Junt. sola ἀφθονίᾳ.

2 R. monet, sententiam postulare ὅθεν, vel ὥστε. Radicem, de qua sequitur, *Charam* vocat Caes. L. III. B. C. Notante autem Mose Dus. sunt, qui *Claram* legendum censent. Cf. Plin. L. XIX. c. 8.

3 Junt ἀπείθειαν.

4 Sic R. dedit de suo pro vulg. ἐκινδύνευσε μὲν ἀπολέσαι.

5 V. σημαιῶν.

τὰς πολεμίας, αὐτὸς δὲ παρὰ μικρὸν ἦλθεν ἀποθανεῖν. ἀνδρὶ γὰρ μεγάλῳ καὶ ῥωμαλέῳ, φεύγοντι παρ' αὐτὸν, ἐπιβαλὼν τὴν χεῖρα, μένειν ἐκέλευσε, καὶ στρέφεσθαι πρὸς τὰς πολεμίας. ὁ δὲ μεστὸς ὢν ταραχῆς παρὰ τὸ δεινὸν, ἐπήρατο [1] τὴν μάχαιραν, ὡς καθιξόμενος· φθάνει δ' ὁ τᾶ Καίσαρος ὑπασπιστὴς ἀποκόψας αὐτᾶ τὸν ὦμον. ἄτω δ' ἀπέγνω τὰ καθ' αὐτὸν, ὥστ', ἐπεὶ Πομπήϊος ὑπ' εὐλαβείας τινὸς, ἢ τύχης, ἔργῳ μεγάλῳ τέλος ἀκ ἐπέθηκεν, ἀλλὰ καθείρξας εἰς τὸν χάρακα τὰς φεύγοντας, ἀνεχώρησεν, εἶπεν, ἄρα πρὸς τὰς φίλας απιὼν [2] ὁ Καῖσαρ· Σήμερον ἂν ἡ νίκη παρὰ τοῖς πολεμίοις ἦν, εἰ τὸν νικῶντα εἶχον [3]. αὐτὸς δὲ παρελθὼν εἰς τὴν σκηνὴν καὶ κατακλιθεὶς, νύκτα πασῶν ἐκείνην ἀνιαρωτάτην διήγαγεν, ἐν ἀπόροις λογισμοῖς, ὡς κακῶς ἐστρατηγηκὼς, ὅτι, καὶ χώρας ἐπικειμένης [4] βαθείας καὶ πόλεων εὐδαιμόνων τῶν Μακεδονικῶν καὶ Θετταλικῶν, ἐάσας ἐκεῖ περισπάσαι τὸν πόλεμον, ἐνταῦθα καθέζοιτο πρὸς θαλάττῃ, ναυκρατάντων τῶν πολεμίων, πολιορκάμενος τοῖς ἀναγκαίοις μᾶλλον, ἢ τοῖς ὅπλοις πολιορκῶν. ἄτω δὲ περισπαθεὶς καὶ ἀνιαθεὶς [5] πρὸς τὴν ἀπορίαν καὶ χαλεπότητα τῶν παρόντων, ἀνίστη τὸν στρατὸν, ἐπὶ Σκιπίωνα προάγειν εἰς Μακεδονίαν



1 Sic R. de suo dedit in aor. 1. med. a v. ἐπαίρειν pro vulg. ἐπειρᾶτο — *attollebat in altum.* —

2 confecta pugna discedens de Martis area in castra, ad tentorium. Cf. cap. 56. ἀπιὼν δὲ μετὰ —

3 Mos. Dus. fatetur, hujus dicti acumen se in Graecis his non assequi. Ex Sueton. in Caes. 36. *negavit, eum vincere scire*, conjicit, h. l. fuisse scriptum: εἰ εἰδότα νικᾷν τὸν ἄρχοντα εἶχον. Sic Schirach vertit: wenn sie einen General gehabt hätten, der zu siegen verstände.

4 V. ἐπικειμένας.

5 Ms. Par. ῥιπτασθεὶς καὶ ἀδημονήσας. Scholium, judice Bryano, qui περισπαθεὶς huic loco non convenire censet, & mavult περιπαθής.

ἐγνωκώς. ἢ γὰρ ἐπισπάσεσθαι [1] τὸν Πομπήϊον, ὅπου μαχεῖται μὴ χορηγούμενος ὁμοίως ἀπὸ τῆς θαλάττης, ἢ περιέσεσθαι μεμονωμένου Σκιπίωνος.

XL. Τοῦτο τὴν Πομπηΐου στρατιὰν ἐπῆρε, καὶ τοὺς περὶ αὐτὸν ἡγεμόνας, ὡς ἡττημένου καὶ φεύγοντος ἔχεσθαι Καίσαρος. αὐτὸς μὲν γὰρ εὐλαβῶς εἶχε Πομπήϊος ἀναῤῥίψαι τὴν μάχην περὶ τηλικούτων, καὶ παρεσκευασμένος ἄριστα πᾶσι πρὸς τὸν χρόνον [2], ἠξίου τρίβειν καὶ μαραίνειν τὴν τῶν πολεμίων ἀκμὴν βραχεῖαν οὖσαν. τὸ γάρ τοι μαχιμώτατον τῆς Καίσαρος δυνάμεως ἐμπειρίαν μὲν εἶχε καὶ τόλμαν ἀνυπόστατον πρὸς τοὺς ἀγῶνας, ἐν δὲ ταῖς πλάναις καὶ ταῖς στρατοπεδείαις καὶ τειχομαχοῦντες [3] καὶ νυκτεγερτοῦντες ἐξέκαμνον ὑπὸ γήρως, καὶ βαρεῖς ἦσαν τοῖς σώμασι πρὸς τοὺς πόνους, δι' ἀσθένειαν ἐγκαταλιπόντες τὴν προθυμίαν [4]. τότε δὲ καί τι νόσημα λοιμῶδες ἐλέχθη, τὴν ἀτοπίαν τῆς διαίτης ποιησάμενον ἀρχὴν, ἐν τῇ στρατιᾷ περιφέρεσθαι τῇ Καίσαρος. καὶ τὸ μέγιστον, οὔτε χρήμασιν ἐῤῥωμένος, οὔτε τροφῆς εὐπορῶν, χρόνου βραχέος ἐδόκει περὶ αὐτῷ καταλυθήσεσθαι.

XLI. Διὰ ταῦτα Πομπηΐῳ μάχεσθαι μὴ βουλομένῳ [5] μόνος ἐπῄνει Κάτων, φειδοῖ τῶν πολιτῶν· ὅς γε καὶ τοὺς πεσόντας ἐν τῇ μάχῃ τῶν πολεμίων, εἰς χιλίους τὸ πλῆθος γενομένους, ἰδὼν, ἀπῆλθεν ἐγκαλυψάμενος καὶ κατα-

1 Junt. Ald. Crat. ἐπισπάσασθαι.

2 R. susp. πρὸς τὸν μακρὸν χρόνον.

3 Pro his duabus vocibus in Ms. Par. τειχοφυλακοῦντες legitur.

4 R. susp. ἐγκαταλιπόντες εἰς τὴν προθ. *propter infirmitatem destituti, ratione alacritatis*, i. e. ab alacritate, navitate & industria deserti, propter corporis imbecillitatem.

5 R. docente, aut dativi hi sunt pro genitivis consequentiae dictis, quasi dixisset Πομπηΐου μὴ βουλομένου, aut, id quod potius habet, deest post μόνος participium συνηγορῶν. H. Steph. ad ἐπῄνει adnotat, ἐπαινεῖν inveniri quoque in significatione verbi συνεπαινεῖν, pro *assentiri*: potius tamen apud Poëtas.

κατὰδακρύσας. οἱ δ' ἄλλοι πάντες ἐκάκιζον τὸν Πομπήϊον φυγομαχοῦντα, καὶ παρώξυναν, Ἀγαμέμνονα καὶ βασιλέα βασιλέων ἀποκαλοῦντες, ὡς δὴ μὴ βουλόμενον ἀποθέσθαι τὴν μοναρχίαν, ἀλλ' ἀγαλλόμενον, ἡγεμόνων τοσούτων ἐξηρτημένων αὐτοῦ καὶ φοιτώντων ἐπὶ σκηνήν. Φαώνιος δὲ, τὴν Κάτωνος παῤῥησίαν ὑποποιούμενος, μανικῶς ἐσχετλίαζεν, εἰ μηδὲ τῆτες ἔσται τῶν περὶ Τουσκλάνον ἀπολαῦσαι σύκων, διὰ τὴν Πομπηΐου μοναρχίαν [1]. Ἀφράνιος [2] δὲ (νεωστὶ γὰρ ἐξ Ἰβηρίας ἀφῖκτο κακῶς στρατηγήσας,) διαβαλλόμενος ἐπὶ χρήμασι προδοῦναι τὸν στρατὸν, ἠρώτα, διὰ τί πρὸς τὸν ἔμπορον οὐ μάχονται [3] τὸν ἐωνημένον παρ' αὐτοῦ τὰς ἐπαρχίας. ἐκ τούτων ἁπάντων συνελαυνόμενος ἄκων εἰς μάχην ὁ Πομπήϊος ἐχώρει τὸν Καίσαρα διώκων. ὁ δὲ τὴν μὲν ἄλλην πορείαν χαλεπῶς ἤνυσεν, οὐδενὸς παρέχοντος ἀγορὰν, ἀλλὰ πάντων καταφρονούντων διὰ τὴν ἔναγχος ἧτταν. ὡς δ' εἷλε Γόμφους, Θεσσαλικὴν πόλιν, οὐ μόνον ἔθρεψε τὴν στρατιὰν, ἀλλὰ καὶ τοῦ νοσήματος ἀπήλλαξε παραλόγως. ἀφθόνῳ γὰρ ἐνέτυχον οἴνῳ, καὶ πιόντες ἀνέδην, εἶτα χρώμενοι κώμοις, καὶ βακχεύον-

1 Ms. Par. φιλαρχίαν, quod Br. probat.

2 Vulgo ſecundum Ald. datur Ἀφράνιον, ut Favonius interrogaſſe Afranium videatur. De hoc mendo monuerunt Xyl. & Dacer. & reſcribi voluerunt, uti jam R. dedit, Ἀφράνιος. V. Ἀφρόνιος; Anon. Ἀφράνιος. Eandem tamen hanc lectionem Juntinae optime ineſſe, a nemine eſt obſervatam.

3 Hanc lectionem e Junt. R. revocavit, pro vulg. μάχεται, quod ex Ald. in reliquas permanavit. *Interrogabat* (non Pompejum, ſed Pompejanorum eos, ſi qui eſſent, qui venalitatem atque proditionem ipſi exprobrarent) *cur ergo non dimicarent;* quaſi dixiſſet: Si res tam facilis eſt, atque vobis videtur eſſe, cum Caeſare dimicare, eumque vincere, ut, qui minus fecerit, is ſtatim venalis atque proditor ſit habendus, eccur vos ipſi cunctamini cum Caeſare dimicare, eumque vincere, qui certe non videmini velle crimen, quo ego gravatus laboro, ad vos admittere.

χεύοντες ἀνὰ τὴν ὁδὸν, ἐκ μέθης διεκρήσαντο [1] καὶ παρήλλαξαν τὸ πάθος, εἰς ἕξιν ἑτέραν τοῖς σώμασι μεταπεσόντες.

XLII. Ὡς δ' εἰς τὴν Φαρσαλίαν ἐμβαλόντες ἀμφότεροι κατεστρατοπέδευσαν, ὁ μὲν Πομπήϊος αὖθις εἰς τὸν ἀρχαῖον ἀνεκρέετο [2] λογισμὸν τὴν γνώμην, ἔτι καὶ φασμάτων ἐκ αἰσίων προσγενομένων, καὶ καθ' ὕπνον ὄψεως. ἐδόκει γὰρ [3] ἑαυτὸν ὁρᾷν ἐν τῷ θεάτρῳ κροτέμενον ὑπὸ Ῥωμαίων. οἱ δὲ περὶ αὐτὸν ἔτω θρασεῖς ἦσαν, καὶ τὸ νίκημα ταῖς ἐλπίσι προειληφότες, ὥστε φιλονεικεῖν ὑπὲρ τῆς Καίσαρος ἀρχιερωσύνης Δομίτιον καὶ Σπινθῆρα καὶ Σκιπίωνα, διαμιλλωμένες ἀλλήλοις· πέμπειν δὲ πολλὲς εἰς Ῥώμην μισθεμένες καὶ προκαταλαμβάνοντας οἰκίας ὑπατεύεσι καὶ στρατηγῆσιν ἐπιτηδείες, ὡς εὐθὺς ἄρξοντες μετὰ τὸν πόλεμον. μάλιστα δ' ἐσφάδαζον [4] οἱ ἱππεῖς ἐπὶ τὴν μάχην, ἠσκημένοι περιττῶς ὅπλων λαμπρότησι, καὶ τροφαῖς ἵππων, καὶ κάλλει σωμάτων μέγα φρονῆντες, καὶ διὰ τὸ πλῆθος, ἑπτακισχίλιοι πρὸς χιλίες τὲς Καίσαρος ὄντες. ἦν δὲ καὶ τὸ τῶν πεζῶν πλῆθος ἐκ ἀγχώμαλον, ἀλλὰ τετρακισμύριοι [5] καὶ πεντακισχίλιοι παρετάττοντο δισμυρίοις καὶ δισχιλίοις.

XLIII. Ὁ δὲ Καῖσαρ τὲς στρατιώτας συναγαγὼν, καὶ προειπὼν, ὡς δύο μὲν αὐτῷ τάγματα Κορφίνιος [6] ἄγων

1 Mos. Dus. scribi voluit διεκκρέσαντο. Vitiose hoc datum esse pro διεξεκρέσαντο, monet R.

2 R. mavult ἀνέκρεε.

3 Manca haec esse palam est. Amiot. & Dacer. ex Pompejo supplent. Idem esse faciendum, monet adnotatio ex Anon. in ind. var. subjuncta.

4 V. ἐθαύμαζον.

5 In Pompej. numerum Pompejanorum his tantum verbis indicat: βραχεῖ πλείονες, ἢ διπλάσιοι. Appianus majorem numerum facit. Mos. Dus. — Pro ἀγχώμαλον V. ἀγχύνη μᾶλλον.

6 Omnes emendant, & Κορνιφίκιος, ut in Anon. est, legunt. Br.

ἄγων ἐγγύς ἐστιν, ἄλλαι δὲ πεντεκαίδεκα σπεῖραι μετὰ Καληνοῦ κάθηνται περὶ Μέγαρα καὶ Ἀθήνας, ἠρώτησεν, εἴτε βούλονται περιμένειν ἐκείνους, εἴτ' αὐτοὶ διακινδυνεῦσαι καθ' ἑαυτούς. οἱ δ' ἀνεβόησαν, δεόμενοι μὴ περιμένειν, ἀλλὰ μᾶλλον, ὅπως τάχιστα συνίωσιν εἰς χεῖρας τοῖς πολεμίοις, τεχνάζεσθαι καὶ στρατηγεῖν. ποιουμένῳ δὲ καθαρμὸν αὐτῷ τῆς δυνάμεως, καὶ θύσαντι τὸ πρῶτον ἱερεῖον, εὐθὺς ὁ μάντις ἔφραζε, τριῶν ἡμερῶν μάχῃ κριθήσεσθαι πρὸς τοὺς πολεμίους. ἐρομένου δὲ τοῦ Καίσαρος, εἰ καὶ περὶ τοῦ τέλους ἐνορᾷ τι τοῖς ἱερείοις εὔσημον [1]; Αὐτὸς ἄν, ἔφη, σὺ τοῦτο βέλτιον ὑποκρίναιο σαυτῷ. μεγάλην γὰρ οἱ θεοὶ μεταβολὴν καὶ μετάπτωσιν ἐπὶ τὰ ἐναντία τῶν καθεστώτων δηλοῦσιν· ὥστ', εἰ μὲν εὖ πράττειν ἡγῇ σεαυτὸν ἐπὶ τῷ παρόντι, τὴν χείρονα προσδόκα τύχην· εἰ δὲ κακῶς, τὴν ἀμείνονα. τῇ δὲ πρὸ τῆς μάχης νυκτὶ τὰς φυλακὰς ἐφοδεύοντος αὐτοῦ, περὶ τὸ μεσονύκτιον [2] ὤφθη λαμπὰς οὐρανίου πυρὸς, ἣν ὑπερενεχθεῖσαν τὸ Καίσαρος στρατόπεδον, λαμπρὰν καὶ φλογώδη γενομένην, ἔδοξεν [3] εἰς τὸ Πομπηΐου καταπεσεῖν. ἑωθινῆς δὲ φυλακῆς καὶ πανικὸν τάραχον ᾔσθοντο, γιγνόμενον παρὰ τοῖς πολεμίοις. οὐ μὴν μαχεῖσθαί γε κατ' ἐκείνην προσεδόκα τὴν ἡμέραν, ἀλλ' ὡς ἐπὶ Σκοτούσσης [4] ὁδεύων ἀνεζεύγνυεν.

XLIV. Ἐπεὶ δὲ, τῶν σκηνῶν ἤδη καταλελυμένων, οἱ σκοποὶ προσίππευσαν αὐτῷ, τοὺς πολεμίους ἐπὶ μάχῃ καταβαίνειν ἀπαγγέλλοντες, περιχαρὴς γενόμενος, καὶ εὐξάμενος [5] τοῖς θεοῖς, παρέταττε τὴν φάλαγγα, τὴν τάξιν

1 V. ἄσημον.

2 In Pomp. eandem rem narrans, ἑωθινῆς φυλακῆς id accidiſſe dicit. Br.

3 R. mavult ἐδόξασεν, *opinatus eſt*, Caeſar puta. Pro εἰς τὸ Π. in Pompej. eſt εἰς τὸν Π.

4 Sic cum Ms. Par. R. dedit pro vulg. ἐπὶ σκότους. V. ἐπὶ Σκοτούσης. Cf. Pompej. pag. 227. not. 5.

5 V. προσευξάμενος.

τάξιν τριπλῆν ποιῶν. καὶ τοῖς μὲν μέσοις ἐπέστησε Καλβῖνον Δομίτιον, τῶν δὲ κεράτων τὸ μὲν εἶχεν Ἀντώνιος, αὐτὸς δὲ τὸ δεξιὸν, ἐν τῷ δεκάτῳ τάγματι μέλλων μάχεσθαι. κατὰ τοῦτο δὲ τοὺς τῶν πολεμίων ἱππεῖς ἀντιπαρατατΊομένους ὁρῶν, καὶ δεδοικὼς τὴν λαμπρότητα καὶ τὸ πλῆθος αὐτῶν, ἀπὸ τῆς ἐσχάτης τάξεως ἀδήλως ἐκέλευσε περιελθεῖν πρὸς ἑαυτὸν ἓξ σπείρας, καὶ κατόπιν ἔστησε τοῦ δεξιοῦ, διδάξας, ἃ χρὴ ποιεῖν, ὅταν οἱ τῶν πολεμίων ἱππεῖς προσφέρωνται. Πομπήϊος δὲ τὸ μὲν αὐτὸς εἶχε τῶν κεράτων, τὸ δ' εὐώνυμον Δομίτιος, τοῦ δὲ μέσου Σκιπίων ἦρχεν [1] ὁ πενθερός. οἱ δ' ἱππεῖς ἅπαντες ἐπὶ τὸ ἀριστερὸν ἔβρισαν, ὡς τὸ δεξιὸν κυκλωσόμενοι τῶν πολεμίων, καὶ λαμπρὰν περὶ αὐτὸν τὸν ἡγεμόνα ποιησόμενοι τροπήν. οὐδὲν γὰρ ἀνθέξειν [2] βάθος ὁπλιτικῆς φάλαγγος, ἀλλὰ συντρίψεσθαι καὶ καταῤῥάξεσθαι [3] πάντα τοῖς ἐναντίοις, ἐπιβολῆς ἅμα τοσούτων ἱππέων γενομένης. ἐπεὶ δὲ σημαίνειν ἔμελλον ἀμφότεροι τὴν ἔφοδον, Πομπήϊος μὲν ἐκέλευσε τοὺς ὁπλίτας ἑστῶτας ἐν προβολῇ καὶ μένοντας ἀραρότως δέχεσθαι τὴν ἐπιδρομὴν τῶν πολεμίων, μέχρις ἂν ὑσσοῦ βολῆς ἐντὸς γένωνται. Καῖσαρ δὲ καὶ περὶ τοῦτο διαμαρτεῖν φησιν αὐτὸν [4], ἀγνοήσαντα τὴν μετὰ δρόμου καὶ φοβερὰν [5] ἐν ἀρχῇ γινομένην σύῤῥαξιν, ὡς ἔν τε ταῖς πληγαῖς βίαν προστίθησι, καὶ συνεκκαίει τὸν θυμὸν, ἐκ πάντων ἀναῤῥιπιζόμενον. αὐτὸς δὲ κινεῖν τὴν φάλαγγα μέλλων, καὶ προϊὼν ἐπ' ἔργον ἤδη, πρῶτον ὁρᾷ τῶν ταξιαρχῶν ἄνδρα τινὰ πιστὸν [6] αὐτῷ καὶ πολέ-

1 V. Τὸ δὲ μέσον Σκιπίων εἶχεν.
2 Subaud. ᾤοντο, seu ἐνόμιζον, aut etiam ἔλεγον, quod verbum non a librario praetermissum, sed potius ab ipso auctore consulto omissum esse putandum est. H. Steph.
3 Mos. Dus. scribi vult καταῤῥήξεσθαι.
4 Iunt. sola ἑαυτόν.
5 Br. scribendum censet φορὰν, quod in Ms. Par. exstat.
6 V. ἂν τῷ πιστόν.

πολέμων ἔμπειρον, ἐπιθαρσύνοντα τοὺς ὑφ' αὐτῷ καὶ προσκαλούμενον [1] εἰς ἄμυναν ἀλκῆς. τοῦτον ὀνομαστὶ προσαγορεύσας· Τί ἐλπίζομεν, εἶπεν, ὦ Γάϊε Κρασσίνιε [2], καὶ πῶς τι θράσους [3] ἔχομεν; ὁ δὲ Κρασσίνιος, ἐκτείνας τὴν δεξιὰν, καὶ μέγα βοήσας· Νικήσομεν, ἔφη, λαμπρῶς, ὦ Καῖσαρ. ἐμὲ γὰρ [4] ἢ ζῶντα τήμερον, ἢ τεθνηκότα, ἐπαινέσεις. Ταῦτ' εἰπὼν, πρῶτος ἐμβάλλει τοῖς πολεμίοις δρόμῳ, συνεπισπασάμενος τοὺς περὶ αὐτὸν ἑκατὸν εἴκοσι στρατιώτας. διακόψας δὲ τοὺς πρώτους, καὶ πρόσω χωρῶν φόνῳ πολλῷ καὶ βιαζόμενος, ἀνακόπτεται ξίφει πληγεὶς διὰ τοῦ στόματος, ὥστε καὶ τὴν αἰχμὴν [5] ὑπὲρ τὸ ἰνίον ἀνασχεῖν.

XLV. Οὕτω δὲ τῶν πεζῶν κατὰ τὸ μέσον συῤῥαγέντων καὶ μαχομένων ἀπὸ τοῦ κέρατος, οἱ τοῦ Πομπηΐου ἱππεῖς σοβαρῶς ἐπήλαυνον, εἰς κύκλωσιν τοῦ δεξιοῦ τὰς ἴλας ἀνεχόμενοι [6]. καὶ πρὶν ἢ προσβαλεῖν αὐτοὺς, ἐκ-

1 R. mavult προκαλούμενον.

2 In Pomp. Κρασσιανὸς appellatur. Anon. Κράσινε habet, quod proxime accedit ad nomen, quo Caesar hunc virum insignit, *Crastinum.*

3 H. Steph. voluit πῶς τοῦ θράσους; Alioqui post πῶς ponendam censet interrogationis notam, ut hic intersistat oratio, jungendo hoc adverbium cum praecedente verbo ἐλπίζομεν. Habet quoque Anon. πῶς τοῦ θράσει. R. in τι latere arbitratur ἤ; & ei probabile videtur, Plut. sic ferme dedisse: καὶ πῶς καταπλήξεως, ἢ θάρσους ἔχομεν — *qui nobis sunt animi? dejectine, an erecti & bene sperantes?*

4 Abesse vult Mos. Duf. γὰρ, ne vir fortis & prudens in Thrasonem Comicum mutetur, & scribendum vel γε, vel, ut in Pomp. est, δέ.

5 Junt. Ald. Crat. ἀκμήν. H. Steph. αἰχμὴν dedit, quod & in Pompej. legitur. In quibusdam suae editionis exemplaribus depravatum fuisse in αἰμὴν, ipse monet (extat adhuc in Frft.) adnotans, fortasse ἀκμὴν recte servatum fuisse, quoniam ξίφει tribui videatur ἀκμὴ potius, quam αἰχμή. In ind. Var. Frft. ex Anon. enotatur αἰχμήν.

6 V. & Anon. ἀναχεόμενοι. Unde Br. scribi vult ἀναχεόμενοι. Ms. Par. pro ἴλας habet εἴλας.

ἐκτρέχουσιν αἱ σπεῖραι παρὰ Καίσαρος, οὐχ, ὥσπερ εἰώθασιν, ἀκοντίσμασι [1] χρώμενοι τοῖς ὑσσοῖς, οὐδὲ μηροὺς παίοντες ἐκ χειρὸς, ἢ κνήμας τῶν πολεμίων, ἀλλὰ τῶν ὄψεων ἐφιέμενοι, καὶ τὰ πρόσωπα συντιτρώσκοντες. ὑπὸ Καίσαρος δεδιδαγμένοι τοῦτο ποιεῖν, ἐλπίζοντος [2] ἄνδρας οὐ πολλὰ πολέμοις, οὐδὲ τραύμασιν, ὡμιληκότας, νέους δὲ καὶ κομῶντας ἐπὶ κάλλει καὶ ὥρᾳ, μάλιστα τὰς τοιαύτας πληγὰς ὑπόψεσθαι, καὶ μὴ μενεῖν, τὸν ἐν τῷ παρόντι κίνδυνον ἅμα καὶ τὴν αὖθις αἰσχύνην [3] δεδοικότας. ὃ δὴ καὶ συνέβαινεν· οὐ γὰρ ἠνείχοντο τῶν ὑσσῶν ἀναφερομένων, οὐδ' ἐτόλμων ἐν ὀφθαλμοῖς τὸν σίδηρον ὁρῶντες, ἀλλ' ἀπεστρέφοντο [4] καὶ συνεκαλύπτοντο, φειδόμενοι τῶν προσώπων. καὶ τέλος οὕτω ταράξαντες ἑαυτοὺς ἐτράποντο φεύγειν, αἴσχιστα λυμηνάμενοι τὸ σύμπαν. εὐθὺς γὰρ οἱ μὲν νενικηκότες τούτους, ἐκυκλοῦντο τοὺς πεζοὺς, καὶ κατὰ νώτου προσπίπτοντες ἔκοπτον. Πομπήϊος δ' ὡς κατεῖδεν ἀπὸ θατέρου τοὺς ἱππεῖς φυγῇ σκεδασθέντας, οὐκέτ' ἦν ὁ αὐτὸς, οὐδ' ἐμέμνητο Πομπήϊος ὢν Μάγνος, ἀλλ' ὑπὸ θεοῦ μάλιστα βλαπτομένῳ τὴν γνώμην ἐοικὼς, ἢ διὰ θείας ὄττης [5] τεθαμβημένος, ἄφθογγος ᾤχετ' ἀπιὼν ἐπὶ σκηνήν· καὶ καθεζόμενος ἐκαραδόκει τὸ μέλλον, ἄχρις οὗ, τροπῆς ἁπάντων γενομένης, ἐπέβαινον οἱ πολέμιοι τοῦ χάρακος, καὶ

1 Br. haec vox est suspecta. V. ἀκοντισμοῦ. Mos. Dus. nil mutandum censet.

2 Junt. ἐλπίζοντες. Eadem paulo post cum Ald. & Crat. μένειν, pro quo ex Steph. vulgo μενεῖν.

3 deturpationem oris, foeditatem vultus a vulneribus acceptis. R.

4 Sic Mos. Dus. voluit dari, & dedit R. pro vulg. ἐπεστρέφοντο.

5 Sic R. de suo dedit pro vulg. ἥττης — *voce quadam divinitus edita*; a cujusmodi vocibus hominum mentes alias ad furorem incitari, alias ad tarditatem & oblivionem rerum omnium occoecari, credebant pagani.

καὶ διεμάχοντο πρὸς τὰς φυλάττοντας. τότε δ' ὥσπερ ἔννας γενόμενος, καὶ ταύτην μόνην, ὥς φασι, φωνὴν ἀφείς· Οὐκὲν καὶ ἐπὶ τὴν παρεμβολήν; ἀπεδύσατο μὲν τὴν ἐναγώνιον καὶ ςρατηγικὴν ἐσθῆτα, φεύγοντι δὲ πρέπουσαν μεταλαβὼν [1] ὑπεξῆλθεν. ἀλλ' ὅτος μὲν οἵαις [2] ὕςερον χρησάμενος τύχαις, ὅπως τε παραδὰς ἑαυτὸν τοῖς Αἰγυπτίοις ἀνδράσιν ἀνῃρέθη [3], δηλῦμεν ἐν τοῖς περὶ ἐκείνυ γράμμασιν.

XLVI. Ὁ δὲ Καῖσαρ, ὡς ἐν τῷ χάρακι τῦ Πομπηΐυ γενόμενος, τὰς τε κειμένας νεκρὰς ἤδη τῶν πολεμίων εἶδε, καὶ τὰς ἐπικτεινομένας, εἶπεν ἆρα [4] ςενάξας· Τῦτ' ἐβυλήθησαν [5], εἰς τῦτό με ἀνάγκης ὑπηγάγοντο, ἵνα Γάϊος Καῖσαρ, ὁ μεγίςας [6] πολέμας κατορθώσας, εἰ προηκάμην τὰ ςρατεύματα, κἂν κατεδικάσθην. Ταῦτά φησι Πολλίων Ἀσίννιος τὰ ῥήματα Ῥωμαϊςὶ μὲν ἀναφθέγξασθαι τὸν Καίσαρα παρὰ τὸν τότε καιρὸν, Ἑλληνιςὶ δ' ὑπ' αὐτῦ γεγράφθαι. τῶν δ' ἀποθανόντων τὰς πλείςας οἰκέτας γενέσθαι, περὶ τὴν κατάληψιν τῦ χάρακος ἀναιρεθέντας· ςρατιώτας δὲ μὴ πλείας ἑξακισχιλίων πεσεῖν. τῶν δὲ πεζῶν τῶν [7] ἁλόντων κατέμιξε τὰς πλείςας ὁ Καῖσαρ εἰς τάγματα· πολλοῖς δὲ καὶ τῶν ἐπιφανῶν ἄδειαν ἔδωκεν· ὧν καὶ Βρῦτος

1 Sic cum V. dedit R. Vulgo *μεταβαλών*.

2 Sic R. dedit de suo pro vulg. *μὲν ταῖς ὕςερον*.

3 R. quaerit, num *τοῖς Αἰγυπτίοις, ἀνδράσιν ἐπιόρκοις, ἀνῃρέθη*?

4 R. quaerit, num *εὐρύ*? — *lacum gemens*, *latum cum ingemuisset*.

5 Sic Ald. dedit, uti postea *ὑπήγαγον*. Junt. *ἐβυλήθης*, & postea *ὑπηγάγυ*, quae lectio redit ad Pompejum, quem Caesar absentem alloqui fingitur. R. dedit cum V. *ὑπηγάγοντο*. Idem monet, *ἵνα*, quod sequitur, esse h. l. *ubi*.

6 R. susp. *ὁ τὰς μεγίςας*.

7 Pro his Ms. Par. prave *ζώντων*.

τος ἦν ὁ κλείνας αὐτὸν ὕϛερον, ἐφ᾽ ᾧ λέγεται μὴ φαινομένῳ μὲν ἀγωνιάσαι, σωθέντος δὲ καὶ παραγενομένȣ πρὸς αὐτὸν ἡσθῆναι διαφερόντως.

LXVII. Σημείων δὲ πολλῶν γενομένων τῆς νίκης, ἐπιφανέϛατον ἱϛορεῖται τὸ περὶ Τράλλεις. ἐν γὰρ ἱερῷ Νίκης ἀνδριὰς εἱϛήκει Καίσαρος, καὶ τὸ περὶ αὐτὸ χωρίον αὐτό τε ϛερεὸν φύσει, καὶ λίθῳ σκληρῷ κατεϛρωμένον ἦν ἄνωθεν· ἐκ τȣ́τȣ λέγȣσιν ἀνατεῖλαι φοίνικα παρὰ τὴν βάσιν τȣ͂ ἀνδριάντος. ἐν δὲ Παταβίῳ [1] Γάϊος Κορνήλιος, ἀνὴρ εὐδόκιμος ἐπὶ μαντικῇ, Λιβίȣ τȣ͂ συγγραφέως πολίτης καὶ γνώριμος, ἐτύγχανεν ἐπ᾽ οἰωνοῖς καθήμενος ἐκείνην τὴν ἡμέραν. καὶ πρῶτον μὲν, ὡς Λίβιος φησὶ, τὸν καιρὸν ἔγνω τῆς μάχης, καὶ πρὸς τȣ̀ς παρόντας ἔφη, ὅτι καὶ δὴ περαίνεται [2] τὸ χρῆμα, καὶ συνίασιν εἰς ἔργον οἱ ἄνδρες. αὖθις δὲ πρὸς τῇ θέᾳ γενόμενος, καὶ τὰ σημεῖα κατιδὼν, ἀνήλατο μετ᾽ ἐνθȣσιασμȣ͂, βοῶν· Νικᾷς, ὦ Καῖσαρ. ἐκπλαγέντων δὲ τῶν παρατυχόντων, περιελὼν τὸν ϛέφανον ἀπὸ τῆς κεφαλῆς, ἐνωμότως [3] ἔφη, μὴ πρὶν ἐπιθήσεσθαι πάλιν, ἢ τῇ ε τῇ τέχνῃ μαρτυρῆσαι τὸ ἔργον. ταῦτα μὲν ȣ̂ν ὁ Λίβιος ȣ̔́τω γενέσθαι καταβεβαιȣ͂ται.

XLVIII. Καῖσαρ δὲ, τῷ Θετταλῶν ἔθνει τὴν ἐλευθερίαν ἀναθεὶς νικητήριον, ἐδίωκε Πομπήϊον· ἀψάμενος δὲ τῆς Ἀσίας, Κνιδίȣς μὲν [4] Θεοπόμπῳ, τῷ συναγαγόντι τȣ̀ς μύθȣς, χαριζόμενος, ἠλευθέρωσε, καὶ πᾶσι τοῖς τὴν Ἀσίαν κατοικȣ͂σι τὸ τρίτον τῶν φόρων ἀνῆκεν. εἰς δ᾽ Ἀλεξάνδρειαν ἐπὶ Πομπηΐῳ τεθνηκότι καταχθεὶς [5], Θεόδοτον μὲν ἀπεϛράφη, τὴν Πομπηΐȣ κεφα-

1 V. ποταμῷ.

2 Anon. ἤδη περαίνεται.

3 Mos. Dus. susp. ἐνώμοτος. V. ἐνωμότης.

4 Sic R. dedit de suo pro vulg. Κνιδίȣς δὲ. Br. cum V. & Anon. maluit Κνιδίȣς τε.

5 V. κατενεχθεὶς.

κεφαλὴν φέροντα, τὴν δὲ σφραγῖδα δεξάμενος τοῦ ἀνδρὸς κατεδάκρυσεν· ὅσοι δὲ τῶν ἑταίρων αὐτοῦ καὶ συνήθων πλανώμενοι κατὰ τὴν χώραν ἑαλώκεσαν ὑπὸ τοῦ βασιλέως, πάντας εὐεργέτησε καὶ προσηγάγετο. τοῖς δὲ φίλοις εἰς Ῥώμην ἔγραφεν, ὅτι τῆς νίκης ἀπολαύοι τοῦτο μέγιστον καὶ ἥδιστον, τὸ σώζειν τινὰς ἀεὶ τῶν πεπολεμηκότων πολιτῶν αὐτῷ. τὸν δ᾽ αὐτόθι πόλεμον οἱ μὲν οὐκ ἀναγκαῖον, ἀλλ᾽ ἔρωτι Κλεοπάτρας [1] ἄδοξον αὐτῷ καὶ κινδυνώδη, γενέσθαι λέγουσιν. οἱ δὲ τοὺς βασιλικοὺς αἰτιῶνται, καὶ μάλιστα τὸν εὐνοῦχον Ποθεινὸν [2], ὃς πλεῖστον δυνάμενος, καὶ Πομπήϊον μὲν ἀνῃρηκὼς ἔναγχος, ἐκβεβληκὼς δὲ Κλεοπάτραν, κρύφα μὲν ἐπεβούλευε τῷ Καίσαρι· καὶ διὰ τοῦτο φασὶν αὐτὸν [3], ἀρξάμενον ἐκ τότε, διανυκτερεύειν ἐν τοῖς πότοις, ἕνεκα φυλακῆς τοῦ σώματος. φανερῶς δ᾽ οὐκ ἦν ἀνεκτὸς, ἐπίφθονα πολλὰ καὶ πρὸς ὕβριν εἰς τὸν Καίσαρα λέγων καὶ πράττων. τοὺς μὲν γὰρ στρατιώτας, τὸν κάκιστον μετρουμένους [4] καὶ παλαιότατον σῖτον, ἐκέλευσεν ἀνέχεσθαι καὶ στέργειν, ἐσθίοντας τὰ ἀλλότρια· πρὸς δὲ τὰ δεῖπνα σκεύεσιν ἐχρῆτο ξυλίνοις καὶ κεραμεοῖς, ὡς τὰ χρυσᾶ καὶ ἀργυρᾶ πάντα Καίσαρος ἔχοντος εἴς τι χρέος. ὤφειλε γὰρ ὁ τοῦ βασιλεύοντος τότε πατὴρ Καίσαρι χιλίας ἑπτακοσίας πεντήκοντα μυριάδας, ὧν τὰς μὲν ἄλλας ἀνῆκε τοῖς παισὶν αὐτοῦ πρότερον ὁ Καῖσαρ, τὰς δὲ χιλίας ἠξίου τότε λαβὼν διαθρέψαι τὸ στράτευμα. τοῦ δὲ Ποθεινοῦ νῦν μὲν αὐτὸν ἀπιέναι καὶ τῶν μεγάλων ἔχεσθαι πραγμάτων κελεύοντος, ὕστερον δὲ κομιεῖσθαι μετὰ χάριτος, εἰπὼν, ὡς Αἰγυπτίων ἐλάχιστα δέοιτο συμβούλων, κρύφα τὴν Κλεοπάτραν ἀπὸ τῆς χώρας μετεπέμπετο.



1 R. poſt h. v. deeſſe videtur ἀνηρημένον — *amore Cleopatrae ſuſceptum.*

2 Moſ. Duſ. cum Anon. ſcribi vult Φοτῖνον h. l. & in ſeq.

3 Caeſarem puta. R. Pro ſeq. ἐκ τότε Junt. ἔκτοτε.

4 V. μετρούμενον.

XLIX. Κἀκείνη παραλαβοῦσα τῶν φίλων Ἀπολλόδωρον τὸν Σικελιώτην μόνον, εἰς ἀκάτιον μικρὸν ἐμβᾶσα [1], τοῖς μὲν βασιλείοις προσέσχεν, ἤδη συσκοτάζοντος· ἀπόρου δὲ τοῦ λαθεῖν ὄντος ἄλλως, ἡ μὲν εἰς στρωματόδεσμον ἐνδῦσα προτείνει μακρὰν ἑαυτὴν, ὁ δ' Ἀπολλόδωρος ἱμάντι συνδήσας τὸν στρωματόδεσμον, εἰσκομίζει διὰ θυρῶν πρὸς τὸν Καίσαρα. καὶ τούτῳ τε πρώτῳ λέγεται τῷ τεχνήματι τῆς Κλεοπάτρας ἁλῶναι, καὶ λαμυρᾶς φανείσης [2] καὶ τῆς ἄλλης ὁμιλίας καὶ χάριτος ἥττων γενόμενος, διαλλάξαι πρὸς τὸν ἀδελφὸν, ὡς συμβασιλεύουσαν. ἐπὶ δὲ ταῖς [3] διαλλαγαῖς ἑστιωμένων ἁπάντων, οἰκέτης Καίσαρος κουρεὺς, διὰ δειλίαν, ᾗ πάντας ἀνθρώπους ὑπερέβαλεν, οὐδὲν ἐῶν ἀνεξέταστον, ἀλλ' ὠτακουστῶν καὶ πολυπραγμονῶν, συνῆκεν ἐπιβουλὴν Καίσαρι πραττομένην ὑπ' Ἀχίλλα, τοῦ στρατηγοῦ, καὶ Ποθεινοῦ, τοῦ εὐνούχου. φωράσας δ' ὁ Καῖσαρ, φρουρὰν μὲν περιέστησε τῷ ἀνδρῶνι, τὸν δὲ Ποθεινὸν ἀνεῖλεν· ὁ δ' Ἀχίλλας φυγὼν εἰς τὸ στρατόπεδον, περιίστησιν αὐτῷ βαρὺν καὶ δυσμεταχείριστον πόλεμον, ὀλιγοστῷ [4] τοσαύτην ἀμυνομένῳ πόλιν καὶ δύναμιν. ἐν ᾧ πρῶτον μὲν ἐκινδύνευσεν ὕδατος ἀποκλεισθείς· αἱ γὰρ διώρυχες ἀπῳκοδομήθησαν ὑπὸ τῶν πολεμίων. δεύτερον δὲ, περικοπτόμενος τὸν στόλον [5], ἠναγκάσθη διὰ πυρὸς ἀπώσασθαι τὸν κίνδυνον, ὃ καὶ τὴν μεγάλην βιβλιοθήκην ἐκ τῶν νεωρίων ἐπινεμόμενον διέφθειρε. τρίτον δὲ, περὶ τῇ Φάρῳ

1 Aut ſic Br. legi voluit, quod R. dedit pro vulg. ἐκβᾶσα, aut aliter interpungi.

2 Sic R. locum hunc dedit & interpunxit, qui vulgo ita extat: ἁλῶναι, λαμυρᾶς φανείσης, καὶ τ. ἄ. — ut nunc λαμυρᾶς non ad Cleopatram, ſed ad ὁμιλίας redeat. Schirach vulgatam ſequitur: die eine witzige Prinzeſſin zu ſeyn ſchien.

3 R. de ſuo dedit pro vulg. ἔπειτα δὲ ταῖς.

4 R. ſuſp. ὀλίγῳ στρατῷ.

5 Huc refero V. lectionem τῷ στόλῳ, quam Br. & R. ad ὀλιγοστῷ, quod paulo ante legitur, retulerunt.

Φάρῳ μάχης συνεςώσης, κατεπήδησε μὲν ἀπὸ τȣ̃ χώματος εἰς ἀκάτιον, καὶ παρεβοήθει τοῖς ἀγωνιζομένοις. ἐπιπλεόντων δὲ πολλαχόθεν αὐτῷ τῶν Αἰγυπτίων, ῥίψας ἑαυτὸν εἰς τὴν θάλασσαν, ἀπενήξατο μόλις καὶ χαλεπῶς. ὅτε καὶ λέγεται βιβλίδια κρατῶν [1] πολλὰ, μὴ προέσθαι βαλλόμενος καὶ βαπτιζόμενος [2], ἀλλ' ἀνέχων ὑπὲρ τῆς θαλάσσης τὰ βιβλίδια, τῇ ἑτέρᾳ χειρὶ νήχεσθαι· τὸ δ' ἀκάτιον εὐθὺς ἐβυθίσθη [3]. τέλος δὲ, τȣ̃ βασιλέως πρὸς τȣ̀ς πολεμίȣς ἀποχωρήσαντος, ἐπελθὼν καὶ συνάψας μάχην ἐνίκησε, πολλῶν πεσόντων, αὐτȣ̃ τε τȣ̃ βασιλέως ἀφανȣ̃ς γενομένȣ. καταλιπὼν δὲ τὴν Κλεοπάτραν βασιλεύȣσαν Αἰγύπτȣ, καὶ μικρὸν ὕςερον ἐξ αὐτȣ̃ τεκȣ̃σαν υἱὸν, ὃν Ἀλεξανδρεῖς Καισαρίωνα ὑπηγόρευσαν [4], ὥρμησεν ἐπὶ Συρίας.

L. Κἀκεῖθεν ἐπιὼν τὴν Ἀσίαν, ἐπυνθάνετο, Δομίτιον μὲν, ὑπὸ Φαρνάκȣ, τȣ̃ Μιθριδάτȣ παιδὸς, ἡττημένον, ἐκ Πόντȣ πεφευγέναι σὺν ὀλίγοις, Φαρνάκην δὲ τῇ νίκῃ χρώμενον ἀπλήςως, καὶ Βιθυνίαν ἔχοντα καὶ Καππαδοκίαν, Ἀρμενίας ἐφίεσθαι τῆς μικρᾶς καλȣμένης, καὶ πάντας ἀνιςάναι τȣ̀ς ταύτῃ βασιλεῖς καὶ τετράρχας. εὐθὺς ȣ̃ν ἐπὶ τὸν ἄνδρα τρισὶν ἤλαυνε



1 V. καλῶν.

2 Kind cum lat. interpp. locum hunc ita vertit: Eben damals soll er viele Briefe in der einen Hand gehabt, und in der *größten Gefahr, von den feindlichen Pfeilen getroffen und untergetaucht zu werden*, nicht von sich geworfen, sondern über sich gehalten haben. Schirach autem: Er hatte, wie man erzählt, eine Menge Schriften dabey in der Hand, *welche er nicht wollte wegwerfen, oder im Wasser nass werden lassen*, und diese hielt er mit der einen Hand immer über dem Meere —

3 R. ad h. v. ita: „in Junt. est ἐμβυθίσθη: unde num est ἐνεβυθίσθη efficiendum?" At fallitur R. — Junt. cum Crat. & Ald. dat perspicue ἐκβυθίσθη.

4 V. προσηγόρευσαν, quod probat Mos. Dus.

νε τάγμασι, καὶ περὶ πόλιν Ζῆλαν [1] μάχην μεγάλην συνάψας, αὐτὸν μὲν ἐξέβαλε τῦ Πόντυ φεύγοντα, τὴν δὲ στρατιὰν ἄρδην ἀνεῖλε. καὶ τῆς μάχης ταύτης τὴν ὀξύτητα καὶ τὸ τάχος ἀναγγέλλων εἰς Ῥώμην, πρός τινα τῶν φίλων, Ἀμίντιον [2], ἔγραψε τρεῖς λέξεις· Ἦλθον, εἶδον, ἐνίκησα. Ῥωμαϊςὶ δὲ αἱ λέξεις εἰς ὅμοιον ἀπολήγυσαι σχῆμα ῥήματος, ὐκ ἀπίθανον τὴν βραχυλογίαν ἔχυσιν.

LI. Ἐκ τύτυ διαβαλὼν εἰς Ἰταλίαν, ἀνέβαινεν εἰς Ῥώμην, τῦ μὲν ἐνιαυτῦ καταςρέφοντος, εἰς ὃν ᾕρητο [3] δικτάτωρ τὸ δεύτερον, ὐδέποτε τῆς ἀρχῆς ἐκείνης πρότερον ἐνιαυσίυ γενομένης. εἰς δὲ τὐπιὸν ὕπατος ἀπεδείχθη· καὶ κακῶς ἤκυσεν, ὅτι, τῶν ςρατιωτῶν ςασιασάντων, καὶ δύο ςρατηγικὺς ἄνδρας ἀνελόντων, Κοσκώνιον καὶ Γάλβαν, ἐπετίμησε μὲν αὐτοῖς τοσῦτον, ὅσον ἀντὶ ςρατιωτῶν πολίτας [4] προσαγορεῦσαι, χιλίυς δὲ διένειμεν ἑκάςῳ δραχμὰς, καὶ χώραν τῆς Ἰταλίας ἀπεκλήρωσε πολλήν. ἦν δ' αὐτῦ διαβολὴ καὶ ἡ Δολοβέλλα μανία, καὶ ἡ Ἀμιντίυ φιλαργυρία, καὶ μεθύων Ἀντώνιος, καὶ Κορφίνιος [5] τὴν Πομπηΐυ σκευωρύμενος οἰκίαν καὶ μετοικοδομῶν, ὡς ἱκανὴν ὐκ ὖσαν. ἐπὶ τύτοις γὰρ ἐδυσφόρυν Ῥωμαῖοι. Καῖσαρ δὲ διὰ τὴν ὑπόθεσιν τῆς πολιτείας, ὐκ

1 Davifius ad Caef. de B. Alex. Ζίηλαν fcribendum cenfet.

2 V. Ἀμάντιον.

3 Sic cum Anon. fcribi voluit Mof. Duf. deditque R. pro vulg. ᾕρηται.

4 Senfum hujus loci Schirach in fua verfione ita exhibet: dafs er fie nicht mit dem Nahmen *Kameraden* und *Soldaten* beehrte, fondern nur *Bürger* und *Quiriten* nannte.

5 Xyl. iterum *Cornificium* ponit (quod & Anon. exhibet) nominaque haec prave locata effe adnotat, cum ea, quae de Pompeji domo dicantur, ad Antonium pertinere conftet cum ex aliis, & vita Antonii, tum ex Philip. Cic. II. c. 26. & feq.

ἐκ [1] ἀγνοῶν, ἔτε βυλόμενος, ἠναγκάζετο χρῆσθαι τοῖς ὑπυργοῦσι [2].

LII. Τῶν δὲ περὶ Κάτωνα καὶ Σκιπίωνα μετὰ τὴν ἐν Φαρσάλῳ μάχην εἰς Λιβύην φυγόντων, κἀκεῖ, τοῦ βασιλέως Ἰόβα βοηθοῦντος αὐτοῖς, ἠθροικότων δυνάμεις ἀξιολόγους, ἔγνω στρατεύειν ὁ Καῖσαρ ἐπ' αὐτούς· καὶ περὶ τροπὰς χειμερινὰς διαβὰς εἰς Σικελίαν, καὶ βουλόμενος εὐθὺς ἀποκόψαι τῶν περὶ αὐτὸν ἡγεμόνων ἅπασαν ἐλπίδα μελλήσεως καὶ διατριβῆς, ἐπὶ τοῦ κλύσματος ἔπηξε τὴν ἑαυτοῦ σκηνήν· καὶ γενομένου πνεύματος, ἐμβὰς, ἀνήχθη μετὰ τρισχιλίων πεζῶν καὶ ἱππέων ὀλίγων. ἀποβιβάσας δὲ τούτους καὶ λαθὼν, ἀνήχθη πάλιν, ὑπὲρ τῆς μείζονος ὀῤῥωδῶν δυνάμεως· καὶ κατὰ θάλατταν οὖσιν ἤδη προστυχὼν κατήγαγεν ἅπαντας εἰς τὸ στρατόπεδον. πυνθανόμενος δὲ χρησμῷ τινι παλαιῷ θαῤῥεῖν τοὺς πολεμίους, ὡς προσῆκον ἀεὶ τῷ Σκιπίωνος γένει κρατεῖν ἐν Λιβύῃ, χαλεπὸν εἰπεῖν, εἴτ' ἐκφλαυρίζων ἐν παιδιᾷ τινι [3] τὸν Σκιπίωνα στρατηγοῦντα τῶν πολεμίων, εἴτε καὶ σπουδῇ τὸν οἰωνὸν οἰκειούμενος· (ἦν γὰρ παρ' αὐτῷ τις ἄνθρωπος, ἄλλως μὲν εὐκαταφρόνητος καὶ παρημελημένος, οἰκίας δὲ τῆς Ἀφρικανῶν, Σκιπίων ἐκαλεῖτο [4] Σαλλουτίων·) τοῦτον ἐν ταῖς μάχαις προέταττεν, ὥσπερ ἡγεμόνα τῆς στρατιᾶς, ἀναγκαζόμενος πολλάκις ἐξάπτεσθαι τῶν πολεμίων καὶ φιλομαχεῖν.



1 Anon. ἔτ' ἀγνοῶν, quod Br. probat.

2 R. ſubaudiri vult ὁποῖοι ἦσαν. Br. pro τοῖς dari voluit τοιούτοις.

3 In Br. edit. ſecundum Frſt. legitur εἴτε φλαυρίζων παιδιᾷ τινι. R pro φλαυρ. dedit de ſuo ἐκφλαυρίζων, *ſive contemtui & deſpectui eum exponere contendens genere quodam ridiculi.* — Praepoſ. ἐν addidiſſe ſe monet e Junt. Eam quoque exhibent Ald. & Steph. — In Crat. prorſus abſunt εἴτε φλ. usque ad τῶν πολεμίων. — Nominativi ἐκφλ. & οἰκει. reguntur a verbo προέταττεν, quod ſequitur.

4 R. ſuſp. Σκιπίων δ' ἐπεκαλεῖτο, aut ὃς Σκιπίων ἐπεκαλ.

χεῖν. ἦν γὰρ ἔτε σῖτος τοῖς ἀνδράσιν ἄφθονος, ἔτε ὑποζυγίοις χιλὸς, ἀλλὰ βρύοις ἠναγκάζοντο θαλαττίοις, ἀποπλυνθείσης [1] τῆς ἁλμυρίδος, ὀλίγην ἄγρωστιν ὥσπερ ἥδυσμα παραμιγνύντες, ἐπάγειν τοῖς ἵπποις [2]. οἱ γὰρ Νομάδες ἐπιφαινόμενοι πολλοὶ καὶ ταχεῖς ἑκάστοτε κατεῖχον τὴν χώραν. καί ποτε [3] τῶν Καίσαρος ἱππέων σχολὴν ἀγόντων, (ἔτυχε γὰρ αὐτοῖς ἀνὴρ Λίβυς ἐπιδεικνύμενος ὄρχησιν ἅμα καὶ μοναυλῶν θαύματος ἀξίως·) οἱ μὲν [4] τερπόμενοι ἐκάθηντο, τοῖς παισὶ τὰς ἵππας ἐπιτρέψαντες, ἐξαίφνης δὲ περιελθόντες ἐμβάλλουσιν οἱ πολέμιοι, καὶ τὰς μὲν αὐτῶν κτείνουσι, τοῖς δ' εἰς τὸ στρατόπεδον προτροπάδην ἐλαυνομένοις συνεισέπεσον. εἰ δὲ μὴ Καῖσαρ αὐτὸς, ἅμα δὲ καὶ [5] Καίσαρι Πολλίων Ἀσίννιος, βοηθοῦντες ἐκ τοῦ χάρακος ἔσχον τὴν φυγὴν, διεπέπρακτ' ἂν ὁ πόλεμος· ἔστι δ' ὅτε καὶ καθ' ἑτέραν μάχην ἐπλεονέκτησαν οἱ πολέμιοι, συμπλοκῆς γενομένης, ἐν ᾗ Καῖσαρ τὸν ἀετοφόρον φεύγοντα λέγεται καταχὼν ἐκ τοῦ αὐχένος, ἀναστρέψαι· καὶ εἰπεῖν· Ἐνταῦθα εἰσὶν οἱ πολέμιοι.

LIII. Τούτοις μέντοι τοῖς προτερήμασιν ἐπήρθη Σκιπίων μάχῃ κριθῆναι· καὶ καταλιπὼν χωρὶς μὲν Ἀφράνιον, χωρὶς δὲ Ἰόβαν, δι' ὀλίγου στρατοπεδεύοντας, αὐτὸς ἐτείχιζεν ὑπὲρ λίμνης ἔρυμα τοῦ στρατοπέδου, περὶ

1 Sic cum V. scribi voluit Mos. Duf. & dedit R. pro vulg. ἀποπλυθείσης. Idem voluisse videtur Anon. in quo ἀπόπλην legitur. Ald. & Crat. hanc vocem dederunt sic scriptam ἀποπλησθείσης.

2 V. τοὺς ἵππους.

3 Haec duo vocabula desunt Juntinae.

4 Sic R. de suo dedit pro vulg. οἱ δὲ τερπ. Idem mutavit distinctionem, quam vulgatae habent, parenthesin pone ἐπιτρέψαντες finientes.

5 R. addidit καὶ e Junt. quod vulgo deest. Mavult tamen ἅμα δὲ Καίσαρι καὶ Πολ.

ρὶ πόλιν Θάψον [1], ὡς εἴη πᾶσιν ἐπὶ τὴν μάχην ὁρμητήριον καὶ καταφυγή. πονεμένῳ δ' αὐτῷ περὶ ταῦτα, Καῖσαρ ὑλάδεις τόπες καὶ προσβολὰς ἀφράσες [2] ἔχοντας ἀμηχάνῳ τάχει διελθὼν, τὲς μὲν ἐκυκλῆτο, τοῖς δὲ προσέβαλλε κατὰ σόμα. τρεψάμενος δὲ τέτες, ἐχρῆτο τῷ καιρῷ καὶ τῇ ῥύμῃ τῆς τύχης, ὑφ' ἧς [3] αὐτοβοεὶ μὲν ἧρει τὸ Ἀφρανίε ςρατόπεδον, αὐτοβοεὶ δὲ, φεύγοντος Ἰόβα, διεπόρθει τὸ τῶν Νομάδων· ἡμέρας μὲν μιᾶς μέρει μικρῷ τριῶν ςρατοπέδων ἐγκρατὴς γεγονὼς, καὶ πεντακισμυρίες τῶν πολεμίων ἀνῃρηκὼς, ἐδὲ πεντήκοντα τῶν ἰδίων ἀπέβαλεν. οἱ μὲν ταῦτα περὶ τῆς μάχης ἐκείνης ἀναγγέλλεσιν, οἱ δ' ἔ φασὶν αὐτὸν ἐν τῷ ἔργῳ γενέσθαι, συντάττοντος δὲ τὴν ςρατιὰν καὶ διακοσμεντος ἅψασθαι τὸ σύνηθες νόσημα· τὸν δ' εὐθὺς αἰσθόμενον ἀρχομένε, πρὶν ἐκταράττεσθαι καὶ καταλαμβάνεσθαι παντάπασιν ὑπὸ τε πάθες τὴν αἴσθησιν, ἤδη σειόμενον εἴς τινα τῶν πλησίων πύργων κομισθῆναι, καὶ διαγαγεῖν [4] ἐν ἡσυχίᾳ. τῶν δὲ πεφευγότων ἐκ τῆς μάχης ὑπατικῶν καὶ ςρατηγικῶν ἀνδρῶν, οἱ μὲν ἑαυτὲς διέφθειραν ἁλισκόμενοι, συχνὲς δὲ Καῖσαρ ἔκτεινεν ἁλόντας.

LIV. Κάτωνα δὲ λαβεῖν ζῶντα φιλοτιμέμενος, ἔσπευδε πρὸς Ἰτύκην· ἐκείνην γὰρ παραφυλάττων τὴν πόλιν, ἐ μετέσχε τε ἀγῶνος. πυθόμενος δ', ὡς ἑαυτὸν ὁ ἀνὴρ διεργάσαιτο, δῆλος μὲν ἦν δηχθεὶς, ἐφ' ᾧ δ', ἄδηλον. εἶπε δ' ἔν· Ὦ Κάτων, φθονῶ σοι τε θανά-



6 Sic cum V. dandum cenſuit Moſ. Duſ. deditque R. pro vulg. Θάψακον. Sic quoque jam vertit Guarin.

2 Moſ. Duſ. ſcribi voluit ἀφράκτες. R. autem bene habere monet vulgatam — *unde advenientem te aggreſſorem tuum haud facile cernas.* An hic ſenſus in voce ἄφρασος latet? —

3 Sic R. de ſuo dedit pro vulg. ἐφ' ἧς. Pro ſeq. ἧρει V. ᾕρητο.

4 V. διαφυγεῖν.

θανάτε· καὶ γὰρ σύ μοι τῆς σωτηρίας [1] ἐφθόνησας. ὁ μὲν ἐν μετὰ ταῦτα γραφεὶς ὑπ' αὐτε πρὸς Κάτωνα τεθνεῶτα λόγος ἐ δοκεῖ πρᾴως ἔχοντος, ἐδ' εὐδιαλλάκτως, σημεῖον εἶναι. πῶς γὰρ ἂν ἐφείσατο ζῶντος, εἰς ἀναίσθητον ἐκχέας ὀργὴν τοσαύτην; τῇ δὲ πρὸς Κικέρωνα καὶ Βρετον αὐτε [2] καὶ μυρίες ἄλλες τῶν πεπολεμηκότων ἐπιεικίᾳ τεκμαίρονται, καὶ τὸν λόγον ἐκεῖνον, ἐκ ἐξ ἀπεχθείας, ἀλλὰ φιλοτιμίας πολιτικῆς, συντετάχθαι διὰ τοιαύτην αἰτίαν. ἔγραψε Κικέρων ἐγκώμιον Κάτωνος, ὄνομα τῷ λόγῳ θέμενος Κάτωνα· καὶ πολλοῖς ὁ λόγος ἦν διὰ σπεδῆς, ὡς εἰκὸς, ὑπὸ τε δεινοτάτε τῶν ῥητόρων εἰς τὴν καλλίςην πεποιημένος ὑπόθεσιν. τετ' ἠνία Καίσαρα, κατηγορίαν αὐτε νομίζοντα τὸν τε τεθνηκότος δι' αὐτὸν ἔπαινον. ἔγραψεν ἐν πολλάς τινας κατὰ τε Κάτωνος [3] αἰτίας συναγαγών· τὸ δὲ βιβλίον Ἀντικάτων ἐπιγέγραπται. καὶ σπεδαςὰς ἔχει τῶν λόγων ἑκάτερος διὰ Καίσαρα καὶ Κάτωνα [4] πολλές.

LV. Ἀλλὰ γὰρ ὡς ἐπανῆλθεν εἰς Ῥώμην ἀπὸ Λιβύης, πρῶτον μὲν ὑπὲρ τῆς νίκης ἐμεγαληγόρησε πρὸς τὸν δῆμον, ὡς τοσαύτην κεχειρωμένος χώραν, ὅση παρέξει καθ' ἕκαςον ἐνιαυτὸν εἰς τὸ δημόσιον, σίτε

1 R. subaudiendum monet τῆς σῆς, id est, τῆς δόξης τε σε σωθῆναι ὑπ' ἐμε — *gloriam mihi invidisti, in vivis servatum te a me fuisse.*

2 Br. αὐτὸν dederat, quod reprobat Mos. Duf. αὐτε legendum esse censens, ut sit, ad quod ἐπιεικείᾳ referatur. Sic tamen in omnibus edd. prioribus extitit, & revocavit R. ex illis.

3 V. κατὰ Καίσαρος vel κατ' αὐτε τε.

4 R. susp. aut pro Catonis nomine nomen Ciceronis esse sufficiendum, aut ne hujus quidem excludendum, sed sic legendum: διὰ Καίσαρα καὶ Κικέρωνα καὶ Κάτωνα, aut, si Ciceroni locus denegetur, tollendum esse quoque Caesarem, & solum relinquendum Catonem. Junt. pro ἑκάτερος sola habet ἑκάτερα.

τȣ μὲν εἴκοσι μυριάδας Ἀτ]ικῶν μεδίμνων, ἐλαίȣ δὲ λιτρῶν μυριάδας τριακοσίας. ἔπειτα θριάμβȣς [1] κατῆγε, τὸν Αἰγυπ]ιακὸν, τὸν Ποντικὸν, τὸν Λιβυκὸν, ȣ̓κ ἀπὸ Σκιπίωνος, ἀλλ' ἀπὸ Ἰόβα δῆθεν τȣ̃ βασιλέως. τότε καὶ Ἰόβας, υἱὸς ὢν ἐκείνȣ, κομιδῆ νήπιος, ἐν τῷ θριάμβῳ παρήχθη, μακαριωτάτην ἁλȣ̀ς ἅλωσιν, ἐκ βαρβάρων [2] καὶ Νομάδων, Ἑλλήνων τοῖς πολυμαθεϛάτοις ἐνάριθμος γενέϑαι συγγραφεῦσι. μετὰ δὲ τȣ̀ς θριάμβȣς ϛρα ιώταις τε μεγάλας δωρεὰς ἐδίδȣ, καὶ τὸν δῆμον ἀνελάμβανεν ἑϛιάσεσι καὶ θέαις· ἑϛιάσας μὲν ἐν δισμυρίοις καὶ δισχιλίοις τρικλίνοις ὁμȣ̃ σύμπαντας, θέας δὲ καὶ μονομάχων καὶ ναυμάχων ἀνδρῶν παρασχὼν ἐπὶ τῇ θυγατρὶ Ἰȣλίᾳ πάλαι τεθνεώσῃ. μετὰ δὲ τὰς θέας γενομένων τιμήσεων [3], ἀντὶ τῶν προτέρων δυοῖν καὶ τριάκον]α μυριάδων ἐξητάθησαν αἱ πᾶσαι πεντεκαίδεκα. τηλικαύτην ἡ ϛάσις ἀπειργάσατο συμφορὰν [4], καὶ τοσȣ̃τον ἀπανήλωσε τȣ̃ δήμȣ μέρος· ἔξω τȣ̃ λόγȣ τιθεμένοις [5] τὰ κατασχόντα τὴν ἄλλην Ἰταλίαν ἀτυχήματα καὶ τὰς ἐπαρχίας.

LVI. Συντελεσθέν]ων δὲ τȣ́των, ὕπατος ἀποδειχθεὶς τὸ τέταρτον, εἰς Ἰβηρίαν ἐϛράτευσεν ἐπὶ τȣ̀ς Πομπηΐȣ παῖδας, νέȣς μὲν ὄν]ας ἔτι, θαυμαϛὴν δὲ τῷ πλή-

1 Triumphum omnium praecipuum excidisse, monet Rualdus, scilicet *Gallicum*, auctoritates Epitomatoris Livii, Suetonii, Appiani, Dionis proferens.

2 R. quaerit, num ἐφ' ᾧ, vel ἐπὶ τῷ ἐκ βαρβάρȣ καὶ Νομάδος? aut mavult ἅλωσιν, ἵν' ἐκ βαρβ. — γένοιτο, aut post πολυμαθεϛάτοις deesse censet μέλλων. Ms. Par. habet ἐκ βαρβάρȣ καὶ Νομάδος, quod probat Br.

3 Quae ad h. l. Rualdus Plutarchum incusat, copiosius ex ejus animadversionibus excerpenda, & in fine hujus voluminis singulariter adnotanda putavi.

4 R. mavult aut simplex φθορὰν, aut compositum συμφθορὰν, tametsi haud sane usu id protritum — *pestem universis fatalem*.

5 R. susp. καὶ ταῦτα λέγω ἔξω τȣ̃ λόγȣ τιθέμενος.

πλήθει στρατιὰν συνειληχότας, καὶ τόλμαν ἀποδεικνυμένους ἀξιόχρεων πρὸς ἡγεμονίαν, ὥστε κίνδυνον τῷ Καίσαρι περιστῆσαι τὸν ἔσχατον. ἡ δὲ μεγάλη μάχη περὶ [1] πόλιν συνέστη Μοῦνδαν, ἐν ᾗ Καῖσαρ ἐκθλιβομένους ὁρῶν τοὺς ἑαυτοῦ, καὶ κακῶς ἀντέχοντας, ἐβόα διὰ τῶν ὅπλων καὶ τῶν τάξεων διαθέων, εἰ μηδὲν [2] αἰδοῦνται λαβόντες αὐτὸν ἐγχειρίσαι τοῖς παιδαρίοις. μόλις δὲ προθυμίᾳ πολλῇ τοὺς πολεμίους ὠσάμενος, ἐκείνων μὲν ὑπὲρ τρισμυρίους διέφθειρε, τῶν δ' αὐτοῦ χιλίους ἀπώλεσε τοὺς ἀρίστους. ἀπιὼν δὲ μετὰ τὴν μάχην πρὸς τοὺς φίλους εἶπεν, ὡς πολλάκις μὲν ἀγωνίσαιτο περὶ νίκης, νῦν δὲ πρῶτον περὶ ψυχῆς. ταύτην τὴν μάχην ἐνίκησε τῇ τῶν Διονυσίων ἑορτῇ, καθ' ἣν λέγεται καὶ Πομπήϊος Μάγνος ἐπὶ τὸν πόλεμον ἐξελθεῖν· διὰ μέσου δὲ χρόνος ἐνιαυτῶν τεσσάρων διῆλθε. τῶν δὲ Πομπηΐου παίδων ὁ μὲν νεώτερος διέφυγε, τοῦ δὲ πρεσβυτέρου μεθ' ἡμέρας ὀλίγας Δίδιος ἀνήνεγκε τὴν κεφαλήν. τοῦτον ἔσχατον Καῖσαρ ἐπολέμησε τὸν πόλεμον· ὁ δ' ἀπ' αὐτοῦ καταχθεὶς θρίαμβος, ὡς οὐδὲν ἄλλο, Ῥωμαίους ἠνίασεν. οὐ γὰρ ἀλλοφύλους ἡγεμόνας, οὐδὲ βαρβάρους βασιλεῖς, κατηγωνισμένον, ἀνδρὸς δὲ Ῥωμαίων κρατίστου, τύχῃ [3] κεχρημένου, παῖδας καὶ γένος ἄρδην ἀνῃρηκότα, ταῖς τῆς πατρίδος ἐπιπομπεύειν συμφοραῖς οὐ καλῶς εἶχεν, ἀγαλλόμενον ἐπὶ τούτοις, ὧν μία καὶ πρὸς θεοὺς καὶ πρὸς ἀνθρώπους ἀπολογία, τὸ μετ' ἀνάγκης πεπρᾶχθαι· καὶ ταῦτα, πρότερον μήτ' ἄγγελον, μήτε γράμματα, δημοσίᾳ πέμψαντα [4] περὶ νίκης ἀπὸ τῶν

1 V. παρὰ.

2 V. εἰ δὲ μὴ αἰδ. — Seq. λαβόντες R. dedit de ſuo pro vulg. λαβόντας.

3 V. τύχαις, quod probat Moſ. Duſ.

4 Sic V. & Anon. quod neceſſario dandum cenſuit Moſ. Duſ. pro vulg. τέμψαι. Idem ſentit R. aut dari vult πέμψαι τολμήσαντα. Hinc nullus dubitavi, lectionem iſtam priorem recipere. Pro ſeq. πολέμων V. πολεμίων.

τῶν ἐμφυλίων πολέμων, ἀλλ᾽ ἀπωσάμενον [1] αἰσχύνῃ τὴν δόξαν.

LVII. Οὐ μὴν ἀλλὰ καὶ πρὸς τὴν τύχην τοῦ ἀνδρὸς ἐγκεκλικότες, καὶ δεδεγμένοι τὸν χαλινὸν, καὶ τῶν ἐμφυλίων πολέμων καὶ κακῶν ἀναπνοὴν ἡγούμενοι τὴν μοναρχίαν, δικτάτωρα μὲν αὐτὸν ἀπέδειξαν διὰ βίου. τοῦτο δ' ἦν ὁμολογουμένη μὲν τυραννὶς, τῷ ἀνυπευθύνῳ τῆς μοναρχίας τὸ ἀκατάπαυστον προσλαβούσης. τιμὰς δὲ τὰς πρώτας Κικέρωνος εἰς τὴν βουλὴν γράψαντος, ὧν ἀμωσγέπως ἀνθρώπινον ἦν τὸ μέγεθος, ἕτεροι προστιθέντες ὑπερβολὰς, καὶ διαμιλλώμενοι πρὸς ἀλλήλους, ἐξειργάσαντο καὶ τοῖς πρᾳοτάτοις ἐπαχθῆ τὸν ἄνδρα καὶ λυπηρὸν γενέσθαι, διὰ τὸν ὄγκον καὶ τὴν ἀτοπίαν τῶν ψηφιζομένων. οἷς οὐδὲν ἧττον οἴονται συναγωνίσασθαι τῶν κολακευόντων Καίσαρα τοὺς μισοῦντας, ὅπως ὅτι πλείστας κατ' αὐτοῦ προφάσεις ἔχωσι, καὶ μετὰ μεγίστων ἐγκλημάτων ἐπιχειρεῖν δοκῶσιν. ἐπεὶ τά γ' ἄλλα [2], τῶν ἐμφυλίων αὐτῷ πολέμων πέρας ἐσχηκότων, ἀνέγκλητον ἑαυτὸν παρεῖχε [3]. καὶ τό γε [4] τῆς Ἐπιεικείας ἱερὸν οὐκ ἀπὸ τρόπου δοκοῦσι χαριστήριον ἐπὶ τῇ αὐτοῦ [5] πρᾳότητι ψηφίσασθαι. καὶ γὰρ ἀφῆκε πολλοὺς τῶν πεπολεμηκότων πρὸς αὐτὸν, ἐνίοις δὲ καὶ τιμὰς καὶ ἀρχὰς, ὡς Βρούτῳ καὶ Κασσίῳ, προσέθηκεν· ἐστρατήγουν γὰρ ἀμφότεροι. καὶ τὰς Πομπηΐου καταβεβλημένας εἰκόνας οὐ περιεῖδεν, ἀλλ' ἀνέστησεν. ἐφ' ᾧ [6] καὶ Κικέρων εἶπεν, ὅτι Καῖσαρ, τοὺς Πομπηΐου στήσας ἀνδριάντας, τοὺς ἰδίους ἔπηξε. τῶν δὲ φίλων ἀξιούντων αὐτὸν

1 R. mavult ἀποκρυψάμενον.

2 R. susp. ἐπεὶ εἰς τά γ' ἄλλα.

3 Vulgo absque interiecto ἑαυτὸν, quod inserendum censuit Mos. Dus. deditque R.

4 Sic cum V. scribi voluit Mos. Dus. & R. dedit pro vulg. τότε. Εὐ quoque sane τό γε in Iunt.

5 R. addidit hoc pronomen de suo.

6 Sic R. dedit de suo pro vulg. ἐφ' ὧν.

αὐτὸν δορυφορεῖσθαι, καὶ πολλῶν ἐπὶ τῦτο παρεχόντων ἑαυτὲς, ἐχ ὑπέμεινεν· εἰπὼν, ὡς βέλτιόν ἐστιν ἅπαξ ἀποθανεῖν, ἢ ἀεὶ προσδοκᾷν. τὴν δ' εὔνοιαν, ὡς κάλλιστον [ἑαυτῦ [1]] ἅμα καὶ βεβαιότατον ἑαυτῷ περιβαλλόμενος φυλακτήριον, αὖθις ἀνελάμβανε τὸν δῆμον ἑστιάσεσι καὶ σιτηρεσίοις, τὸ δὲ στρατιωτικὸν ἀποικίαις· ὧν ἐπιφανέσταται Καρχηδὼν καὶ Κόρινθος ἦσαν. αἷς καὶ [2] πρότερον τὴν ἅλωσιν, καὶ τότε τὴν ἀνάληψιν ἅμα καὶ κατὰ τὸν αὐτὸν χρόνον ἀμφοτέραις γενέσθαι συνέτυχε.

LVIII. Τῶν δὲ δυνατῶν τοῖς μὲν ὑπατείας καὶ στρατηγίας εἰς τὐπιὸν ἐπηγγέλλετο, τὰς δ' ἄλλαις τισὶν ἐξυσίαις καὶ τιμαῖς παρεμυθεῖτο· πᾶσι δ' ἐλπίζειν ἐνεδίδυ, μνηστευόμενος ἄρχειν ἑκόντων. ὡς καὶ Μαξίμυ τῦ ὑπάτυ τελευτήσαντος, εἰς τὴν περιῦσαν τῆς ἀρχῆς μίαν ἡμέραν ὕπατον ἀποδεῖξαι Κανίνιον Ῥεβίλιον [3]. πρὸς ὃν, ὡς ἔοικε, πολλῶν δεξιώσασθαι καὶ προπέμψαι βαδιζόντων, ὁ Κικέρων· Σπεύδωμεν, ἔφη, πρὶν φθάσῃ τῆς ὑπατείας ἐξελθὼν ὁ ἄνθρωπος. ἐπεὶ δὲ τὸ φύσει μεγαλυργὸν αὐτῦ καὶ φιλότιμον αἱ πολλαὶ κατορθώσεις ὐ πρὸς ἀπόλαυσιν ἔτρεπον τῶν πεπονημένων, ἀλλ' ὑπέκκαυμα καὶ θάρσος ὖσαι πρὸς τὰ μέλλοντα, μειζόνων ἐνέτικτον ἐπινοίας πραγμάτων, καὶ καινῆς ἔρωτα δόξης, ὡς ἀποκεχρημένῳ τῇ παρύσῃ· τὸ μὲν πάθος ὐδὲν ἦν ἕτερον, ἢ ζῆλος αὐτῦ, καθάπερ ἄλλυ, καὶ φιλονεικία τις ὑπὲρ τῶν μελλόντων πρὸς τὰ πεπραγμένα. παρασκευὴ δὲ καὶ γνώμη, στρατεύειν μὲν ἐπὶ Πάρθυς, καταστρεψαμένῳ δὲ τύτυς, καὶ δι' Ὑρκανίας παρὰ τὴν Κασπίαν θάλασσαν καὶ τὸν Καυκάσιον [4] ἐκπεριελθόντι τόπον, εἰς

1 R. h. v. uncis inclusit. Br. pro ἑαυτῦ ἅμα, quas voces Ms. Par. rejicit, ut spurias, conjecit ἔρυμα esse reponendum, Mos. Duf. susp. περίαμμα, aut potius ἑαυτῦ delendum censuit.

2 Deesse censet ὡς Mos. Duf. ante καὶ reponendum.

3 *Rebilum* vocat Macrobius: & ita scribunt Xyl. & Dacer.

4 Sic R. de suo dedit in adjectivo, pro vulg. Καύκασον. Pro seq.

εἰς τὴν Σκυθικὴν ἐμβαλεῖν· καὶ τὰ περίχωρα Γερμανοῖς, καὶ Γερμανίαν αὐτὴν ἐπιδραμόντι, διὰ Κελτῶν ἐπανελθεῖν εἰς Ἰταλίαν, καὶ συνάψαι τὸν κύκλον τοῦτον τῆς ἡγεμονίας τῷ πανταχόθεν Ὠκεανῷ περιορισθείσης. διὰ μέσου δὲ τῆς στρατείας τόν τε Κορινθίων Ἰσθμὸν ἐπεχείρει διασκάπτειν, Ἀνιηνὸν [1] ἐπὶ τοῦτο προχειρισάμενος, καὶ τὸν Τίβεριν εὐθὺς ἀπὸ τῆς πόλεως ὑπολαβὼν διώρυχι βαθείᾳ, καὶ περικλάσας ἐπὶ τὸ Κιρκαῖον, ἐμβαλεῖν εἰς τὴν πρὸς Ταῤῥακίνῃ [2] θάλατταν, ἀσφάλειαν ἅμα καὶ ῥᾳστώνην τοῖς δι' ἐμπορίας [3] φοιτῶσιν εἰς Ῥώμην μηχανώμενος· πρὸς δὲ τούτοις τὰ μὲν ἕλη τὰ περὶ Πωμήτιον καὶ Σητίαν [4] ἐκτρέψας, πεδίον ἀποδεῖξαι πολλαῖς ἐνεργὸν ἀνθρώπων μυριάσι· τῇ δ' ἔγγιστα τῆς Ῥώμης θαλάσσῃ κλεῖθρα διὰ χωμάτων [5] ἐπαγα-

seq. Τόπον Anon. Τότε habet distinguendo post ἐκπεριελθεῖν, quod amplexus est Dacer. & Steph. voluit. Ms. Par. Πόντον, quod suspicatur erat Cruserius, & Bryano genuinum videtur. Guario. vertit: & Caucasum Pontum obire.

1 Mos. Duf. adnotat, *omnes* Interpp. h. l. de Aniene & Tiberi, fossa communi ab urbe in mare perducendis, male somniasse, cum constet, Anienem supra urbem in Tiberim influere, fluviumque illum Graece Ανιων dici, non Ανιηνός. Idem verba haec non cum sequentibus sed cum praecedentibus conjungenda censet, & vertenda: *Anieno ei rei praefecto*, perfossioni scilicet Isthmi inchoandae & perficiendae. R. in Ἀνιηνὸν susp. nomen aliquod Romanum Anicium aut Ammianum latere. Kind & Schirach sequuntur Mosem Dufoul. Miror tamen, quod Xylandri versio ab hoc Erudito non fuerit usurpata aut inspecta. Differt eadem a reliquis, & habet, quae Moses Duf. commendat. — *Interim opera Anieni statuerat Isthmum Corinthiacum perfodere.* Pro ἐπὶ τοῦτο V. ἐπὶ τούτῳ.

2 Sic R. dedit pro vulg. Ταῤῥακίνην.

3 R. monente, h. l. est accus. plur.

4 Vulgo Νωμεντῖνον καὶ Σήτιον. Pro priore voce Mos. Duf. ex Strabone L. V & Sueton. c. 44. dari voluit Πωμέντιον, pro posteriori autem recipi lectionem Anon. Σητίαν. R. dedit, quod jam legitur.

5 V. χρωμάτων.

ἀγαγὼν, καὶ τὰ τυφλὰ καὶ δύσορμα τῆς Ὠστιανῆς ἠϊόνος ἀνακαθηράμενος, λιμένας ἐμποιήσασθαι καὶ ναύλοχα πρὸς τοσαύτην ἀξιόπιστα ναυτιλίαν. καὶ ταῦτα μὲν ἐν παρασκευαῖς ἦν.

LIX. Ἡ δὲ τοῦ ἡμερολογίου διάθεσις, καὶ διόρθωσις τῆς περὶ τὸν χρόνον ἀνωμαλίας, φιλοσοφηθεῖσα χαριέντως ὑπ' αὐτοῦ, καὶ τέλος λαβοῦσα, γλαφυρωτάτην παρέχε χρείαν. οὐ γὰρ μόνον ἐν τοῖς παλαιοῖς πάνυ χρόνοις τεταραγμέναις [1] ἐχρῶντο Ῥωμαῖοι ταῖς τῶν μηνῶν πρὸς τὸν ἐνιαυτὸν περιόδοις, ὥστε τὰς θυσίας καὶ τὰς ἑορτὰς, ὑποφερομένας κατὰ μικρὸν, εἰς ἐναντίας ἐκπεπτωκέναι τοῖς χρόνοις ὥρας [2], ἀλλὰ καὶ περὶ τὴν τότε οὖσαν ἡλιακὴν οἱ μὲν ἄλλοι παντάπασι τούτων ἀσυλλογίστως εἶχον, οἱ δ' ἱερεῖς μόνοι τὸν καιρὸν εἰδότες, ἐξαίφνης, καὶ προῃσθημένου μηδενὸς, τὸν ἐμβόλιμον προσέγραφον [3] μῆνα, Μερκηδόνιον ὀνομάζοντες, ὃν Νομᾶς ὁ βασιλεὺς πρῶτος ἐμβαλεῖν λέγεται, μικρὰν καὶ διατείνουσαν οὐ πόῤῥω βοήθειαν ἐξευρὼν τῆς περὶ τὰς ἀποκαταστάσεις [4] πλημμελείας, ὡς ἐν τοῖς περὶ ἐκείνου γέγραπται. Καῖσαρ δὲ, τοῖς ἀρίστοις τῶν φιλοσόφων καὶ μαθηματικῶν τὸ πρόβλημα προθεὶς, ἐκ [5] τῶν ὑποκειμένων

1 Sic praeeuntibus V. & Ms. Par. reponi voluit Br. deditque R. pro vulg. τεταγμέναις.

2 R. quaerit, num εἰς ἐναντίας ἐκπεπτωκέναι ταῖς ὥραις χρόνους?

3 Sic R. de suo dedit pro vulg. προσέγραφον *proscribebant*, *scripto publice fixo denunciabant*. Pro Μερκηδόν. scribitur in Numa Μερκιδῖνος.

4 R. docente, ἀποκατάστασις est in scholis astronomorum, cum artificiis suis annorum inaequalitates corrigunt, & ad concordiam secum astrorum vias revocant, ut ad easdem orbitas redeant, quibus olim incessissent.

5 R. monet, ἐκ significare posse sive solitum *ex*, sive *post*, *secundum*. — Si hoc, significari, abrogatis vetustis rationibus suffectam esse hanc novam; sin prius, superstructam esse hanc novam

μένων ἤδη μεθόδων ἔδειξεν ἰδίαν τινὰ καὶ διηκριβωμένην μᾶλλον ἐπανόρθωσιν, ᾗ χρώμενοι μέχρι νῦν Ῥωμαῖοι δοκοῦσιν ἧττον ἑτέρων σφάλλεσθαι περὶ τὴν ἀνωμαλίαν. οὐ μὴν ἀλλὰ καὶ περὶ τοῖς [1] βασκαίνουσι καὶ βαρυνομένοις τὴν δύναμιν αἰτίας παρεῖχε. Κικέρων γὰρ ὁ ῥήτωρ, ὡς ἔοικε, φήσαντος τινὸς αὔριον ἐπιτέλλειν Λύραν· Ναὶ, εἶπεν, ἐκ διατάγματος· ὡς καὶ τοῦτο πρὸς ἀνάγκην τῶν ἀνθρώπων δεχομένων.

LX. Τὸ δ' ἐμφανὲς μάλιστα μῖσος καὶ θανατηφόρον ἐπ' αὐτὸν ὁ τῆς βασιλείας ἔρως ἐξειργάσατο, τοῖς μὲν πολλοῖς αἰτία πρώτη, τοῖς δ' ὑπούλοις πάλαι πρόφασις εὐπρεπεστάτη γενομένη. καίτοι καὶ λόγον τινὰ κατέσπειραν εἰς τὸν δῆμον οἱ ταύτην Καίσαρι τὴν τιμὴν προξενοῦντες, ὡς ἐκ γραμμάτων Σιβυλλείων ἁλώσιμα τὰ Πάρθων φαίνοιτο Ῥωμαίοις σὺν βασιλεῖ στρατευομένοις ἐπ' αὐτοὺς [2], ἄλλως ἀνέφικτα ὄντα· καὶ καταβαίνοντος ἐξ Ἄλβης Καίσαρος εἰς τὴν πόλιν, ἐτόλμησαν αὐτὸν ἀσπάσασθαι βασιλέα. τοῦ δὲ δήμου διαταραχθέντος, ἀχθεσθεὶς ἐκεῖνος, οὐκ ἔφη βασιλεὺς, ἀλλὰ Καῖσαρ, καλεῖσθαι. καὶ γενομένης πρὸς τοῦτο πάντων σιωπῆς, οὐ πάνυ φαιδρὸς, οὐδ' εὐμενὴς παρῆλθεν. ἐν δὲ συγκλήτῳ τιμάς τινας ὑπερφυεῖς αὐτοῦ [3] ψηφισαμένων, ἔτυχε μὲν ὑπὲρ τῶν ἐμβόλων καθεζόμενος· προσιόντων δὲ τῶν ὑπάτων καὶ τῶν στρατηγῶν, ἅμα δὲ καὶ τῆς βουλῆς

novam illi vetustae, ex eaque veluti elicitam. Pro seq. ἔδειξεν in Ms. Par. prave ἔμιξεν legitur.

1 Anon. τοῦτο τοῖς, quod scribendum voluit Bryanus. V. παρὰ τοῖς β. R. quaerit καίπερ ἱκανῶς ἐνταῦθα κατορθώσας, τοῖς βάσκ. — quanquam sic satis feliciter hac in re constituenda versatus. Annon quoque suspicari licet: καὶ τὸ περὶ ταῦτα γεγονὸς (sive γενόμενον, sive πραχθὲν) τοῖς? —

2 V. ἐπ' αὐτοῦ.

3 R. mavult αὐτῷ. Ad ψηφισ. subaudiendum monet τῶν βουλευτῶν aut τῶν συγκλητικῶν.

βȣλῆς ἀπάσης ἑπομένης, ἐχ ὑπεξαναςὰς, ἀλλ' ὥσπερ ἰδιώταις τισὶ χρηματίζων, ἀπεκρίνατο, συςολῆς μᾶλλον, ἢ προσθέσεως [1], τὰς τιμὰς δεῖσθαι. καὶ τȣτ' ȣ μόνον ἠνίασε τὴν βȣλὴν, ἀλλὰ καὶ τὸν δῆμον, ὡς ἐν τῇ βȣλῇ τῆς πόλεως προπηλακιζομένης· καὶ μετὰ δεινῆς κατηφείας ἀπῆλθον εὐθὺς, οἷς ἐξῆν μὴ παραμένειν. ὥςε κἀκεῖνον ἐννοήσαντα, παραχρῆμα μὲν οἴκαδε τραπέσθαι, καὶ βοᾶν πρὸς τȣς φίλȣς, ἀπαγαγόντα τȣ τραχήλȣ τὸ ἱμάτιον, ὡς ἕτοιμος εἴη τῷ βȣλομένῳ τὴν σφαγὴν παρέχειν. ὕςερον δὲ [2] προφασίζεσθαι τὴν νόσον· ȣ γὰρ ἐθέλειν τὴν αἴσθησιν [3] ἀτρεμεῖν τῶν ȣ̈τως ἐχόντων, ὅταν ἱςάμενοι διαλέγωνται πρὸς ὄχλον [4], ἀλλὰ σειομένην ταχὺ καὶ περιφερομένην εἰλίγγȣς ἐπισπᾶσθαι καὶ καταλαμβάνεσθαι [5]. τὸ δ' ȣκ εἶχεν ȣ̈τως, ἀλλὰ καὶ πάνυ βȣλόμενον αὐτὸν ὑπεξαναςῆναι τῇ βȣλῇ, λέγȣσιν ὑπό τȣ τῶν φίλων, μᾶλλον δὲ κολάκων, Κορνηλίȣ Βάλβȣ, κατασχεθῆναι· φήσαντος· Οὐ μεμνήσῃ Καῖσαρ ὢν, ȣδ' ἀξιώσεις ὡς κρείττονα θεραπεύεσθαι σεαυτόν;

LXI. Ἐπιγίνεται τȣ́τοις τοῖς προσκρȣ́σμασιν ο τῶν δημάρχων προπηλακισμός. ἦν μὲν γὰρ ἡ τῶν Λȣπερκαλίων ἑορτὴ, περὶ ἧς πολλὴ γράφȣσιν, ὡς ποιμένων τὸ παλαιὸν εἴη, καί τι καὶ προσήκει τοῖς Ἀρκαδικοῖς λυκαίοις [6]. τῶν δ' εὐγενῶν νεανίσκων καὶ ἀρχόντων πολλοὶ διαθέȣσιν ἀνὰ τὴν πόλιν γυμνοὶ, σκύτεσι λασίοις

1 Junt. Ald. Crat. προθέσεως. Pro seq. τὰς τιμὰς V. τὰ τιμῆς.

2 δὲ abest a Junt.

3 R. videtur αἴσθησις ea esse, quam nostrates usurpant: *die allzugrosse Empfindlichkeit oder Reizbarkeit*, sensilitas & irritabilitas nervorum nimia, nimis excitata & prona ad minutissimum quemque motum consternari.

4 Junt. ὀρθὸν.

5 occupari, praeveniri, corripi a convulsionibus, priusquam eas continere & supprimere possit. R.

6 Cf. Romul. T. I. pag. 70.

λασίοις τὰς ἐμποδὼν ἐπὶ παιδιᾷ καὶ γέλωτι παίοντες. πολλαὶ δὲ καὶ τῶν ἐν τέλει γυναικῶν ἐπίτηδες ὑπαντῶσαι παρέχουσιν, ὥσπερ ἐν διδασκάλου, τὼ χεῖρε ταῖς πληγαῖς, πεπεισμέναι πρὸς εὐτοκίαν κυούσαις, ἀγόνοις δὲ πρὸς κύησιν ἀγαθὸν εἶναι. ταῦτα Καῖσαρ ἐθεᾶτο, καθήμενος ἐπὶ τῶν ἐμβόλων ἐπὶ δίφρου χρυσοῦ, θριαμβικῷ κόσμῳ κεκοσμημένος. Ἀντώνιος δὲ τῶν θεόντων τὸν ἱερὸν δρόμον εἷς ἦν· καὶ γὰρ ὑπάτευεν. ὡς οὖν εἰς τὴν ἀγορὰν ἐνέβαλε, καὶ τὸ πλῆθος αὐτῷ διέστη, φέρων διάδημα στεφάνῳ δάφνης περιπεπλεγμένον, ὤρεξε τῷ Καίσαρι. καὶ γίνεται κρότος οὐ λαμπρὸς, ἀλλ' ὀλίγος ἐκ παρασκευῆς. ἀπωσαμένου δὲ τοῦ Καίσαρος, ἅπας ὁ δῆμος ἀνεκρότησεν. αὖθις δὲ προσφέροντος, ὀλίγοι [1], καὶ μὴ δεξαμένου, πάλιν ἅπαντες. οὕτω δὲ τῆς πείρας ἐξελεγχομένης, Καῖσαρ μὲν ἀνίσταται, τὸν στέφανον εἰς τὸ Καπιτώλιον ἀπενεχθῆναι κελεύσας. ὤφθησαν δὲ ἀνδριάντες αὐτοῦ διαδήμασιν ἀναδεδεμένοι βασιλικοῖς· καὶ τῶν δημάρχων δύο, Φλαούϊος [2] καὶ Μάρυλλος, ἐπελθόντες ἀπέσπασαν, καὶ τοὺς ἀσπασαμένους βασιλέα τὸν Καίσαρα πρώτους ἐξευρόντες, ἀπῆγον εἰς τὸ δεσμωτήριον. ὁ δὲ δῆμος εἵπετο κροτῶν, καὶ Βρούτους ἀπεκάλει τοὺς ἄνδρας [3], ὅτι Βροῦτος ἦν ὁ καταλύσας τὴν τῶν βασιλέων διαδοχὴν, καὶ τὸ κράτος εἰς βουλὴν καὶ δῆμον ἐκ μοναρχίας καταστήσας. ἐπὶ τούτῳ Καῖσαρ παροξυνθεὶς, τὴν μὲν ἀρχὴν ἀφείλετο τῶν περὶ τὸν Μάρυλλον [4]. ἐν δὲ τῷ κατηγορεῖν αὐτῶν, ἅμα καὶ τὸν



1 V. ὀλίγα.

2 V. Φλαόνιος.

3 V. τοὺς ἀνδριάντας.

4 Mos. Duf susp. excidisse hinc nomen alterius Tribuni, & reponendum esse τὸν Φλαούϊον καὶ τὸν Μάρ. R. autem bene monet, τοὺς περὶ M. esse & Marullum ipsum, & collegam ejus, Flavium, ut hujus quoque nomen, ingeminari necesse nihil sit. Pro περὶ V. παρά.

τὸν δῆμον ἐφυβρίζων, πολλάκις Βρέτες τε καὶ Κυμαίες [1] ἀπεκάλει τὲς ἄνδρας.

LXII. Οὕτω δὴ [2] τρέπονται πρὸς Μάρκον Βρῦτον οἱ πολλοὶ, γένος μὲν ἐκεῖθεν εἶναι δοκῦντα πρὸς πατέρων, καὶ πρὸς μητρὸς δ' ἀπὸ Σερβιλίων, οἰκίας ἑτέρας ἐπιφανῦς, γαμβρὸν δὲ καὶ ἀδελφιδῦν Κάτωνος. τῦτον μὲν ἐξ [3] ἑαυτῦ ὁρμῆσαι πρὸς κατάλυσιν τῆς μοναρχίας ἤμβλυνον αἱ παρὰ Καίσαρος τιμαὶ καὶ χάριτες. ὐ γὰρ μόνον ἐσώθη περὶ Φάρσαλον ἀπὸ τῆς Πομπηΐε φυγῆς, ὐδὲ [4] πολλὲς τῶν ἐπιτηδείων ἔσωσεν ἐξαιτησάμενος, ἀλλὰ καὶ πίστιν εἶχε μεγάλην παρ' αὐτῷ. καὶ στρατηγίαν μὲν ἐν τοῖς τότε τὴν ἐπιφανεστάτην [5] ἔλαβεν, ὑπατεύειν δ' ἔμελλεν εἰς τέταρτον ἔτος [6], ἐρίσαντος Κασσίε προτιμηθείς. λέγεται γὰρ ὁ Καῖσαρ εἰπεῖν, ὡς δικαιότερα λέγοι μὲν Κάσσιος, αὐτὸς μέντοι Βρῦτον ὐκ ἂν παρέλθοι. καί ποτε καὶ διαβαλλόντων τινῶν τὸν ἄνδρα, πραττομένης ἤδη τῆς συνωμοσίας, ὐ προσέχεν, ἀλλὰ τῦ σώματος [7] τῇ χειρὶ θίγων, ἔφη πρὸς τὲς διαβαλ-

1 Mos. Dus. dubitat, an Romani hanc vocem usurparint. R. judice Asini Cumani Romanis satis noti videntur fuisse.

2 Br. sola dedit δὲ; R. restituit δή.

3 R. susp. τῦτον μὲν μὴ ἐξ —

4 Subaudi a communi μόνον. R.

5 R. quaerit, quaenam fuerit Romae praetura splendidissima? num juris in Urbe dicendi?

6 Cf. Sueton. c. 76. „Eadem licentia, spreto patriae more, magistratus *in plures annos* ordinavit.“ In Bruto Plutarchus certamen illud, non Consulatum, sed Praetoriam provinciam spectasse refert.

7 R. susp. τῦ ἑαυτῦ σώματος, addens: „Et facti rationem & dicti urbanitatem non intelligo, & multo minus etiam Plutarcheam interpretationem; quae luculenta quidem nimis etiam est de caede Caesaris, verum de successione Bruti in ejus potestatem perobscura.

βάλλοντας· Ἀναμένει τοῦτο τὸ δέρμα Βροῦτον [1]· ὡς ἄξιον μὲν ὄντα τῆς ἀρχῆς δι' ἀρετήν, διὰ δὲ τὴν ἀρχὴν οὐκ ἂν ἀχάριστον καὶ πονηρὸν γενόμενον [2]. οἱ δὲ τῆς μεταβολῆς ἐφιέμενοι, καὶ πρὸς μόνον ἐκεῖνον, ἢ πρῶτον, ἀποβλέποντες, αὐτῷ μὲν οὐκ ἐτόλμων διαλέγεσθαι· νύκτωρ δὲ κατεπίμπλασαν γραμμάτων τὸ βῆμα, καὶ τὸν δίφρον, ἐφ' οὗ στρατηγῶν ἐχρημάτιζεν· ἂν ἦν [3] τὰ πολλὰ τοιαῦτα· Καθεύδεις, Βροῦτε καί· Οὐκ εἶ Βροῦτος. ὑφ' ὧν ὁ Κάσσιος αἰσθόμενος διακινούμενον ἡσυχῆ τὸ φιλότιμον αὐτοῦ, μᾶλλον, ἢ πρότερον, ἐνέκειτο, καὶ παρώξυνεν, αὐτὸς [4] ἰδίᾳ τι καὶ μίσους ἔχων πρὸς τὸν Καίσαρα, δι' αἰτίας, ἃς ἐν τοῖς περὶ Βρούτου γεγραμμένοις δεδηλώκαμεν. εἶχε μέντοι καὶ δι' ὑποψίας ὁ Καῖσαρ αὐτόν, ὥστε καὶ πρὸς τοὺς φίλους εἰπεῖν ποτε· Τί φαίνεται βουλόμενος ὑμῖν Κάσσιος; ἐμοὶ μὲν γὰρ οὐ λίαν ἀρέσκει, λίαν ὠχρὸς ὤν. παλιν δὲ λέγεται περὶ Ἀντωνίου καὶ Δολαβέλλα, διαβολῆς πρὸς αὐτόν, ὡς νεωτερίζοιεν, ἐλθούσης· Οὐ πάνυ, φάναι, τούτους δέδοικα τοὺς παχεῖς καὶ κομήτας, μᾶλλον δὲ τοὺς ὠχροὺς καὶ λεπτοὺς ἐκείνους· Κάσσιον λέγων καὶ Βροῦτον.

LXIII. Ἀλλ' ἔοικεν οὐχ οὕτως ἀπροσδόκητον, ὡς ἀφύλακτον, εἶναι τὸ πεπρωμένον· ἐπεὶ καὶ σημεῖα θαυμαστὰ καὶ φάσματα φανῆναι λέγουσι. σέλα μὲν οὖν

 οὐρά-

1 Ms. Par. pro δέρμα habet σῶμα. Idem Cod. & V. Βροῦτος legunt, non Βροῦτον. Utrumque probat Br. & pro ἀναμένει mavult ἀναμενεῖ. Ex Bruto porro verba aliquot, quae in feqq. defunt, cum Anon. fupplenda cenfet, ut fit: Ἀναμενεῖ τοῦτο τὸ σῶμα Βροῦτος. ὡς (οὐδενὶ προσῆκον ἄλλῳ μεθ' ἑαυτόν, ἢ Βρούτῳ, δύνασθαι τοσοῦτον.)

2 Mof. Duf. legi vult γενησόμενον.

3 R. omifit ἦν. Ex omnibus edd. prioribus reftitui.

4 Sic Br. cum Anon. dandum cenfuit, & dedit R. pro vulg. αὐτοὺς. Ad ἔχων Junt. iterum annectit τι. An fuit ἔτι?

ὀράνια, καὶ κ]ύπες [1] νύκ]ωρ πολλαχῦ διαφερομένες, καὶ καταίροντας εἰς ἀγορὰν ἐρήμες ὄρνιθας, ὀκ ἄξιον ἴσως ἐπὶ πάθει τηλικέτῳ μνημονεῦσαι. Στράβων δ' ὁ Φιλόσοφος ἱστορεῖ, πολλὲς μὲν ἀνθρώπες [2] διαπύρες ἐπιφερομένες φανῆναι, στρατιώτε δ' ἀνδρὸς οἰκέτην ἐκ τῆς χειρὸς ἐκβαλεῖν πολλὴν φλόγα, καὶ δοκεῖν καίεσθαι τοῖς ὁρῶσιν· ὡς δ' ἐπαύσατο, μηδὲν ἔχειν κακὸν τὸν ἄνθρωπον. αὐτῷ δὲ Καίσαρι θύοντι τὴν καρδίαν ἀφανῆ γενέσθαι τῦ ἱερεία, καὶ δεινὸν εἶναι [3] τὸ τέρας. ὀ γὰρ ἂν φύσει γε συστῆναι ζῶον ἀκάρδιον. ἔστι δὲ καὶ ταῦτα πολλῶν ἀκῦσαι διεξιόντων, ὥς τις αὐτῷ μάντις ἡμέρᾳ Μαρτίε μηνὸς, ἣν Εἰδὸς Ῥωμαῖοι καλῦσι, προείποι μέγαν φυλάτ]εσθαι κίνδυνον. ἐλθέσης δὲ τῆς ἡμέρας, προϊὼν ὁ Καῖσαρ εἰς τὴν σύγκλητον, ἀσπασάμενος προσπαίξειε τῷ μάντει, φάμενος· Αἱ μὲν δὴ Μάρτιαι Εἰδοὶ [4] πάρεισιν· ὁ δ' ἡσυχῆ πρὸς αὐτὸν εἴποι· Ναὶ πάρεισιν, ἀλλ' ὀ παρεληλύθασι. πρὸ μιᾶς δ' ἡμέρας, Μάρκε Λεπίδε δειπνίζοντος αὐτὸν, ἔτυχε μὲν ἐπιστολαῖς [5] ὑπογράφων, ὥσπερ εἰώθει, κατακείμενος· ἐμπεσόντος δὲ λόγε, ποῖος ἆρα τῶν θανάτων ἄριστος, ἅπαντας φθάσας ἐξεβόησεν· Ὁ ἀπροσδόκητος. μετὰ ταῦτα κοιμώμενος, ὥσπερ εἰώθει, παρὰ τῇ γυναικὶ, πασῶν ἅμα τῶν

1 Sic Br. cum V. Anon. & Ms. Par. dari voluit, deditque R. pro vulg. ]ύπες.

2 V. ἀνθρώπων. Vocem ἐπιφερομένες, quae sequitur, aut prorsus tollendam R. censet, ut variantem lectionem vocabuli διαφερομένες, quod vix praecessit, aut sic legendum esse: ἀνθρώπες ἐσθῆτας διαπύρες ἐπιφερομένες, *homines, qui vestes igneas corpore gerere viderentur.*

3 εἶναι hic accipi debere pro φανῆναι, vel δοκεῖν εἶναι, R. monet.

4 V. Μάρτιαι ἡμέραι.

5 Steph. dedit ἐπιστολὰς, & ita annotat: „Non videntur sequenda fuisse exemplaria, quae habent accusativum ἐπιστολὰς pro dativo ἐπιστολαῖς." Dativum habent Iunt. Ald. & Crat. item Ms. Par. & restituit R.

τῶν θυρῶν τοῦ δωματίου καὶ τῶν θυρίδων ἀναπεταννυμένων, διαταραχθεὶς ἅμα τῷ κτύπῳ, καὶ τῷ φωτὶ καταλαμπούσης [1] τῆς σελήνης ᾔσθετο τὴν Καλπουρνίαν βαθέως μὲν καθεύδουσαν, ἀσαφεῖς δὲ φωνὰς καὶ στεναγμοὺς ἀνάρθρους ἐκ τῶν ὕπνων ἀναπέμπουσαν. ἐδόκει δ' ἄρα κλαίειν ἐκεῖνον ἐπὶ ταῖς ἀγκάλαις ἔχουσα κατεσφαγμένον. οἱ δ' οὔ φασὶ τῇ γυναικὶ [2] ταύτην γενέσθαι τὴν ὄψιν· ἀλλ' ἦν γάρ τι τῇ Καίσαρος οἰκίᾳ προσκείμενον, οἷον ἐπὶ κόσμῳ καὶ σεμνότητι, τῆς βουλῆς ψηφισαμένης, ἀκρωτήριον, ὡς Λίβιος ἱστορεῖ· τοῦτ' ὄναρ ἡ Καλπουρνία θεασαμένη καταῤῥηγνύμενον, ἔδοξε ποτνιᾶσθαι [3] καὶ δακρύειν. ἡμέρας δ' οὖν γενομένης, ἐδεῖτο τοῦ Καίσαρος, εἰ μὲν οἷόν τε, μὴ προελθεῖν, ἀλλ' ἀναβαλέσθαι τὴν σύγλητον· εἰ δὲ τῶν ἐκείνης ὀνείρων ἐλάχιστα φροντίζει, σκέψασθαι διὰ μαντικῆς ἄλλης καὶ ἱερῶν περὶ τοῦ μέλλοντος [4]. εἶχε δέ τις, ὡς ἔοικε, κἀκεῖνον ὑποψία καὶ φόβος. οὐδένα γὰρ γυναικισμὸν ἐν δεισιδαιμονίᾳ πρότερον κατεγνώκει τῆς Καλπουρνίας, τότε δ' ἑώρα περιπαθοῦσαν. ὡς δὲ καὶ πολλὰ καταθύσαντες οἱ μάντεις ἔφασαν [5] αὐτῷ δυσιερεῖν, ἔγνω, πέμψας Ἀντώνιον, ἀφεῖναι τὴν σύγκλητον.

LXIV. Ἐν δὲ τούτῳ Δέκιμος [6] Βροῦτος, ἐπίκλησιν Ἀλβῖνος, πιστευόμενος μὲν ὑπὸ Καίσαρος, ὥστε καὶ δεύ-



1 Sic cum V. & Anon. (in ind. Frft. soli V. tribuitur haec lectio) dari voluit Br. & dedit R. pro vulg. φωτὶ καὶ λαμπούσης.

2 V. διηνεκῆ.

3 V. ποτνεῖσθαι.

4 R. susp. μέλλοντος. ὃ καὶ πεισθεὶς ἐποίησεν. εἶχε γάρ τις —

5 V. ἔφρασαν.

6 Sic cum Ms. Par. consentientibus Appiano & Suetonio R. dedit pro vulg. Δέκιος.

δεύτερος ὑπ' αὐτοῦ κληρονόμος γεγράφθαι, τοῖς δὲ περὶ Βροῦτον τὸν ἕτερον καὶ Κάσσιον μετέχων τῆς συνωμοσίας, φοβηθεὶς, μὴ, τὴν ἡμέραν ἐκείνην διακρουσαμένου τοῦ Καίσαρος, ἔκπυστος ἡ πρᾶξις γένηται, τούς τε μάντεις ἐχλεύαζε, καὶ καθήπτετο τοῦ Καίσαρος, ὡς αἰτίας καὶ διαβολὰς ἑαυτῷ κτωμένου πρὸς τὴν σύγκλητον, ἐντρυφᾶσθαι δοκοῦσαν· ἥκειν μὲν γὰρ αὐτὴν, κελεύσαντος ἐκείνου, καὶ προθύμους εἶναι ψηφίζεσθαι πάντας, ὅπως τῶν ἐκτὸς Ἰταλίας ἐπαρχιῶν βασιλεὺς ἀναγορεύοιτο, καὶ φοροίη διάδημα τὴν ἄλλην ἐπιὼν γῆν καὶ θάλασσαν· εἰ δὲ φράζοι τις αὐτοῖς καθεζομένοις, νῦν μὲν ἀπαλλάττεσθαι, παρεῖναι δ' αὖθις, ὅταν ἐντύχοι βελτίοσιν ὀνείροις Καλπουρνία, τίνας ἔσεσθαι λόγους παρὰ τῶν φθονούντων; ἢ τίνα τῶν φίλων ἀνέξεσθαι διδασκόντων, ὡς οὐχὶ δουλεία ταῦτα καὶ τυραννίς ἐστιν; ἀλλ' εἰ δοκεῖ πάντως, ἔφη, τὴν ἡμέραν ἀφοσιώσασθαι, βέλτιον αὐτὸν προελθόντα καὶ προσαγορεύσαντα τὴν βουλὴν ὑπερθέσθαι. Ταῦθ' ἅμα λέγων ὁ Βροῦτος, ἦγε τῆς χειρὸς λαβόμενος τὸν Καίσαρα, καὶ μικρὸν μὲν αὐτῷ προελθόντι τῶν θυρῶν οἰκέτης ἀλλότριος ἐντυχεῖν προθυμούμενος, ὡς ἡττᾶτο τοῦ περὶ ἐκεῖνον ὠθισμοῦ καὶ πλήθους, βιασάμενος εἰς τὴν οἰκίαν, παρέδωκεν ἑαυτὸν τῇ Καλπουρνίᾳ, φυλάττειν κελεύσας, ἄχρις ἂν ἐπανέλθῃ Καῖσαρ, ὡς ἔχων μεγάλα πράγματα κατειπεῖν πρὸς αὐτόν.

LXV. Ἀρτεμίδωρος δὲ, Κνίδιος τὸ γένος, Ἑλληνικῶν λόγων σοφιστὴς, καὶ διὰ τοῦτο γεγονὼς ἐνίοις συνήθης τῶν περὶ Βροῦτον, ὥστε καὶ γνῶναι τὰ πλεῖστα τῶν πραττομένων, ἧκε μὲν ἐν βιβλιδίῳ κομίζων, ἅπερ ἔμελλε μηνύειν· ὁρῶν δὲ τὸν Καίσαρα τῶν βιβλίων ἕκαστον δεχόμενον, καὶ παραδιδόντα τοῖς περὶ αὐτὸν ὑπηρέταις, ἐγγὺς σφόδρα προσελθών· Τοῦτο, ἔφη, Καῖσαρ, ἀνάγνωθι μόνος καὶ ταχέως· γέγραπται

γὰρ

γαρ ὑπὲρ πραγμάτων μεγάλων, καί σοι διαφερόντων. δεξαμενος ἐν ὁ Καῖσαρ, ἀναγνῶναι μὲν ὑπὸ πλήθους τῶν ἐντυγχανόντων ἐκωλύθη, καίπερ ὁρμήσας πολλάκις· ἐν δὲ τῇ χειρὶ κατέχων καὶ φυλάττων μόνον ἐκεῖνο, παρῆλθεν εἰς τὴν σύγκλητον. ἔνιοι δέ φασιν, ἄλλον ἐπιδοῦναι τὸ βιβλίον τοῦτο, τὸν δ' Ἀρτεμίδωρον οὐδ' ὅλως προσελθεῖν, ἀλλ' ἐκθλιβῆναι παρὰ πᾶσαν τὴν ὁδον.

LXVI. Ἀλλὰ ταῦτα μὲν ἤδη που φέρει καὶ τὸ αὐτόματον· ὁ δὲ δεξάμενος τὸν φόνον ἐκεῖνον καὶ τὸν ἀγῶνα χῶρος, εἰς ὃν ἡ σύγκλητος ἠθροίσθη τότε [1], Πομπηΐου μὲν εἰκόνα κειμένην ἔχων, Πομπηΐου δ' ἀνάθημα γεγονὼς τῶν προκεκοσμημένων [2] τῷ θεάτρῳ, παντάπασιν ἀπέφηνε δαίμονός τινος ὑφηγουμένου καὶ καλοῦντος ἐκεῖ τὴν πρᾶξιν [3], ἔργον γεγονέναι. καὶ γὰρ οὖν καὶ λέγεται Κάσσιος, εἰς τὸν ἀνδριάντα τοῦ Πομπηΐου πρὸ τῆς ἐγχειρήσεως ἀποβλέπων, ἐπικαλεῖσθαι σιωπῇ [4], καίπερ οὐκ ἀλλότριος ὢν τῶν Ἐπικούρου λόγων, ἀλλ' ὁ καιρὸς, ὡς ἔοικεν, ἤδη τοῦ δεινοῦ παρεσῶτος,



1 Ita post τότε commate dato, quod vulgo post ἠθροίσθη exstat, distingui voluit Mos. Dus. deditque R.

2 Mos. Dus. susp. προσκεκοσμημένων. Schirach eum sequitur, vertens: den Pompejus selbst als ein Nebengebäude seines Theaters erbaut und eingeweiht hatte. R. mavult προσκεκολλημένων, *inter illa a Pompejo isti theatro adstructa.* Cf. cap. 29. pag. 394. not. 2.

3 R. docente, πρᾶξις est executio rei consiliis agitatae, decretae; ἔργον res ipsa effectui data. *Eventum hoc a numine quodam esse profectum, actionem* (h. e. eosque, a quorum manibus esset facinus patrandum, eumque, in quo id committi fatale esset) *illuc convocante, viamque illuc quasi ambobus praeeunte.* Comma post πρᾶξιν dari voluit Mos. Dus. deditque R.

4 V. σιωπῶν.

τος, ἐνθουσιασμὸν ἐνεποίει καὶ πάθος, ἀντὶ τῶν προτέρων λογισμῶν. Ἀντώνιον μὲν οὖν, πιςὸν ὄντα Καίσαρι καὶ ῥωμαλέον, ἔξω παρακατεῖχε Βροῦτος Ἀλβῖνος [1], ἐμβαλὼν ἐπίτηδες ὁμιλίαν μῆκος ἔχουσαν. εἰσιόντος δὲ Καίσαρος, ἡ βουλὴ μὲν ὑπεξανέςη θεραπεύουσα· τῶν δὲ περὶ Βροῦτον οἱ μὲν ἐξόπισθεν τὸν δίφρον αὐτοῦ περιέςησαν, οἱ δ᾽ ἀπήντησαν ὡς δὴ Μετιλλίῳ Κίμβρῳ [2], περὶ ἀδελφοῦ φυγάδος ἐντυγχάνοντι, συνδεησόμενοι, καὶ συνεδέοντο μέχρι τοῦ δίφρου παρακολουθοῦντες. ὡς δὲ καθίσας διεκρούετο τὰς δεήσεις, καὶ προσκειμένων βιαιότερον, ἠγανάκτει πρὸς ἕκαςον, ὁ μὲν Μετίλλιος τὴν τήβεννον [3] αὐτοῦ ταῖς χερσὶν ἀμφοτέραις συλλαβὼν, ἀπὸ τοῦ τραχήλου κατῆγεν· ὅπερ ἦν σύνθημα τῆς ἐπιχειρήσεως. πρῶτος δὲ Κάσκας ξίφει παίει παρὰ τὸν αὐχένα, πληγὴν οὐ θανατηφόρον, οὐδὲ βαρεῖαν [4], ἀλλ᾽, ὡς εἰκὸς, ἐν ἀρχῇ τολμήματος μεγάλου ταραχθείς· ὥςε καὶ τὸν Καίσαρα μεταςραφέντα τοῦ ἐγχειριδίου λαβέσθαι καὶ κατασχεῖν. ἅμα δέ πως ἐξεφώνησαν, ὁ μὲν πληγεὶς, Ῥωμαϊςί· Μιαρώτατε Κάσκα, τί ποιεῖς; ὁ δὲ πλήξας, Ἑλληνιςὶ πρὸς τὸν ἀδελφόν· Ἀδελφὲ, βοήθει. τοιαύτης δὲ τῆς ἀρχῆς [5] γενομένης, τοὺς μὲν οὐδὲν συνειδότας ἔκπληξις εἶχε, καὶ φρίκη πρὸς τὰ δρώμενα, μήτε φεύγειν, μήτ᾽ ἀμύνειν, ἀλλὰ μηδὲ φωνὴν ἐκβάλλειν τολμῶντας. τῶν δὲ παρεσκευασμένων ἐπὶ τὸν φόνον ἑκάςου γυμνὸν ἀποδείξαντος τὸ ξίφος, ἐν κύκλῳ περιεχόμενος, καὶ πρὸς ὅ τι τρέψειε τὴν ὄψιν, πλη-

1 Iunt. Ald. Crat. Ἀλβίνιος. In Bruto partes hae assignantur C. Trebonio. Sic & apud Appianum.

2 Suetonius dicitur hic Cimber Tullius. Ita quoque Plutarchus in Bruto. Appian. Ἀτίλιος Κίμβερ.

3 V. Τήβεννον,

4 Br. legi vult βαθεῖαν. Sic in Bruto οὐκ εἰς βάθος dicitur illud vulnus adactum.

5 Ms. Par. ταραχῆς. Praefert tamen Br. vulgatam.

πληγαῖς ἁπάντων, καὶ σιδήρῳ φερομένῳ [1] καὶ κατὰ προσώπου καὶ κατ' ὀφθαλμῶν διελαυνόμενος, ὥσπερ θηρίον ἐνειλεῖτο ταῖς πάντων χερσίν. ἅπαντας γὰρ ἔδει κατάρξασθαι καὶ γεύσασθαι τοῦ φόνου. διὸ καὶ Βροῦτος αὐτῷ πληγὴν ἐνέβαλε μίαν εἰς τὸν βουβῶνα. λέγεται δ' ὑπό τινων, ὡς ἄρα πρὸς τοὺς ἄλλους ἀπομαχόμενος, καὶ διαφέρων δεῦρο κἀκεῖ τὸ σῶμα, καὶ κεκραγὼς, ὅτε Βροῦτον εἶδεν ἐσπασμένον [2] τὸ ξίφος, ἐφειλκύσατο κατὰ τῆς κεφαλῆς τὸ ἱμάτιον, καὶ παρῆκεν ἑαυτὸν, εἴτ' ἀπὸ τύχης, εἴτε ὑπὸ [3] τῶν κτεινάντων ἀπωσθεὶς πρὸς τὴν βάσιν, ἐφ' ἧς ὁ Πομπηΐου βέβηκεν ἀνδριάς. καὶ πολὺ καθήμαξεν αὐτῆς ὁ φόνος [4], ὡς δοκεῖν αὐτὸν ἐφεστάναι τῇ τιμωρίᾳ τοῦ πολεμίου Πομπήϊον ὑπὸ πόδας κεκλιμένου, καὶ περισπαίροντος ὑπὸ πλήθους τραυμάτων. εἴκοσι γὰρ καὶ τρία λαβεῖν λέγεται· καὶ πολλοὶ κατετρώθησαν ὑπ' ἀλλήλων, εἰς ἓν ἀπερειδόμενοι [5] σῶμα πληγὰς τοσαύτας.

LXVII. Κατειργασμένου δὲ τοῦ ἀνδρὸς, ἡ μὲν γερουσία, καίπερ εἰς μέσον Βρούτου ἐλθόντος, ὥς τι περὶ τῶν πεπραγμένων ἐροῦντος, οὐκ ἀναχομένη διὰ τῶν θυρῶν [6] ἐξέπιπτε, καὶ φεύγουσα κατέπλησε ταραχῆς καὶ δέους

1 R. mavult ἐπιφερομένῳ.

2 R. monet quidem, ἐσπασμένον accipi posse pro σπασάμενον, mavult tamen, post h. v. addi aut ἔχοντα, aut ἐπισείοντα, aut ἐπανατεινάμενον, *Brutum intentantem sublatum strictum ensem.*

3 Sic R. de suo dedit. Vulgatae sic dant, praepositionum sedibus permutatis: εἴτε ὑπὸ τύχης, εἴτε ἀπὸ τῶν —

4 V. φθόνος. Praecedens αὐτῆς R. de suo dedit. Vulgo αὐτήν.

5 R. mavult in activ. ἀπερείδοντες.

6 Cum articulo dedit R. Vulgo deest τῶν.

δέες ἀπῄρε τὸν δῆμον, ὥστε τὲς μὲν τὰς οἰκίας [1] κλείειν, τὲς δ' ἀπολείπειν τραπέζας καὶ χρηματιστήρια· δρόμῳ δὲ χωρεῖν, τὲς μὲν ἐπὶ τὸν τόπον, ὀψομένες τὸ πάθος, τὲς δ' ἐκεῖθεν, ἑωρακότας. Ἀντώνιος δὲ καὶ Λέπιδος, οἱ μάλιστα φίλοι Καίσαρος, ὑπεκδύντες, εἰς οἰκίας ἑτέρας κατέφυγον. οἱ δὲ περὶ Βρῦτον, ὥσπερ ἦσαν ἔτι θερμοὶ τῷ φόνῳ, γυμνὰ τὰ ξίφη δεικνύντες, ἅμα πάντες ἀπὸ τῦ βυλευτηρίυ συστραφέντες ἐχώρυν εἰς τὸ Καπιτώλιον, ὐ φεύγυσιν ἐοικότες, ἀλλὰ μάλα φαιδροὶ καὶ θαῤῥαλέοι, παρακαλῦντες ἐπὶ τὴν ἐλευθερίαν τὸ πλῆθος, καὶ προσδεχόμενοι τὲς ἀρίστες τῶν ἐντυγχανόντων. ἔνιοι δὲ καὶ συνανέβαινον αὐτοῖς, καὶ κατεμίγνυσαν ἑαυτὲς, ὡς μετεσχηκότες τῦ ἔργυ, καὶ προσεποιῦντο τὴν δόξαν· ὧν ἦν καὶ Γάϊος Ὀκταΐϊος καὶ Λέντλος Σπινθήρ. ὗτοι μὲν ὖν τῆς ἀλαζονείας δίκην ἔδωκαν ὕστερον, ὑπ' Ἀντωνίυ καὶ τῦ νέυ Καίσαρος ἀναιρεθέντες, καὶ μηδὲ τῆς δόξης, δι' ἣν ἀπέθνησκον, ἀπολαύσαντες, ἀπιστίᾳ [2] τῶν ἄλλων. ὐδὲ γὰρ οἱ κολάζοντες αὐτὲς, τῆς πράξεως, ἀλλὰ τῆς βυλήσεως, τὴν δίκην ἔλαβον [3]. μεθ' ἡμέραν δὲ τῶν περὶ Βρῦτον κατελθόντων καὶ ποιησαμένων λόγυς, ὁ μὲν δῆμος, ὔτε δυσχεραίνων, ὔτε, ὡς ἐπαινῶν τὰ πεπραγμένα, τοῖς λεγομένοις προσεῖχεν, ἀλλ' ὑπεδήλυ τῇ πολλῇ σιωπῇ, Καίσαρα μὲν οἰκτείρων, αἰδύμενος δὲ Βρῦτον. ἡ δὲ σύγκλητος ἀμνηστίας τινὰς καὶ συμβάσεις

1 Vulgo ὥστε τὰς μὲν οἰκίας κλείειν. V. τὲς μέν. Partim hujus auctoritate, partim de suo dedit R. quod nunc legitur.

2 τῆς δόξης, quod Caesarem peremissent — ἀπιστίᾳ, quia nemo credebat, eos id fecisse. R.

3 non propter factum, quod ab ipsis non esse profectum certissime constabat inter omnes, sed ob voluntatem, quod affectassent gloriam, ut inter peremtores Caesaris haberentur, iique viderentur esse, qui caedem patrare voluissent. R.

σεις πράττεσα πᾶσι, Καίσαρα μὲν ὡς θεὸν τιμᾷν ἐψηφίσαντο, καὶ κινεῖν μηδὲ τὸ σμικρότατον, ὧν ἐκεῖνος ἄρχων ἐβάλευσε· τοῖς δὲ περὶ Βρῦτον ἐπαρχίας τε διένειμε, καὶ τιμὰς ἀπέδωκε πρεπάσας· ὥστε πάντας οἴεσθαι, τὰ πράγματα κατάστασιν ἔχειν, καὶ σύγκρισιν απειληφέναι τὴν ἀρίστην.

LXVIII. Επεὶ δὲ, τῶν διαθηκῶν τῶν Καίσαρος ἀνοιχθεισῶν, εὑρέθη δεδομένη Ῥωμαίων ἑκάστῳ δόσις ἀξιόλογος, καὶ τὸ σῶμα κομιζόμενον δι' αγορᾶς ἐθεάσαντο ταῖς πληγαῖς διαλελωβημένον, ἐκ ἔτι κόσμον εἶχεν, ἐδὲ τάξιν αυτῶν [1] τὸ πλῆθος, ἀλλὰ τῷ μὲν νεκρῷ περισωρεύσαντες ἐξ ἀγορᾶς βάθρα καὶ κιγκλίδας καὶ τραπέζας, ὑφῆψαν αὐτῦ [2] καὶ κατέκαυσαν· ἀράμενοι δὲ δαλὲς διαπύρες ἔθεον ἐπὶ τὰς οἰκίας τῶν ἀνῃρηκότων καταφλέξοντες, ἄλλοι δ' ἐφοίτων πανταχόσε τῆς πόλεως, συλλαβεῖν καὶ διασπάσασθαι τὲς ἄνδρας ζητῦντες. οἷς ἐκείνων μὲν ἐδεὶς ἀπήντησεν, ἀλλ' εὖ πεφραγμένοι πάντες ἦσαν. Κίννας δέ τις τῶν Καίσαρος ἑταίρων ἔτυχε μὲν, ὥς φασι, τῆς παρῳχημένης νυκτὸς ὄψιν ἑωρακὼς ἄτοπον. ἐδόκει γὰρ ὑπὸ Καίσαρος ἐπὶ δεῖπνον καλεῖσθαι· παραιτέμενος δ', ἄγεσθαι τῆς χειρὸς ὑπ' αὐτῦ, μὴ βελόμενος, ἀλλ' ἀντιτείνων. ὡς δ' ἤκεσεν, ἐν ἀγορᾷ τὸ σῶμα καίεσθαι τῦ Καίσαρος, ἀναστὰς ἐβάδιζεν ἐπὶ τιμῇ, καίπερ ὑφορώμενος τὴν ὄψιν ἅμα καὶ πυρέττων. καί τις, ὀφθέντος

1 Br. pro hac voce, nihil ad sententiam conferente, susp. ἀλγῶν. R. referri posse monet ad praeced. Ῥωμαίων; mavult tamen prorsus abesse, ut plane supervacuum, aut, si cum alio quopiam commutandum sit, leg. susp. aut ὀργῶν, aut σπαργῶν, aut μαργῶν a μαργᾷν, i. e. μαίνεσθαι.

2 ibi statim, in foro, non in campo Martio, ubi decebat corpus cremari, & apparatus cremationis factus jam erat. R. Mos. Dus.

τος αὐτȣ̃, τῶν πολλῶν ἔφρασεν ἑτέρῳ τȣ̃νομα πυνθανομένῳ, κἀκεῖνος ἄλλῳ, καὶ διὰ πάντων εὐθὺς ἦν [1], ὡς ȣ̃τός ἐςιν ὁ ἀνὴρ τῶν ἀνῃρηκότων Καίσαρα· καὶ γὰρ ἦν τις ὁμώνυμος ἐκείνῳ Κίννας ἐν τοῖς συνωμοσαμένοις, ὃν τȣ̃τον εἶναι προλαβόντες [2], ὥρμησαν εὐθὺς καὶ διέσπασαν ἐν μέσῳ [3] τὸν ἄνθρωπον. τȣ̃το μάλιςα δείσαντες [4] οἱ περὶ Βρȣ̃τον καὶ Κάσσιον, ȣ̓ πολλῶν ἡμερῶν διαγενομένων, ἀπεχώρησαν ἐκ τῆς πόλεως. ἃ δὲ καὶ πράξαντες καὶ παθόντες ἐτελεύτησαν, ἐν τοῖς περὶ Βρȣ́τȣ γέγραπται.

LXIX. Θνήσκει δὲ Καῖσαρ, τὰ μὲν πάντα γεγονὼς ἔτη πεντήκοντα καὶ ἓξ, Πομπηΐῳ δ' ἐπιβιώσας ȣ̓ πολὺ πλέον ἐτῶν τεσσάρων· ἣν δὲ τῷ βίῳ παντὶ ἀρχὴν καὶ δυναςείαν διὰ κινδύνων τοσȣ́των διώκων μόλις κατειργάσατο, ταύτης ȣ̓δὲν ὅτι μὴ τȣ̃νομα μόνον καὶ τὴν ἐπίφθονον καρπωσάμενος δόξαν παρὰ τῶν πολιτῶν. ὁ μέντοι μέγας αὐτȣ̃ δαίμων, ᾧ παρὰ τὸν βίον ἐχρήσατο, καὶ τελευτήσαντος ἐπηκολȣ́θησε τιμωρὸς τȣ̃ φόνȣ, διά τε γῆς πάσης καὶ θαλάσσης ἐλαύνων καὶ ἀνιχνεύων ἄχρι τȣ̃ μηδένα λιπεῖν τῶν ἀπεκτονότων [5], ἀλλὰ καὶ τȣ̀ς καθ' ὁτιȣ̃ν, ἢ χειρὶ τȣ̃ ἔργȣ θίγοντας, ἢ γνώμῃ [6] μετασχόντας ἐπεξελθεῖν. θαυμασιώτατον δὲ τῶν μὲν ἀνθρωπίνων τὸ περὶ Κάσσιον· ἡττηθεὶς γὰρ ἐν

1 R. mavult ᾔει — *ibat per omnes.*

2 V. ὑπολαβόντες.

3 Subaud. R. monente, τῶν διασπαρυττόντων — inter manus, alii huc, alii illuc, tractantes & raptantes.

4 Subaud. καὶ περὶ ἑαυτῶν. R.

5 V. ἀποκτενόντων.

6 Sic R. de suo dedit pro vulg. γνώμης, ut modo praecesserat χειρί. Ad μετάσχ. subauditur ἔργȣ. V. γνώμαις ex ind. Br. & nota R. Sed in Fist. ind. absque nota codicis.

ἐν Φιλίπποις, ἐκείνῳ τῷ ξιφιδίῳ διέφθειρεν ἑαυτὸν, ᾧ κατὰ Καίσαρος ἐχρήσατο· τῶν δὲ θείων ὅ τε μέγας κομήτης (ἐφάνη γὰρ ἐπὶ νύκτας ἑπτὰ μετὰ τὴν Καίσαρος σφαγὴν διαπρεπὴς, εἶτ᾽ ἠφανίσθη) καὶ τὸ περὶ τὸν ἥλιον ἀμαύρωμα τῆς αὐγῆς. ὅλον γὰρ ἐκεῖνον τὸν ἐνιαυτὸν ὠχρὸς μὲν ὁ κύκλος καὶ μαρμαρυγὰς ἐκ ἔχων ἀνέτελλεν, ἀδρανὲς δὲ καὶ λεπτὸν ἀπ᾽ αὐτῦ κατῄει τὸ θερμόν· ὥςε τὸν μὲν ἀέρα δνοφερὸν καὶ βαρὺν ἀσθενείᾳ τῆς διακρινέσης αὐτὸν ἀλέας ἐκφέρεσθαι, τὰς δὲ καρπὰς ἡμιπέπτας καὶ ἀτελεῖς ἀπανθῆσαι καὶ παρακμάσαι διὰ τὴν ψυχρότητα τῦ περιέχοντος. μάλιςα δὲ τὸ Βρύτῳ γενόμενον φάσμα τὴν Καίσαρος ἐδήλωσε σφαγὴν ἐ γενομένην θεοῖς ἀρεςήν· ἦν δὲ τοιόνδε· μέλλων τὸν ςρατὸν ἐξ Ἀβύδυ διαβιβάζειν εἰς τὴν ἑτέραν ἤπειρον, ἀνεπαύετο νυκτὸς, ὥσπερ εἰώθει, κατὰ σκηνὴν, ἐ καθεύδων, ἀλλὰ φροντίζων περὶ τῦ μέλλοντος. λέγεται γὰρ ἦτος ἀνὴρ ἥκιςα δὴ τῶν ςρατηγῶν ὑπνώδης γενέσθαι, καὶ πλεῖςον ἑαυτῷ χρόνον ἐγρηγορότι χρῆσθαι πεφυκώς. ψόφυ δέ τινος αἰσθέσθαι περὶ τὴν θύραν ἔδοξε, καὶ πρὸς τὸ τῦ λύχνυ φῶς ἤδη καταφερομένυ σκεψάμενος, ὄψιν εἶδε φοβερὰν ἀνδρὸς ἐκφύλυ τὸ μέγεθος, καὶ χαλεπῦ τὸ εἶδος. ἐκπλαγεὶς δὲ τὸ πρῶτον, ὡς ἑώρα μήτε πράττοντά τι, μήτε φθεγγόμενον, ἀλλ᾽ ἑςῶτα σιγῇ παρὰ τὴν κλίνην, ἠρώτα, ὅςις ἐςίν. ἀποκρίνεται δ᾽ αὐτῷ τὸ φάσμα· Ὁ σὸς, ὦ Βρῦτε, δαίμων κακός· ὄψῃ [1] δέ με περὶ Φιλίππυς. τότε μὲν ἦν ὁ Βρῦτος εὐθαρσῶς· Ὄψομαι, εἶπε· καὶ τὸ δαιμόνιον εὐθὺς ἐκποδὼν ἀπῄει. τῷ δ᾽ ἱκνυμένῳ χρόνῳ περὶ τὰς Φιλίππυς ἀντιταχθεὶς Ἀντωνίῳ καὶ Καίσαρι, τῇ μὲν πρώτῃ μάχῃ κρατήσας τὸ καθ᾽ ἑαυτὸν ἐτρέψατο καὶ διεξή-

1 Scribi volunt Br. & Mos. Duf. ὄψει, ut est in Ms. Par.

εξήλασε, πορθῶν τὸ Καίσαρος ςρατόπεδον· τὴν δὲ δευτέραν αὐτῷ μάχεσθαι μέλλοντι φοιτᾷ τὸ αὐτὸ φάσμα τῆς νυκτὸς αὖθις, ȣ̓χ ὥςε τι προσειπεῖν, ἀλλὰ συνεὶς ὁ Βρȣ̃τος τὸ πεπρωμένον, ἔῤῥιψε φέρων ἑαυτὸν εἰς τὸν κίνδυνον. ȣ̓ μὴν ἔπεσεν ἀγωνιζόμενος, ἀλλὰ τῆς τροπῆς γενομένης, ἀναφυγὼν πρός τι κρημνῶδες, καὶ τῷ ξίφει γυμνῷ προσβαλὼν τὸ ςέρνον, ἅμα καὶ φίλȣ τινὸς, ὥς φασιν, ἐπιῤῥώσαντος [1] τὴν πληγὴν, ἀπέθανεν.

1 Ms. Par. pro ὥς φασιν, ἐπιῤῥ. habet συνεπιῤῥώσαντος. Br. mavult: ὥς φασι, συνεπερείσαντος πληγήν. Articulum τὴν ante πλ. R. dedit de suo.

EX

# EX RVALDI ANIMADVERSIONIBVS.

Ad locum in Caesar. pag. 427. lin. 13. sqq.

Μετὰ δὲ τὰς θέας γινομένων τιμήσεων — — τȣ̃ δήμȣ μέρος.

Tergemini lapsus Rualdus incusat Plutarchum in animadversione prolixiori ad h. l.

Primus est, quod actum a Julio Caesare censum falso tradat. Affert quidem R. auctoritates Liviani Epitomastae, Appiani, Dionis, pro Plutarcho, ut videtur, pugnantes, at easdem ex Plutarchi mendacio ortas censet. Pro sua sententia Suetonii utitur testimonio, apud quem vel minimum Caesariani census vestigium non deprehenditur, licet talia sollitus sit accuratissime, ac paene curiose, recensere. Locupletior ipsi testis est porro Octavius Augustus, qui, omnium Caesaris patris actorum, sicut & laudum, quam supra omnes conscius atque intelligens, tam vindex ac praedicator studiosissimus, in rerum tamen suarum volumine nullum ante se, aut a Julio Caesare, aut ab alio quoquam, post annum V. C. DCLXXXIII. censum populi Romani actum, clarissime testificatur. Ejus haec verba sunt ex serie II. monumenti Ancyrani: *In Consulatu sexto censum populi, collega M. Agrippa, egi. Lustrum post annum alterum & quadragesimum feci.* Census sine lustro nullus actus, nisi religio aliter suaderet. Sextus Augusti consulatus incidit in annum DCCXXV. Inde illos XLII. si exemeris annos, dabitur annus V. C. DCLXXXIII, primo Cn. Pompeji atque M. Crassi consulatu nobilis, quo lustrum a Cn. Lentulo &

L. Gellio, Cenſoribus, conditum, cenſusque eſt factus, uti Liviana Synopſis duodeviceſima commonet.

Alter Plutarchi lapſus eſt, quod ſub initium belli civilis inter Caeſarem & Pompejum fuiſſe duntaxat in Vrbe Roma CCCXX millia civium crediderit. Longe deterioribus rei publicae temporibus, atque ante plus centum annis, capita civium plura relata in tabulas actaque, T. Livii Epitome XLVI. manifeſtat: *Luſtrum a cenſoribus conditum eſt. Cenſa eo ſunt civium capita CCCXXVII. millia XXII.* Ille civium numerus inde porro magis ac magis in annos ſingulos crevit. Teſte Phlegonte Tralliano, Olympiadis CLXXVII. anno tertio, i. e. V. C. DCLXXXIII. cenſa fuerunt millia decem ſupra nongenta millia. Epitomae Livianae codex vetus duodecenteſimus eundem cenſum non modo non imminuit, ſed & quadragenis millibus auctiorem facit. Igitur cum Romae civium numerus ſemper cum imperio auctus ſit, & a Cenſoribus, Lentulo Gellioque, ad initium belli civilis Pompejani anni plus viginti interjecti ſint, nec interim ulla memorabili clade tam prodigioſe imminutus populus apud quemquam reperiatur; Plutarcho, ante id bellum fuiſſe cenſita duntaxat CCCXX. millia civium narranti fides adhiberi nequit.

Tertius denique eſt lapſus, quod exiſtimet, civili diſſenſione populum ad CL. millia decreviſſe. Hoc ſi eſſet, potuiſſetne Caeſar ex urbe ſic exhauſta adhuc octoginta millia civium educere, quam ab eo in transmarinas colonias diſtributa, non nimium longe poſt, teſtis eſt graviſſimus Suetonius in Caeſ. vita, c. 42. Quid? quod vix decem & octo poſt annis Octavius Auguſtus, ſe VI. & Agrippa Coſſ. luſtro condito, *cenſita civium Romanorum capita quadragies centum millia & ſexaginta tria millia*, ipſe in rerum ſuarum indice memoriae certiſſimae conſignatum reliquit? Unde igitur tanta tamque ſtupenda tam paucis annis hominum vis?

Quae cauſa Plutarchum ter usque adeo foede ceſpitare adegerit, inquirit Ruald. ſub fin. animadverſionis his ferè verbis: „Legerat in aliquo auctore Romano, Caeſarem, victo Scipione, redeuntem ex Africa egiſſe quendam recenſum, hoc eſt, examen recognitionemque in eos, qui plebis ferè tenuiſſima pars,

pars, frumentariam largitionem, de qua frequens mentio apud rerum Romanarum ſcriptores, participabant: cognitoque quod per bella civilia numerus accipientium ad vicena trecena millia venerat, eum dimidio imminutum voluiſſe, atque ad ſexagena centena retraxiſſe. Dio Caſſius aperte libro XLIII. *Τοῦ πλήθους τοῦ τὸν σῖτον φέροντος ἐπὶ μακρότατον οὐ κατὰ δίκην, ἀλλ᾽ ὥσπερ ἐν ταῖς στάσεσιν εἴωθε γενέσθαι ἐπαυξηθέντος, ἐξέτασιν ἐποιήσατο, καὶ τοὺς γε ἡμίσεις ὁμοῦ τι αὐτῶν προαπήλειψε.* Suetonius haud minus enucleate in Caesare cap. XLI. *Recenſum populi, nec more, nec loco ſolito, ſed vicatim per dominos Inſularum egit: atque ex viginti trecentisque millibus accipientium frumentum e publico ad centum quinquaginta retraxit.* Jure monet, *nec more*, nec *loco ſolito.* Nam id muneris cenſorum & publicorum ſcribarum antiquo more fuit, cui peragendo vel forum, vel villa publica in campo Martio, erat deſtinata. Caeſar vero egit *vicatim per dominos inſularum:* quod eſt dicere, per locatores, a quibus inſulas, ſive domos, egena plebs conducebat. Idque Caeſar egit, non ut cenſor, ſed ut *τῶν τρόπων τῶν ἑκάστου ἐπιστάτης morum uniuscujusque magiſter*, ſicut eum in tres annos creavit Senatus. In numero leviter diſſentit a Suetonio Dio: ait enim *ἡμίσεις*, quaſi velit poſt Caeſaris recenſionem datum adhuc frumentum CLX. Sed hoc, puto, dixit *ὁλοσχερῶς*, non *ἀκριβῶς*, eoque inſervit *ὁμοῦ τι*, *fere*, *circiter*, *aliquatenus.* Rectius viciſſim, & magis proprie, de frumentum accipientibus *τὸ πλῆθος* uſurpavit, quam vocem *populus* Suetonius. Ea namque frumenti largitio ſolius multitudinis & egenae plebeculae fuit, ut nimis conſtat, non autem populi totius. Quamobrem, quoties Livius hujus diſtributionis meminit, vocem *plebis* amat uſurpare, tametſi & hanc, *populus*, ab eodem in eadem re plus ſemel poſitam ſatis notum mihi ſit. Plutarchum igitur, (nam eum hic velle obſtinate defendere, quod olim fieri poſſe arbitrabar, quaſi militiae aptam ſolam multitudinem exprimere in mente habuerit, eſſet in aperta luce ſuapte ſponte connivere, quam ſcilicet Dio & Sueton. cum eo collati nimis multam ſufficiunt) Plutarchum, inquam, dum ex intelligentia rerum, quam experiendo fuerat adeptus, vim verborum Latinorum, ut ipſe gloriatur in Demoſthene, ſe aſſequi poſſe credidit, voces induxerunt, *recenſus* & *populus*, in eo Latino ſcriptore, ſive Suetonius,

nius, ſive aliquis alius ſit, a quo haec eſt foeneratus. Putavit, *cenſum* & *recenſum*, quae differunt in hac re quidem, quantum Τίμησις & ἐξέτασις, hoc eſt plurimum, & quae nunquam pure & emendate loquenti, quod eſt latine, confunduntur, eſſe λέξεις plane συνωνύμους. Credidit & *populi* voce auctorem, ex quo deſumſit, omnes urbis ordines intellexiſſe, cum plebem frumentum publicum accipientem tantum intelligeret, ut liquet." — —

Conf. adhuc Caſauboni animadverſiones ad eundem Suetonii locum.

ROTANOX
2014

[illegible]